л. 216 об. 2-й икосъ: Ὅλως ὤετο ὁ τύραννος. γενναιώτατοι. τιῦ ἐκκλύειν τὴν ἔνστασιν. τῆς ὑμῶν γνωμης ἡττήθη δὲ. νόμω γὰρ τοῦ κτίστου. πεφραγμένοι ὑπάρχοντες. ἑβδομάδος ἰσάριθμοι. σὺν μρι θεόφρονοι. ἀεὶ ἐκκραυγάζεται. προσ τον τότε δικάζοντα. γνωστὸν σοι ἔστω. ὅτι οὐδόλως. τοῦ νόμου ἀποστῶμεν. πράττε οὖν καθάπερ βούλη. σφάττε κόλαζε σύντόμος. ὅπως ἐπαξίως. συνάριθμηθῶμεν. μωσῆ τῶ ἐκπεδεύσαντι. θῶ μόνω σέβεσθαι. τῶ πᾶσι παρέχοντι. πταισμάτων:

3-й икосъ: Ὑπὸ δὲ τοῦτων ὁ τύραννος. ἀγριοῦμενος. τῶν ρημάτων πρὸσέταττεν. θήγεσθαι ξίφει καὶ λεβήτας. μέσον εἰσαχθῆναι. ἰνδιδόντες οἱ μάρτυρες. παρευθὺς διλιάσωσι. ἀλλ η χάρις συνηργησε τοὺς ἀνδριόφρονας. μὴ ὁρὰν τὰ προκεῖμενα. ἕνα δὲ μόνον περιεσκόπουν. μὴ ἀπὸ χωρισθῆναι. л. 217. διὸ καὶ πρὸς ἀλλήλουσ. ἀνεβόουν παρρησία. σπεύσωμεν οἱ πάντες. ὥσπερ ἐλεάζαρ. γενναῖως ὑπερήθλησεν. καὶ χάριν ἐδέξατο. παρὰ τοῦ παρέχοντος. πταισμάτων:

2-го На перенесеніе мощей св. первомученика Стефана.

л. 217 об. 2-й икосъ: Οἱ του χῦ μαθηταὶ τὸν σεπτὸν προεχειρήσαντο διακονεῖν. αὐτῶν ἐν τῆ διδασκάλια. ὄντως ἐπιμελῶσ. πρὸς τὸ τῶν ἐθνῶν κήρυγμα. προχορον σὺν φιλίππω. σὺν τέσσαρσιν ἀνδράσιν. ἐνκατέστησαν στέφανον. πρὸσ τὸν ὑπηρετὴν. τῶν βρωμάτων τὴν χρεῖαν. οὗτος δὲ ὁ καλὸς ἐστιάτορ. οὐ μόνον εἰσ φθορὰν τὰ χωροῦντα ἡυτρέπειζεν. ἀλλὰ καὶ τὰ ἐκτρέφοντα ψυχὴν. πᾶσι παρεῖχεν ἀεί. τῶν θαυμάτων τὰ θεῖα τοῦ χῦ ἀνακηρύττων. ὁ πρώταθλος:

3-й икосъ: Ὑπὸ τῆς χάριτος ἔμπλεος ὤν. καὶ τῆς δυνάμεως τῆς τοῦ χῦ. ἐποίη τέρατα μεγάλα. καὶ σημεῖα ὁ στέφανος. ὅθεν ὡς ἄγγελος πᾶσιν ἐθεωρεῖτω. τῆ τοῦ χῦ ἐλλάμψει. λαμπρυνομενος πάντοτε καὶ ὡσ ἡλιακαῖσ ταῖς ἀκτῖσι τὴν πίστειν л. 218. τὴν ἐπὶ τὸν χν̄. κατελάμπρυνες πᾶσι. τοῖς τὸν λόγον τηροῦσιν (sic) ἀσάλευτον. τοὺς τὲ ἐχθραίνοντας τῶ ιῦ. ἄρδην κατεφλεξεν. καταισχύνον τὴν τούτων. ἅπασαν φρενοβλαβεῖαν. ὅθεν λάμπει τῶν μαρτύρων ὁ πρώταθλος:

10-го Св. мученику Лаврентію.

2-й икосъ: л. 223. Ὅλην τὴν ἔφεσιν κερτημένος [1]). μέλλουσαν δόξαν. ἀθλοφόρε. τὰ ἐνεστῶτα κατέλειπες. ἐν πιστευθέν σοι. ἐπαυξήσα εὗρες τῶν πόνων. τὴν ἀμοιβὴν. τοῦ δεδοκότος χῦ τοῦ θῦ. αὐτὸς γὰρ ἔφει δοξάζειν. τοὺς αὐτὸν ἐπαξίως δοξάζοντας. διὸ καὶ μέχρισ αἵματος. ὑπερῆθλησας μέλπων λαυρέντιε. οὐδείς μὲ χωρίσει:

л. 223 об. 3-й икосъ: Ὕψωσεν τοῦτον. ἡ θεῖα χάρις. πρὸς μετάρσιον ὕψος. τοῦ γὰρ ἐπὶ τῆς γῆσ. ἐπιφανέντος θῦ ἡμῶν. διὰ τὸ σῶσαι βροτῶν τὸ γένοσ. χρηματίσας διάκονος. καὶ ἀθλοφόρος. στέφος διπλοῦν. παρ αὐτοῦ ἐπαξιως ἀπείληφεν. διὸ δὲ καὶ σὺν ἀγγέλοις συνχορένων ἀξίως ἀγάλλεται. ὡς μάρτυς παναληθέστατος. ὡσ τελέσας τὸν δρόμον ἀναβοᾶ. οὐδείς με χωρήσι (sic) τῆς:

12-го св. мученикамъ Фотію и Аникитѣ.

л. 224. 2-й икосъ: Ῥεύματος πλάνης καὶ ἀθεΐας. ἐμπιπλάμενον πᾶσαν. τὴν ὑφήλιον γῆν. ἀνίκητόσ τε καὶ φώτιοσ. μόνοι τῶ οἴακει τῆς εὐσεβείας. καὶ ὁλκάδα ἐλπίδος τῆς χριστοφόρου. ὅλον τὸν ροῦν. ἀκινδύνως ἐκπλεύσαντες ἔφθασαν. εἰς ὅρμους. τῆς ἀθανάτου. βασιλεῖας ἐνὴ ἀγαλλίασις ἐν ἣ χαρὰ ἡ αΐδιος. καὶ ἡ ἄλικτος δόξα ὑπάρχει οὗς νῦν: ἐν ὕμνοις ᾀσμάτων:

---

[1]) По краямъ сего на 4-хъ первыхъ строкахъ и предъидущаго икоса не написано ничего въ подлинникѣ.

3-й икосъ: Ἤπλωτω πλάνη ἡ τῶν εἰδολων. ἐπὶ πᾶσαν τὴν κτίσιν. τοῖσ μὴ οὖσι θεοῖς. ἐν ευσεβείᾳ θρισκέυοντες. διοκλητιανοῦ. γὰρ τοῦ τυράννου. ἀναξίως κρατοῦντος. τῆσ βασιλείας. τοὺς εὐσεβεῖς. καὶ γενναίους ὁ πλῆτας συνήθροισε. πρὸσ πλάνην τούτους θωπεῖαις. καὶ βασάνων ποιναῖς κατεμάλαττεν. διὸ ὁ θεῖος ἀνίκειτος. л. 224 об. σὺν φωτίω χῶ οὐχ ἠρνήσαντο. ἐν ὕμνοισ:

16-го Св. Великомученику Діомиду.

л. 229. **2-й икосъ:** Ὁ πάντα βλέπων ἀφανῶς. ὡσ γνώστης τῶν ἀδήλων. χς̄ ὁρᾶν ἐκ βρέφους. τὸν μέγαν л. 229 об. διομήδην. σκέυος ὑπάρχωντα αὐτῶ. χάρησιν οἰκείαις. κατεκόσμησεν αὐτὸν. καὶ τοῦ ἁγίου πν̄σ. ταῖς θείαις ἐυφαιδρύνων ἐλλάμψεσιν. καὶ πρὸσ τοὺς ἀγῶνας. καὶ τὴν πλάνην τῶν τυράννων. ἀνθώπλησεν. ῥωπη ἀήττήτω. διὸ κατὰ παθῶν. καὶ τοῦ ἀντιπάλου. ἀνδρισάμενος αὐτὸς. ἔργω καὶ λόγω. δεῖκνυσιν ἀεὶ. τὴν χάριν τὴν τοῦ κῦ: αἴγλη θαυμάτων:

3-й икосъ: Ὑπὸ χῦ οὖν ἐλλαμφθεὶς. ἐνθέως διομήδης. καὶ μόνην πρὸς τὴν τούτου. ἐλπίδα καὶ ἀγάπην. ἐναποβλέψας νοητῶς. πάντα τὰ παρόντα. ὑπερΐδεν καὶ σαρκὸς. τὴν σχέσιν ἐβδελλύξατο. καὶ πρὸσ τὰ ἀόρατα καὶ ἄφθαρτα. κάλλη ἐν απεῖδεν. τοῦ δεσπότου τῶν ἁπάντων. παθῶν ἀεὶ. ταῦτα διὰ πύρως. διὰ καὶ μυστικῆ. ἀλλοιῶσι οὗτος. ἀλλόνμενος ἀεὶ. ἔργω καὶ λόγω. ἔλαβεν σαφῶς. τὴν χάριν παρα κυρίου. αἴγλη θαυμάτων:

18-го Св. мученикамъ Флору и Лавру.

л. 230. **2-й икосъ:** Λαβόντες οὖν παρὰ θῦ. οἱ ἅγιοι τὴν χάριν δοροῦνται τοῖς ἀν̄οις. τὴν ῥῶσιν παραχρῆμα. καθῶς ἐτεῖται ἕκαστος. τούτων οὖν τῶ θείω. πρὸσπελάζοντες ναῶ. л. 230 об. λαμπαδηφόροι σήμερον. καὶ ὕμνοις ἐγκωμίων δοξάσωμεν. τὴν σεπτὴν δυάδα. ἐκβοῶντες χαίρε ζεῦγος. πεποθημένον. ὑπὸ του κῦ τοῦ στέψαντος ἡμᾶς χειρὶ τῆ ἰδία. καὶ κοσμήσαντος φαιδρῶς. στολὴν τὴν ἄνω. πράην ὑφαντὴν. διὸ καὶ νῦν ἐν τῶ κόσμω. φλόρον καὶ λαύρον:

3-й икосъ: Ἀπὸ καρδίας καθαρὰσ. πρὸσψαύσατε τὰ χείλη. τοῖς σώμασι τοῖς θείοις. τῶν σεπτῶν ἀθλοφόρων. φλόρου καὶ λαύρου ἀδελφοὶ. ἵνα μυρισθέντες. τῆ τοῦ πν̄ς ὀσμῆ. μνήαν καμοῦ. ποιήσειτε. τοῦ πλέξαντος. τὸν ὕμνον ἐκ ῥυπαρῶν. καὶ βεβήλων χειλαίων. οἶδα γὰρ οἶδα ὁ τάλας. τὴν θαυμαστὴν. χάριν τῶν ἁγίων. ὅτι περ ευμενῶς. δέξωνται ταύτην. τὴν ὠδὴν ὦ, ἀγαθοὶ. καὶ ἀντινέμουν. λύσιν τῶν κακῶν. ἐμοί τε καὶ τοῖς ἐν πίστει. φλόρον καὶ λαύρον συμφώνως:

19-го Св. Андрею Стратилату.

л. 231. **2-й икосъ:** Δόξαν ἐπίγειον λιπῶν. ἐπόθησας τὴν μόνην. ἐνμενοῦσαν θεόφρον. καὶ ὅλη τῆ καρδία. πρὸσεκολλήθης τῶ χῶ. τούτω μόνω στέργων καὶ τὰ τοῦτου ἐκζητῶν. ἀπαύστως δικαιώματα. ἐχθρὸς δὲ ὁ πανοῦργος μὴ φέρων σῃ. ταύτην τὴν προθυμίαν. πειρασμόν σοι ἐπεγεῖρει. οἰόμενος. τούτοις ἐκβοβεῖν σε. л. 231 об. αὐτὸσ δὲ σταυρικὴν. φέρων παντευχείαν. καταγέλασας αὐτοῦ. πάσης ἀνοίας καὶ μαρτυρικῶς. ἐτέλεσας τὸν ἀγῶνα. μάρτυς:

3-й икосъ: Ἠκριβομένον καθ' ἰδῶν. ἐν πασιν σε ὁ πλάνος τῶ τότε διαβάλλει. τυράνω παρανόμω. βοῶν ὡς ἤθληςται αὐτῶ. σπεύσον ὑπηρέτα. ὁ ποτὲ ὑπὲρ ἡμῶν. νῦν καθ' ἡμῶν ἐγένετο. πληγὰς αὐτῶ ἐν τάχει πρὸσάγαγε. πᾶσας τὲ τιμωρίας. ἴσος παύσει ἡ θρασία. αὐτοῦ ψυχῆ. τῆς ἀλαζονίας. τόσαυτα ὁ ἐχθρὸς. καὶ λόγοις καὶ ἔργοις. ὁπλησθεὶς κατὰ τῆς σῆς. γενναιοτάτης ἔνδοξε ψυχῆς. ἰσχύνθη καὶ κατεπόθη. μάρτυς:

22 го Св. мученикамъ Агаѳонику.

л. 232. **2-й икосъ:** Ὄλβον πατρῶον βδελυξάμενος. ἀγαθόνικε. καὶ τὰ τοῦτων σεβάσματα. σῶ πρὸσήχθης δι αἵματος. βοῶν ὡς ὁ παῦλος. τῆς ἀγάπης τοῦ κτίστου μου. οὐ χωρήσι με κίνδυνος. οὐ διώγμὸσ οὐδε μάστηγες. διὸ μὴ ἀμελεῖτε δικαστὲ πρὸς τὴν ἔτασιν. ἐγὼ γὰρ σπεύδω παθεῖν προθύμως. ὑπὲρ τοῦ παθόντος. ἐκουσία τῆ γνώμη. ἵνα ἡμᾶς ἀθανατίσας. ζωῆς αἰωνίου. δεῖξει л. 232 об. κληρονόμους. τοὺς πίστει ἀναμέποντας. τὸν ἄφθαρτον:

3-й икосъ: Ὕχετο φθάσαι ὁ τυράννος. πρὸς τὴν μέλλησαν. βασιλέυειν τῶν πόλεων. ὅπως κακεῖ γὰρ ὁ ἔνδοξος. καὶ στερρὸς ὁπλίτης. καταγγεῖλει τὸ ὄνομα. τοῦ χῦ καὶ θῦ ἡμῶν. ἀνδρειόφρόνως γὰρ ἤλλεγξεν. τὴν ματαιότητα. τῶν εἰδώλων καὶ ἄνοιαν. τῶν δικαζόντων. βοῶν ἀπαύστως. ἐπέγνω τὲ καὶ γνῶτε. ὅτι εἷς θσ̄ ὑπάρχει. ὁ πρωπάντων τῶν αἰώνων τοῦτων πρὸσκυνοῦντες. σὺν ὑῶ καὶ πν̄α. τὸ ἅγιον κραυγάζομεν. τριὰς ἁγία δόξα σοι. ἐξ ἧς κομιζόμεθα. τὸν ἄφθαρτον:

Въ тотъ же день св. Апостолу Титу.

л. 233. **2-й икосъ:** Ὅλως ὑπάρχων. πεπληρωμένος. ἀρεταῖς μυστολέκτα. σὲ πιστὸν ὑπουργὸν. καὶ μύστην προεχήρίσατο. παῦλος ὁ ῥήτωρ τῆς ἐκκλησίας. ἧς ποιμένα ἀξίως. σὲ προβηβάζει τῆσ τοῦ θῦ. ποιμενάρχην καὶ κή-

ρυχα ἔνθεον. διό σε ἀνευφυμοῦντες. σὺν αὐτῷ ἐπάξιως ὑμνοῦμεν σου. την πανσεβάσμιον κοίμησιν. καὶ βοῶμεν ἀπαύστως ἀποστολε: μὴ πάυσι πρεσβέυων:

3-й икосъ: Ὕλην μησίσας τὴν φθειρομένην. ἐπέπόθησας ὄντως. τῶν ἀεὶ ἀληθῶσ. μενόντων δὲ τὴν ἀπόλαυσιν. τί τε θεόρρον. ὅθεν ἐδείχθης. ἀποστόλων συνόμιλος καὶ μαρτύρων. τῶν δε χρητῶν. ἱερεὺς ἀληθής. καὶ л. 233 об. πρώτος ποιμὴν. διδάσκων. καὶ συμ'βιβάζων. καὶ ὣσ ὁ θεῖος σε παῦλος κατέλειπεν. διὸ σὺν τοῦτω ἀγαλλεσε. ὣσ αὐτὴ χυνωνὸσ (sic) καὶ ὓς ποθητός: μὴ παύσι:

26-го Св. мученикамъ Адріану и Наталіи.

л. 234. 2-й икосъ: Ὁρῶντες μάρτυρες σεπτοί. ειδώλων τὴν ἀπάτην. βιαίως κρατουμένην. καὶ πίστειν ἀληθείας. διωκομένην τού χῦ. οἱ γενναίοι τότε. θαρσαλέως καὶ πιστῶς. τῶ σῶμα παραδέδωκαν. πρὸσ ξίφος. πρὸσ θηρία. πρὸσ μάστηγας. καὶ καταποντίσης. καὶ βασάνους δριμυτάτους. ποθήσαντες. θεῖαν βασιλείαν. μεθῶν ἀνδριανός. ὁρῶν τὰ τοιαῦτα ἐκπληττόμενος. τὸν νοῦν. ἦλθεν ἀνδρικῶσ καὶ ἡλεικρινῶσ. κραυγάζων ἐν παρρησία. σὺ τῶν μαρτύρων:

3-й икосъ: Ὑπὸ μονὴν ὁρῶ ὑμᾶς. πολλὴν καὶ καρτερίαν. ὑπερμέτρον ἀνῶν. βασάνους καὶ κολάσεις. καὶ τιμωρίας φωβεράς. τί οὖν ἀνταλλάξαι. πρὸσ τὰ τοιαῦτα παραινῶ ἀδριανος ἐφθέγγετο. τῶν χορῶν τῶν μαρτύρων γηθόμενος οὗτοι δὲ ἐβόουν. ποία γλῶσσα ἐξίσχυσει. ἃ ἡτοίμασεν ἡμῖν ὁ δεσπότης. ἢ ποίος νοὺς βροτῶν. ἢ ποία καρδία ἀναβέβη με ποτὲ. σπεύδων ἐλθῆναι. κλῆρον τὸν л. 234 об. ὑμῶν. βοήσας κληρονομίσης: σὺ τὸν μαρτύρων:

29-го На усѣкновеніе главы св. Іоанна Предтечи.

л. 235. 2-й икосъ: Οὐκ ἀνέμεινεν γὰρ ὁ ἡρώδης. οὐδὲ ἐχρόνησεν λυπούμενος. ἀλλ' ὥσπερ ἤδη μελετήσας. τὸ πονηρὸν εὐθὺς ἐποίησεν. ἡμοιχᾶς δὲ οὐχὴ κόρη ἀπόκόψαι. τὸν τῆς στείρας ἐξήτη καρπὸν. ἥτις καὶ τάχα προ τῆς τομῆς. τὴν ἰδίαν γνώμην. ἐδήλοι τῆ κόρη. βοῶσα αὐτῆ. δεῦρω μοι τέκνον. συναίνεσον τῆ μρῖ συ. λόγον πὲρ κρυφίων θέλω γυμνῶσαι πρὸς σὲ. φανερῶ σοι τὴν βουλήν μου. ἐπιθυμῶ ἀνελεῖν. τὸν ὑν ζαχαρίου ἔδωκεν γὰρ μοι πληγὴν. ἀλλ' ἐπίπλας:

3-й икосъ: Ὑπακούσασα δὲ ἡ παιδίσκη. τοῦ παρανόμου μελετήματος. ἔφριξεν ἔκραζεν. ὦ μῆρ. ὅτι δεινόν ἐστὶν τὸ πάθος σου: ἄφεσ τοῦτον ἀνιάτρευτον. ἐὰν γὰρ θελήσεις. θεραπέυσαι. χαλεπώτερον τὸ τραύμα ποιεῖς ἐπ' αυτῆ. κοίμησον ἔνδον τῶν λογισμῶν σου τὸ ῥήμα. μή ποτὲ γένηται. πτῶμα τῶ γένει ἡμῶν. οὔτε γὰρ μόνη. τὸν ἐξ αὐτοῦ δέχη μώρον. ἀλλα καγῶ καὶ ἡράδης. καὶ ἐξ ἡμῶν. ἐὰν θανεῖ ιώάννης. γέγονε πάντα νεκρά. л. 235 об. καὶ ἐτάφημεν ζῶντες. μνήμην λήψαντες κακήν. αἰωνίαν:

Тому же святому 2-го творца.

2-й икосъ: Ῥώμη τῆ θεία κρατυνθεὶς. ὁ προδρόμος τοῦ κτίστου ἐλλέγχου τῆ ρομφαῖα. ἡρώδη л. 236. καταπλήττη. ὕστρου μοιχίος τὸ δεινὸν. οὗτος δὲ ὁ ἄφρον. γενεσίοις τοῖσ αὐτοῦ ἀθλίως εὐοχούμενος. ὕμνων ἀντι ἐνθέων ὀρχίσμασι. τέρπων τοὺσ παρῶντας. μὴ αἰφόνων ἔσχεν μέθην. καὶ δῆ. προφήτου κεφαλὴν. τὴν ὄντως τιμίαν. καὶ πικρῷ σχιματισμῷ. ὅρκου ὁ τάλασ. πρὸσ χαόσ βληθεῖς. οὐκ ἔγνωκε τοῦ κραυγάζειν: πρόδρομε κῆρυξ χῦ πάντας:

31-го На положеніе честнаго пояса Пресвятыя Богородицы.

л. 236 об. 2-й икосъ: Πάντα τὰ σά. παράδοξα ὄντωσ. ἡ μετάστασισ ξένη. καὶ ὁ τόκος φρικτός. ἡ ζώνη δὲ ἡ φερίζωος. ὑπεναντείας δυνάμεισ πᾶσαν ἀοράτως τροποῦνται σὺν τῆ ἐσθήτη. ἅπερ ἁγνὴ. φυλακτήριον ἔθου τῆ πόλη σου. θησαύρισμα θεῖον. ὥσπερ τεῖχη ἡμᾶσ περιβαλλοντα. φρουροῦντα περιζωννύοντα. ἰαμάτων πηγὰς ἀναβλύζοντα. ἡ μόνη τεκοῦσα:

3-й икосъ: Νέμεις ἡμῖν. καθάπερ ἐκ κρήνης. τῆσ ἁγίας σόρου ση. ἰαμάτων. πηγάς. καὶ τρόπαια τοῖς ὑμνοῦσι σε. σὲ γὰρ ἐτύπου. ἡ θεία πᾶλαι. κιβωτὸσ τιμοροῦσα. τοὺσ ἐναντίουσ. καὶ τῶ λαῷ. τῆ θῦ χοριγοῦσα τὰ θαύματα. ὅθεν νῦν ἐξαιτοῦμεν. περισώζειν. ἡμᾶσ ἐν τῆ ζώνη σου. Ἰσχὺν καὶ κράτος ἀήττητον. κατ' ἐχθρῶν ἀπηθοῦντων τῶ κράτει σου. ἡ μόνη τεκοῦσα:

Ἐτελησω (— θ) τῶ παρῶν Κονδακάριον. δια ἀντιλήψεος τοῦ ἀυ (— θῦ) ἡμῶν τοῦ ἁγίου. καὶ σιαναγινόσκοντες εὔχεσθε αυτω ἀμην.

Въ недѣлю блуднаго Сына.

л. 237 об. 2-й икосъ: Ὅτι οὐκ ἔστιν ὁ αμέτρα: παροργήσασ σε. ἐπὶ γῆσ ἀναμάρτητε. ὥσπερ ἐγὼ ὁ πανάθλιος. οἶδα καὶ γινώσκω. τὴν ἐμὴν ἁμαρτίαν γὰρ. ἐγὼ μόνος ἐπίσταμαι. τὸν γὰρ πλοῦτον μακρόθημε. τῆσ σωφροσύνης μου. ἀδαιῶσ διεσκόρπισα. ἐν ανομιαισ περιοδεύων. εισ πράξεισ ἀθεμεῖτους. καὶ πτωχέυω καθεκάστην. καὶ

γυμνοῦμε σου τῆς δόξης. θεέμου θεέ μου ἀμφίασον δόξης. κατὰ στολὴν τῶν δούλων σου. τὸν γνώμη δουλεύσαντα. ἐχθρῶ τῶ ἀλάστωρῖ. ἥμαρτον πὲρ:

Въ ту же недѣлю 2-го творца.

л. 238. 2-й икосъ: Πῶς γὰρ οἱ μίσθιοι τοῦ πρ̄σ μου. περισέυονται ἄρτου. ὁ ταλαῖπορος νύν. ἐγὼ δε λιμῶ ἀπόλλυμε. νῦν ἀναστὰς. πορευθῶ προθύμως καὶ βοήσω ἀπαύστως πρὸς το πρ̄ι μου. δέξαι κἀμὲ ὥσ τὸν ἄσωτον πὲρ. προσπίπτω σοι. ʼΙδῶντα ἐπεσπλαγχνίσθη. καὶ δραμῶν τῶ τραχεῖλω ἐπέπεσεν. καταφιλῶν ἀπεφθέγγετο. τὴν πρωτέραν ζητῶν ἐπενδύσαι στολὴν: προσπίπτω σοι κράζω:

3-й икосъ: Ἴδον αὐτὸν ὁ πάντα προβλέπων. ἐρχομένω πρὸσ τοῦτον καὶ δραμῶν ὁ πη̄ρ. ἐν τῶ τραχεῖλω ἐπέπεσεν. ὥστε κελέυει καὶ τὰς л. 238 об. δυνάμεις. πρὸς παράκλησιν τοῦτων πρὸς καρτερήσαι. λέγει φησὶν καὶ κελέυει τὸν μόσχον προθύεσθαι. ὃν ἔτεκεν ἡ μαρία. ἡ παρθένος καὶ ἄμωμος δάμαλις. ἐκ τῆς αὐτοῦ δαπανόμενος. ἀγιάζον τε πάντες οἱ ἐσθίοντες αὐτὸν: προσπίπτω σοι:

Въ субботу 1-ю св. поста на св. Θεοδορα.

л. 254 об. 2-й икосъ: Δαυὶδ ἐδείχθης ἀθητὰ. θεόδωρε γενναῖος δυναστῶν ἐν κακία. память ἀλλοφύλων τὸ φράσος. ὡς γολιὰδ καταβαλῶν. τύραννον διώκτην. συν τῆ τριάδη σοφὲ. τῶν λίθων τροπωσάμενος. ἐν ὅπλω πεφραγμένος πολλύοχλον. ἄοπλως καὶ μόνος τῆ δυνάμει τοῦ χῦ. τὴν γνῶσιν γὰρ περιφραγμένος. διὸ τὴν τοῦ ἐχτροῦ. παμμίαρον κάραν. ἐκτεμῶν ἐφ υψιλοῦ. τρόπαιον στήσας ἔχει τὸν χν̄. λαόν σε τιμῶντα πίστει. ὡς ἀθλοφόρον:

3-й икосъ: Ἡλίας ὤφθη τοῖς πιστοῖς. θεόδωρε ζηλώσας. ὑπερ τοῦ δεσπότου. ὡς ἄλλους τῆς αἰσχύνης. καὶ τῶν εἰδώλων ἱερεὶς τῶν προσωχθησμάτων. καὶ τῆς ἀπάτης л. 255. ναὸν. ἐσχρὸν τὸν τῆς ἀρτέμιδος. πυρπολούμενος ζήλω κατέφλεξας. τοὺς ἀλιτηρίους. καὶ ἐν οἴκοις ἀποστὰς τοὺς δαίμονας. συνκαταπατήσας. τη τοῦτων δε σφοδρὰ. ἐμπρίσει καρδίαι. φωτισθῆσαι τῶν πιστῶν. ἔλαβον γνῶσιν. τὴν εἰς τὸν χν̄. θν̄ αὐτὸν εἶναι σε δε. ὡ σ ἀθλοφόρον:

Тому же святому 2-го творца.

2-й икосъ: Ὑπομεῖνας χειμῶνας ὁ δίκαιος. ἐν τοῖς χρόνοις τῆς πλάνης. ὡσ γέγραπται. μαξιμίνου л. 255 об. λοιμοῦ βασιλέυοντος. πάσα κτίσις εἰδώλοις ἐτέρπετο; διὸ κρατῆτε ὁ πονεῦφημος. ἀπιστῶν τοῖς προστάγμασι τοῦ τυράννου. καὶ πρὸσπίπτον πιστῶς τῶ ἀφθάρτω θῶ. καὶ σπουδάζει παθεῖν αἰκισμοὺς χαλεποὺς. ὡς ἀήττητος:

3-й икосъ: Μέσον σῦν τῶν ἀνόμων ὁ ἔννομως. εἰσαχθὴς τὰς βασάνους οὐκ ἔπτηξεν. ἀλλ᾽ οὐ δε ὁ σεμνος παραινούμενος. οὐκ εκαμ᾽φθη ποθῆσαι τὰ προσκαιρα. διὸ ὕβρις ὑπεφθέγξατο. παρεστὼς ἐν τῶ βήματι τυράννου. ἐνισχύων τοὺς συγκρατηθέντας αὐτῶ. καὶ βοῶν συν αὐτοῖς ἐκτενῶς τῶ χῶ: ὡσ ἀήττητος:

Въ недѣлю православія 2-го творца.

л. 256 об. 2-й икосъ: Οἱ μαθηταὶ τοῦ ιῦ. τὸ πανάγιον πν̄α. λαβοντες οὐν̄οθεν. ἐν γλῶσσαις μερισθέντα. ἔθνη ἐφώτησαν πιστῶς. ὅθεν καὶ μαρτύρων. συνοδία ἡ τερπνή. τὰ εἴδωλα κατέβαλεν. τὴν γὴν θεογνωσία πλουτήσαντες. καὶ αἱ τὸν πρῶν. μακαρίαι καὶ ἅγιαι. αἱ συνοδοι. αἱρέσις καθῆλον. νυνὶ δὲ καὶ ἡμεῖς. ὁρῶντες μανίαν. τῶν δεινῶν καὶ ἀσεβῶν. εἰκονομάχων. πιστῶσαντες νῦν. τὰς φρένας ἀνιστοροῦμεν. καὶ τῶν ἁγίων πιστὸσ:

Святому Лазарю.

л. 262 об. 2-й икосъ: Ἦλθε χσ̄ ἐπὶ τὸ μνημεῖον. πρὸ ὑπήντους δε τοῦτω. καὶ ἐθρήνουν πικρῶς. μαρία τὲ καὶ ἡ σύζυγος. κε̄ ποῦ ἦς. ὅτι παρῆλθεν. ὃν ἐπόθης καὶ ἴδεις. παρ ὧν οὐκέστι ταῦτα αὐτὸν ἐκβοῶντων αὐτὸς ὑπεδάκρυσεν. ἠρῶτα ποῦ ἦν ὁ τάφος. τοῦ ἐμοῦ πρὸς φιλοὺς καὶ παρέστησαν. ἐβραῖων ὄχλοι τοῦ θαῦματος. θεαταὶ ἵνα γένωνται τότε πιστότατοι: τοῖς πάσι παρέχων:

Тому же святому 2-го творца.

л. 263. 2-й икосъ: Ὀῡνὸν καὶ γὴν στερεώσας. ἥλιον τὲ καὶ σελήνην. καὶ ἀστέρων πληθὺν. μετὰ βροτῶν συναυλίζεται. πάντα φωτίζων καὶ ἁγιάζων. καὶ παράδοξα τοῦτοις θαυματουργοῦντα. ἦλθε καὶ νῦν. ἐν βηθανία τῆ κώμη τοῦ σῶσαι αὐτὴν. καὶ δεῖξαι τέρατα θεῖα. καὶ ἐγεῖραι ἐκ τάφου τὸν λάζαρον. πάντα γὰρ θέλων πράττει αὐτὸς. τῆ βουλῆ τῆ ἀχράντω. καὶ δυνάμει αὐτοῦ. μαρίας καὶ μάρθας:

3-й икосъ: Ὑπὸ τῆς πίστεως αἱ γυναῖκες. συνεχόμεναι ἅμα. τῶ χῶ καὶ θῶ. πρὸκαταγγέλλουσι θάτατον. τοῦ ἰδίου συγγόνου. λέγουσαι οὗτος. σπεῦσαι. φθάσαι ὁ ἀεὶ παρῶν ἐν πάσιν. λάζαρος γὰρ ὃν φιλῆς ἀσθενεῖ. л. 263 об. ἐὰν οὖν ἐπιστῆς. ὁ θάνατος δραπετέυει καὶ ὁ φίλος φθορὰς λυτρωθήσεται ἐβραῖοι αὖθις θεάσονται. ὅτι σὺ κατηκτήρις τοὺς μέλποντας: ὁ πάσι:

Въ святый и великій Вторникъ.

л. 268 об. 2-й икосъ: Οὐκ οὖν ζητήσωμεν ὑμεῖς. τῆς θείας γραφῆς ταύτης. τὴν χάριν καὶ τὸν τρόπον. ἀφθάρτου γὰρ ἐλπίδος ὑπάρχει πᾶσιν ὁδηγός. ὥσπερ οὖν καὶ πᾶσα. ἡ θεόπνευστος γραφή. καθέστηκεν ὀφέλημος. χῶ οὖν τῶ σρι προσπίπτοντες. κράξωμεν προθύμιος. βασιλεῦ βασιλευόντων. φιλάνε. δὸσ πᾶσι τὴν γνῶσιν. ὁδήγησον ἡμᾶς. προς τας ἐντωλάσ σου. ἵνα γνῶμεν τὴν ὁδὸν. τῆς βασελεῖας. ταύτην γὰρ ὑμεῖς. ὁδεῦσαι ἐπιπεθοῦμεν. ἵνα καὶ σχόμεν:

3 й икосъ: Ὑπὸ τῆς πίστεως αὐτῆς. καὶ τῆς. ἐπαγγελίασ οἱ πλήστοι τῶν ἀνῶν. ποθοῦσιν ἐφικέσθαι τῆς βασιλεῖς τοῦ θῦ. ὅθεν διὰ ταύτης παρθενίας ἀρετὴν. φυλάττειν κατεπίγονται. ἀσκήσει καὶ νηστεῖας κατόρθωμα. μέγιστον ἐν βίω. ταῖς εὐχαῖς τε καρτεροῦρτες. διὰ παντὸς καὶ ταῖς ἀγρυπνίαις. καλύπτεται αἰτοῖς ἡ φιλανία. καὶ εὑρίσκονται λοιπὸν μάταια πάντα. οὐδεὶς γὰρ ἡμῶν. μὴ ἔχων τὴν ἀσπλαχνίαν. ἵνα καὶ σχόμεν:

л. 269. 4-й икосъ: Τὸν πλοῦν ἀνοίοντες τινὲς. πάντων κατηρτισμένον. λειπόντες τὴν ὀθόνην. εὐθεῖαν οἱ ποιοῦντες τὴν ἐν θαλάσση ὅδευσιν. τότε γὰρ τῶ δρόμω. ἐμποδίζετε ἡ ναῦς καὶ ἄπρακτος καθίσταται. οὐ τέχνη κυβερνήτου δουλέυουσα. οὔτε δὲ οἰάκων. τὸν αὐτὸν δε τρόπον πάντες. οἱ σπεύδοντες πρὸσ τὴν βασιλεῖαν. κἂν πάσης ἀρετῆς. φροντίδων ὑπάρχει. εὐσπλαγχνίας δὲ εἰσὶν. γεγυμνωμένοι. οὐ φθάνουσι λοιπὸν. λιμένας ἐπουνίους: ἵνα καὶ σχόμεν τὸν ἄφθαρτον:

5-й икосъ: Απασῶν μίζων ἀρετῶν. τὴν ἐλεημοσύνην ὁ πάντων κριτῆς κρίνας. παρέδοκεν ἀνοῖς διδάξας τὴν παραβολὴν. πέντε μὲν φρονήμους. τοὺς τὸ ἔλαιον σαρῶς. βαστάσας ἐκάλεσεν. μονὰς δὲ τὰσ τὸν δρόμον τελέσας. ἄνω τοῦ ἐλαῖου. καὶ τὴν δύναμιν τὴν ταύτης. ἠκοῦσαμεν κράζοντος ματθαίου. εἰς πάλιν ἐπελθεῖν τὰ ρήματα πάντα. προσιδῶτας τὰς γραφὰς. ἄτοπον κρίνω. ὅθεν τὸν σκόπον τὸν ταῦτης ἀναζητοῦμεν. ἵνα σχέμεν:

л. 269. об. 6-й икосъ: Πολλὴ ἡ τῆς παραβολῆς ἐστὶν διδασκαλία. πάσις φιλανίας. καὶ ταπεινοφροσύνη. ὁδὸς καὶ πᾶσιν ὁδηγὸς. ἄνακτας ριθμίζει. ἡγουμένους τοῦ λαοῦ. διδάσκει τὴν συμπάθειαν. καθάπερ γὰρ τῆς οἶκος ὑπέρλαμπρον. κτίσας καὶ πληρῶσας. εἰμὴ τοῦτων ὀροφῶσει. ἀνώνητος. γίνεται ὁ κόπος. οὕτως τὰς ἀρετὰς. οἰκοδωμήσας καὶ τὸν ὄροφον μηθεὶς. τῆς συμπαθεῖας πρὸσθήσει αὐτὰς. ἀπόλλυσει τοὺς καμάτους:

Въ св. и Великую Среду.

л. 270. 2-й икосъ: Βέβηλος ἐγενόμην ἐκραῦγαζεν. βίον ἀκωλασίας βιώσασα βλέψον τῆ ἀσθενούση καρδία μου. βλέπειν εἰς οὐνοὺς μοι ἰσχύσυσαν βαρυνομένην τῶν πταισμάτων μου. βλέμμασι τῶ εὐσπλάγχνω φεῖσαι μου. βλέψον πόρνην. ἀμώμητε μόνε χε. βλέψον εἰς τὴν πρὸς σὲ ἐπιστρέφουσαν νῦν. πολυέλεε:

3-й икосъ: Γυνὴ αγιασθῆναι προέρχομαι. γυμνὴν ποίησόν με κακῶν πράξεων. γράψων με ἐν τῆ βήβλω τῶν δούλων σου. γνωρισθω τοῖς ἀγίοις καὶ φίλοις σου. γραμμάτων. τύχω τῆς ἀφέσεως. γένος ποίησόν με. τῶν σὲ νῦν σεβόντων. γέλος τοῦ διάβόλου μη γένομαι. γυμνωθῶ τῆσ κακίασ αὐτοῦ δια σέ. πολυέλεε:

Во св. и Великій Четвертокъ.

л. 271. 2-й икосъ: Ἡ τοῦ θῦ σοφία καὶ λόγος. μαθηταῖς τοῖς ἰδίοις. συνδιπνῶν ὡς βροτὸσ. καὶ καταγγέλει τὸν θάνατον. τοῦτο ἐν μέσω πάντων προλέγων. ὅτι εἰσ ἐξ ὑμῶν με παραδῶσει. καὶ ἐν ἐμοὶ. σκανδαλισθήσεσθαι πάντες οἱ φήλοι μου. τοῦ γὰρ ποιμένος θανέντος. σκορπισθήσονται αὖθις τὰ πρόβατα. ἀλλ' ἐγερθήσωμαι ὡς θς. καὶ θρηνήσει ο αρτι προδῶσας με ἰουδας ὁ δοῦλος:

3-й икосъ: Σίμων εὐθὺς ἀκούσας τοὺς λόγουσ. ποῦ καλοῦ διδασκάλου. ἀντιλέγει τρανῶσ. θερμῆς ἀγάπης τὰ ρήματα. κἂ εἰπάν τε л. 271 об. σκανδαλισθῶσιν. ἀλλ' ἐγὼ οὐκ ἀρνοῦμαι σου ζωοδῶτα. τότε δε νῦν. ὁ δεσπότησ τῶ πέτρῳ ἐβόησεν. πρὶν ἀλλέκτωρ (sic) ἀ φωνῆσαι. ἀπαρνήσει με τρίτον ἀλλ' εὔρισ με. δια δακρύων φιλάνον. ο προδότης δὲ ἄμφω ἀπάγξεται ἰούδας ὁ δοῦλοσ καὶ δόλιοσ:

Въ тотъ же день 2-го творца.

л. 272. 2-й икосъ: Πρὸσ δὲ τῶ δείπνω συνελθὼν. ποσὶ τῆς διανοίασ. τῆσ θείασ ἐκορέσθην. ἀράτου εὐσπλαγχνίασ. πῶσ προλέγων μυστηκῶς. τὴν αἰτίαν ταῦτην. καὶ γὰρ τὸ πάσχα ἡμῶν. χσ ἡ πάντων λύτρωσισ ὑπὲρ ἡμῶν ἐτύθη ὡσ γέγραπται. ὅσ καὶ πρωτοῦ πάσχα κλάσας ἄρτον καὶ κεράσασ. ποτήριον ἔφη τοῖσ ἰδίοισ. λάβεται φάγεται καὶ πίεται πάντεσ. τοῦτο γὰρ μου ἔσται νῦν. σῶμα καὶ αἶμα. ὁ ὑπερ ἡμῶν (sic) ἐκχέω ἀμαρτημάτων. ὁ κατὰ φύσιν:

3-й икосъ: Ὁ τῶν ἁπάντων ποιητῆσ. μετὰ τῶν ποιημάτων. μετὰ τῶν ἀγραμμάτων. συνήσθιεν ὁ τρέφων. πᾶσαν τὴν γὴν ὡσ ἀληθῶσ. καὶ οὐ μόνον τοῦτο. ἀλλὰ καὶ μετὰ τούτων. θελήσας νῦν ἐποίησεν. ἀνέστη τῆσ στηβάδοσ ὡς γέγραπται. καὶ την διπλοῖδα τῶτε ἔρει καὶ λεντίω. ἐξώσατο. ὠ φῶς ὡς χιτῶνα. ἀναβαλλόμενοσ. ὁ καὶ περιβάλων. οὐνον ταῖσ νεφέλαισ. ὡσ ἱματίω л. 272 об. ὁ πάντων σηρ. ἀπρόσιτον φῶς οἴκησας. ὁ κατὰ φύσιν ὑπάρχων.

Во святую и Великую Субботу.

л. 277. **2-й икосъ:** Ἄνω τῶν ἀσωμάτων. ἐξετήσαν αἱ δυνάμεισ. ὁρῶ σε. τον βασιλέα. ἀφ' ὑπνώσαντα л. 277 об. ὡσ ἄν̄ον. κάτω δε στρατιώται. πλευρὰν τὴν τοῦ ζωοδότου. ἐκέντησαν καὶ ἐξῆλθεν. αἷμα καὶ ὕδωρ ὡσ γέγραπται. δύο πηγὰσ μυστηκῶσ ἀναβλύσασ ὡσ φιλαν̄οσ. ἐν αἷσ ἀπωπλυνωμεν. ψυχικὰ ημῶν ἐγκλήματα (sic). καὶ καθαροὶ αὐτῶ. ἐκ πίστεωσ προσέλθωμεν. σὺν ἰωσηφ. καὶ νικωδήμω τοῖσ σοφοῖσ. καὶ ἀπὸ τοῦ ξύλου καθελῶμεν καὶ θάψωμεν. τὸν ἐν θρόνω καὶ ἐν τάφω ὑπάρχοντα. καὶ βοήσωμεν λέγοντεσ. τοῦτο σάββατον:

3-й икосъ: Ἰωσὴφ ὁ εὐσχήμων ὁ ἀπὸ αρημαθαίασ. τολμήσασ πρὸσ τὸν πηλάτον. νῦν ἠσῆλθε καὶ κτήσατο. τοῦ κῦ τὸ σωμα. τοῦ προβραχέωσ ἐκ τάφου. ἐγείραντοσ τετορταῖον. δια ρήματοσ λάζαρον. καὶ καθελῶν εὐπρεπῶσ. ἀπὸ τοῦ ξύλου εἰσ γὴν τίθησι, τὸν τὴν γὴν στήσαντι. καὶ τὴν θάλασσαν πήξαντα. ἐν σινδόνι καθαρᾶ. ἠλίσασ τὸν ἀπλώσαντα. ὥσπερ δέρριν τὸ φῶσ ἐπι τῆσ γῆσ καὶ μύροισ καταμυρίζει. τὸ μύρον τὸ ὀκενότον. л. 278. καὶ καλύπτει τὰ ἀκοίμητα ὄμματα καὶ κραυγάζει γηθόμενοσ. τοῦτο σάββατον ἔστη τὸ ὑπερευλογημενον:

Въ пятницу Свѣтлой недѣли.

л. 285 об. **2-й икосъ:** Ρωμη θῦ τῆ θεία. οὐνωθεν ἀστράπτων. προσ γὴν. σήμερον ἄγγελοσ ὤφθη. καὶ τῶ τάφω χῦ πρόσελθῶν. γὴν συνέσισε τρόμω. σφοδρῶ ἅπασαν. τὸν λίθον ἀπεκύλησεν. καὶ χαῖρε γυναξὶ λόγξαντι. αὔτη θῦ ἡ ἡμέρα ὄντος. αὔτη βροτῶν ἡ τρυφὴ καὶ ἡ δόξα. αὔτη ἡ ἡμέρα τα πόντα ἡγίασεν. αὔτη τοῦ θανάτου τὸ κέντρον ἠφάνησε. αὔτη πύλασ ἅδου ἔθραυσε. καὶ συνέτριψε μοχλοῖσ. αὔτη κόσμον ἀνεκαίνησεν. καὶ παρέσχεν ἱλασμόν. αὔτη τοὺσ ἐν τοῖσ ταφοισ. συγχωρέυειν ἐποίει. αὔτη τὴν πάσαν κτίσιν κατέυφραίνει л. 286. καὶ τέρπει. αὔτη φθορᾶσ. λυτροῦται τὰ σύμπαντα. αὔτη χαρᾶσ βραβέυει τοῖσ πέρασι. ταύτην υμεῖσ. μη θρωεῖσθαι τῶ φοβω. ταύτην φωναῖσ ἐκβοήσατε πίστει. πάσχα ὄντοσ τίμιον:

3-й икосъ: Σύνδρομοι αἱ γυναῖκεσ. ἀπὸ τοῦ τάφου χωροῦσαι. χν̄ ἐγειγερμένον ὡρῶσιν. καὶ τὴν ἄφατον τούτου μορφήν. καὶ ὀπτεύουσαι θεοπρεπωσ πίστουσι. καὶ πόδας περιπτύσσονται. πρὸσ ἃσ ὁ λυτρωτὴσ ἔφησεν. χαῖρε πιστῶν γυναικῶν τὸ κλέοσ. χαῖρε σεμνῶν θηλιῶν ἡ δόξα. χαῖρε φύσισ ξύλω. δεινῶσ ὀλισθήσασα. χεῖρε ἡ ἐμὲ. ξύλων ὄντωσ πλουτήσασα. χαῖρε γένοσ τὸ ἀπάτη με παροργήσαν ἐν ἐδὲμ. χαῖρε γένοσ τῶ πρὸ πάντων μου. ἐφαψάμενον ποδῶν. χαῖρε τὸ τῆσ ἀρᾶσ μου. ἐγκατάκριτον σκῆνοσ. χαῖρε τὸ τῆσ χαρᾶσ μου. εὐπρεπεστάτον στέφοσ. χαιρε κριπῆς. τῶν πόθω ζητούντων μεν. χαῖρε στοργή. τῶν ὄντωσ φιλούντων με. ὄπιτε οὖν μαθηταῖσ με φιλοῦσι ἄπιτε οὖν καὶ βοήσατε ὄμα. πάσχα ὄντοσ τίμων:

На Антипасху.

л. 287 об. **2-й икосъ:** Ὄντως φέρουσα. ἡ βάτος τὸ πῦρ ἐκαιετο. καὶ οὐκ εκαίετο. ἐκ γὰρ τῆς χειρὸς τοῦ θωμᾶ. πιστέυω τοῖσ μωσέως. σαθρὰ γὰρ καὶ ἀκανθώδης. ὑπάρχουσα οὐκ ἐφλέχθη. ψαύσασα πλευρᾶς. ὥσπερ φλογὸς κεομένης. καὶ τότε μὲν τὸ πῦρ л. 287. ἦλθεν ἐπὶ τὴν ἄκανθαν. νυνὶ δὲ τὸ πῦρ. ἔδραμεν ἡ βατώδης. καὶ ὤφθη ὁ αὐτὸς θς̄. ἀμφώτερα φυλάττων. οὕτω πιστέυω. οὕτω λατρέυω. τὸν αὐτὸν θν̄ ἅμα καὶ ἄν̄ον λέγω. κσ̄ ὑπάρχησ καὶ θς̄ μου:

л. 278. **3-й икосъ:** Ὑπεγράφη γάρ. βεβαῖοσ ἡμῖν ὅροσ. ταῦτης τῆς πίστεως. διὰ τῆσ χειρὸσ τοῦ θωμᾶ. χῦ ἀψαμένης. ὡς κάλαμος γραμματαῖως. ἐγένου ἀπιστήσαντα. ἔνθεν ἡ πίστης πιγάζει. ἐκ ταύτης ὀλιστῆσ. ἔπει καὶ ἀνένηψε. ἐκεῖθεν μαθηταί. ἠντλησαν τὴν ἀγάπην. ἐκεῖθεν δὲ ὁ δίδυμος. ἐξεῦρεν ἃ ἐζητει. πίνει οὖν πρῶτος. εἶτα ποτίζει. τοὺς ἀπιστοῦντας μικρόν. πολλοὺς ἔπεισε λέγων. κῶ ὑπάρχης:

4-й икосъ: Τίνος ἕνεκεν. ἡ πόθεν ἡ πῶς ἠπίστησεν ὁ ἀπόστολοσ. ἐρωτήσωμεν εἰ δοκεῖ. τὸν γόνον ζεβεδαίου. τρανῶς γὰρ ἰωάννης τὰ ρήματα τοῦ διδύμου. ἀνεγράψατω τῆ βίβλω τοῦ εὐαγγελίου. φησὶ γὰρ ὁ σοφὸς. μετα τὴν χῦ ἔγερσιν. οἱ ἄλλοι μαθηταί. ἔφησαν τῶ διδύμω ὡ συμμύστα. κατίδωμεν τὸν κν̄ ἐνταῦθα. θωμᾶσ δὲ ἔφη. л. 287 об. εὐθυσ πρὸσ τούτους. οἱ ἰδόντες τὸν κν̄. νῦν ἐκβοήσατε. κς̄ ὑπάρχης θσ̄ μου:

є. Απαγγείλατε παντὶ τῶ λαῶ. ἃ εἴδεται. καὶ ἃ ἠκούσατε. μη καλύψειται μαθηταί. τὸν λύχνον τῶ μοδίω. ἃ λέγεται ἐν τῶ σκότει. κηρύξαται ἐν τῶ φέγγει. στῆτε φανερῶσ. ἔξω μετα παρρησίας. ἀκμὴν ἐν φολεῶ. βλέπετε καὶ θρασύνεσθαι. λαλεῖτε ὑψηλά. τῶν θυρῶν κεκλησμένων βοῶντες. ἑωράκαμεν τὸν κν̄ ἐνταῦθα. λέγετε πᾶσι. μάθη ἡ κτίσις. διδαχθῶσι τὰ ἔθνη. βοᾶν τῶ ἄνακτι: κς̄ ὑπαρχης:

ѕ. Πῶς δυνήσωμαι πιστεῦσε ἡμῖν. ἄπιστα ρήματα. ἡ γαρ ἦλθεν ὁ λυτρωτής. ἐζείτη τὸν οἰκέτην. ἢ ἔλλαμψεν ἡ ἡμέρα. οὐκ ἔφεναι παρ' ὥραν. εἴπερ ὁ ποιμὴν ἦλθεν. ἐζήτη τὸν ἄρναν. ἠρώτησε ποτέ. ποῦ τεθήκατε λαζαρον. καὶ νῦν οὐκ ἔφησε. ποῦ θωμᾶς ἐπωρεύθη. ἀλλ' ἔλαθε τοῦ θέλοντος. μετὰ τοῦτου φανεῖναι. ἀπιστῶ τέωσ. ἕως ἂν ἴδω. ὅταν ἴδω. πρὸσψαύσω καὶ λέξω: κσ̄ ὑπάρχης:

ζ. Εἶτα λέγοντος. ποτὲ τοῦ θωμᾶ. τοιαῦτα л. 288. τοῖσ ἀδελφοῖσ αὐτοῦ. παρεγένετο ὁ σηρ̄. τὸ θάρσος τῶν ἐν φόβω. ἡ ἄμεμπτος παρρησία. τῶν ἐν φυγῆ καὶ δηλία. μέσων μαθητῶν. ὤφθη θυρῶν κεκλησμένων ἰδῶν δὲ ὁ θωμᾶς. κατωκάμπτει τὸ πρόσωπον. καὶ ἔνδον τῆς ψυχῆς. ἔλεγε τί τελέσω. πῶσ νῦν ἀπολογήσομαι. οἷσ ἠπίσ-

τησα πρώην. τί εἴπω πέτρω. τί δε τοῖς ἄλλοισ. οἷσ ωνείδησα πάλαι. ἕωσ ποίσω καὶ κράξω: κσ̃ ὑπάρχησ καὶ θσ̃ μου:

ἠ. Ἴθε ἤσχησα. κἀγὼ σιωπὴν. ὡσ ισ̃ ὅτε ἐκρίνετο. ἀλλ ἠρέθη σέ με λαλὴν. ἡ θέα τῶν χαιρόντων. τοῖσ ῥήμασιν ὑπεκνίσθην. τῶν ἐν χαρα κραυγαζόντων εἴδωμεν σαφῶσ ζῶντα. τὸν γνώμη θανόντα. ἐξήτησα μετα τούτων χωρέυειν. ζηλὸν οὖν εἶπον. ὅπερ προεῖπον. μὴ μεμφθῶ ιῦ' μου. πρόσδεχθῶ βοῶν σοι: κσ̃ ὑπάρχησ:

9-й икосъ: Νύξ μοι γέγονε καὶ σκότοσ βαθὺ. τὰ ρήματα τῶν συνδουλῶν μου. οὐκ ἐφώτησαν γὰρ αὐτὴν. οὐχ' ἧψαν τῆς ψυχῆς μου. τοῦ θαύματος τὴν λαμπάδα л. 288 об. βλέπων γὰρ χν̃. πάλιν θυρῶν κεκλησμένων. εἰδε εἶχον μαθεῖν. ὅτι οὕτωσ ἐλήλυθεν. οὐκ ἂν ἠπίστησα. εἶχον γὰρ ἐννοῆσαι. τὴν εἴσοδον καὶ ἔξοδον. αὐτοῦ τὴν ἐκ μαρίας. μόνον γὰρ εἶπον ὅτι κατ' εἶδον. τίσ δὲ τοῦτον οὐκ εἶδον. πῶσ δύναται λέγειν. κς̃ ὑπάρχης:

ι̃. Οὕτω δίδυμως δίδυμοσ λαλῶν ἑαυτῶ. ἐλάλη καὶ τῶ θῶ ἡμῶν. ὁ ἐτάζων δὲ τοὺσ νεφρούς. τὸν θωμὰν θεωρήσας. συντρίβοντα τὴν καρδίαν. καθῶς ποτὲ τὸν τελώνην. ὤκτηρε βοῶν. φέρε τὴν χεῖρα σου ὧδε. καὶ μὴ απίστει οὖν. λέγε μοι ὀλιγόπιστε. τὰ πέρατα τῆς γῆς ἔφριξαν. καὶ οὐκ ἐγνωσαν τὴν σταύρωσιν. τὴν νέκρωσιν. τὴν ἀνάστασιν ταύτην. μέχρι δὲ τίνοσ ἀμφοιβη τίσ μοι. ὃν ἐπόθης ἰδεῖν. ἰδοὺ βλέπωμαι κραυγάζεις. κσ̃ ὑπάρθης:

ιᾶ. Ὕπνον ὕπνωσα ἐν τάφω μικρὸν. καὶ μετὰ τρεῖσ ἀνέστιν ἡμέρας. δια σὲ καὶ τοὺσ κατ.. σέ. ἐνείνην ἐν μνημείω. καὶ σὺ ἀντὶ εὐχαριστεῖας. πρόσῆξασ μοι ἀτιμίαν. ἤκουσα γὰρ ἃ ἔφησ τοῖσ ἀποστόλοις πρὸσ л. 289. δὲ ταῦτα θωμὰς ἔπτηξε καὶ ἀνέκραξε. μὴ μέμφει μοι σὴρ. σοὶ γὰρ ἄρτι πιστέυω. τῶ πέτρω δὲ καὶ τοῖσ λυποῖς. δύσχαιρένω πιστέυειν. οὐ γὰρ τούτους σου ψευσαμενοσ. καὶ ἑώρα κακεῖ. φόβω κρατουμένους εἰπεῖν σοι. κσ̃ ὑπάρχης:

Въ недѣлю Мvроносицъ.

л. 289 об. 2-й икосъ: Ἔδραμον μυροφόροι. ἐν σπουδῆ πρὸσ τον τάφον μυρῖσαι σου τὸ σῶμα ζητοῦσαι. καὶ φησὶ πρὸσ ἑαυτὰσ ὁ φανεὶσ. ἐξαστράπτων ἄγγελοσ. βοῶν ἄπειτε. ταχὺ ἀπαγγείλατε τῆς θείοισ μαθηταῖσ καὶ φίλοισ. χαῖρε τε λύσισ τῆσ πρὶν κατάρασ. χαῖρε τε δόξα. τῆσ πάλαι εὔας. χαῖρε τε μηνύτριε τῆς θεῖας ἐγέρσεως. χαῖρε τε τῆσ ὄντοσ ζωῆς θεραπεύτριε. χαῖρετε ὅτι καθίδετε ἀναστάντα χν̃. χαῖρετε ὅτι ἐδέξασθε. ἐκ τοῦ τάφυ τὴν ζωὴν. χαῖρετε ὅτι ἅδου. ἀπενεκρώθη ἡ ἰσχὺς. χαῖρεται ὅτι τὸ κράτος ἐπατήθη τοῦ ἐχθροῦ. χαῖρεται νῦν χαρὰν τὴν αἰώνιον. μετὰ χῦ ἐν τῆ βασιλεῖα л. 290. αὐτοῦ. δόξης πολῆς ἀπολαβοῦσαι κόραι. μνῆσθητε οὖν. τοὺσ ὑμᾶσ ὑμνηκότας. ὅπωσ λάβωμεν ἔλεος:

3-й икосъ: Τίς λοιπὸν καταξίαν. τοῦ ἀχραντου ἐκείνου. τὴν δόξαν ἐξύμνήσει μνημεῖου. ἐν ὧ τέθαπτε ὁ λυτρωτὴσ. ὁ θανάτου ἔχων καὶ ζωης δύναμιν. ἐξ οὗ ἡ ἀπολύτρδοσις. παρ οὗ ἡ θησαυροὶ τῆσ σοφίας. χαῖρε καινὸν τοῦ χῦ. ταμειὸν. χαῖρε λαμπρὲ τοῦ κῦ τάφε. χαῖρε τῶν ἀγγέλων θῦ οἰκητήριον χαῖρε τῶν ἀνῶν πιστῶν καταφύγειον. χαῖρε τόπε ἁγιάσματοσ. χαῖρε τράπεζα φρικτὴ. χαῖρε κλίνη καθῶς ἔγραψεν σολομᾶν ὁ θαυμάσιοσ. χαῖρε θάλαμε θεῖε. χαῖρε κῆπε θαυμαστὲ. χαῖρε ἀστὴρ ἀστέρων λαμπρότερε. χαῖρε παστὰς ἡλίου φαιδρότερε. χαῖρε δι ἧς ἐφωτίσθη ἡ κτίσις. χαῖρε μεθ' ἧς πρόσκυνῆτε ὁ πλάστης. χαῖρε οἶκοσ ὁ ἅγιος:

Тѣмъ же Мvроносицамъ и Іосифу 2-го творца.

л. 290 об. 2-й икосъ: Ὁ βουλευτὴσ ἰωσὴφ εὐσχήμων. τῆς ταφῆς τοῦ κῦ. ὑπουργος πεφυκῶσ. συν νικωδήμω σωφρονι. ὡς μυστηρίου ἀρρήται μύσται. εὐφημίσθωσαν ἄσμασι καταχρέωσ τῆ ἐπαφῆ. καὶ πρόσφαύση γὰρ καθηγιάσθησαν. ἐκεῖνου τοῦ ζωηφόρου. καὶ ἀφάρτου (sc). θῦ ἡμῶν σώματοσ διὸ καὶ κήρυκες ἔνθεοι. τῆς αὐτοῦ ἀναστάσεως ὤφθησαν. ἐν ἧ πάσα κτίσις:

л. 291. 3-й икосъ: Ὑπερ ἡμᾶν χῦ τοῦ σρσ̃. εὐδοκήσαντοσ. πάθη. ὁμιλῆσαι σαρκὶ. καὶ τριημέρω δοθῆναι ταφῆ. δύο κρυπτοὶ μαθηταὶ ἐν τάφω. κατακρύπτουσι τοῦτου. τὸ θεῖον σῶμα. σὺν ἰωσὴφ. καὶ νικόδημος θεῖω βουλήματι. μαρία μαγδαλινὴ δε. καὶ σαλώμη ἑταῖρες συνπλεῖωσιν. μυρίσαι τοῦτο βουλόμεναι. τὴν ἀνάστασιν πρῶται τεθέανται. ἐν ἧ πάσα κτίσις:

Въ недѣлю 4-ю Разслабленаго.

л. 291. 4-й икосъ: Ἄγγελοσ μὲν θῦ κατὰ καιρὸν κατέβαινεν. ἐν τῆ προβατικῆ. κινήσει τῆ τοῦ ὕδατοσ ἕνα θεραπέυων νοσοῦντα τῶ χρόνω. χσ̃ βουλῆς δὲ μεγάλλησ ἄγγελος. ὑπάρχων ἰάσατο. τὸν ἐπὶ χρόνοις πλήστησ ἀκίνητον. κείμενον κελεῖσας ὡσ εὐκίνητον. τὴν κλῖνην αἴρειν καὶ βηματίζειν. πρὸσ σρ̃ιους ἐντωλάς. δοξολογοῦντα εὐθαρσῶσ ιν̃ τὸν σρ̃α. ὅσ καθεῖλεν καὶ τὸν ἅδην. ὡς ζωοδότης:

3-й икосъ: Ἀπορούντι ποτὲ. τῶ παραλύτω ἔφησε ισ̃ ὁ χσ̃. ὡσ εἶδεν κατακείμενον. θέλης ἰαθῆναι. ὁ δὲ ἀντ ἐβόα. τὸ ἠαθῆναι. θέλω φιλ̃άνε. οὐκ ἔχω δὲ ἄν̃ον τὸν βοηθοῦντα. τῆ ἀσθενήα μου. τοῦτον δὲ εὐθὺς. τὴν κλῖνην ἄραντα. ὀρθῶσ βαδίζειν. κελεύσας πασιν. σαυτὸν ὑπέδειξασ θν̃. ὑπάρχει ὄντοσ καὶ βροτῶν. ὡσ καὶ θάνατον πατήσας. л. 292. ἐκ τοῦ τάφου νῦν ἀνέστη. ὡσ ζωοδότης:

На Преполовенiе.

л. 292 об. 2-й икосъ: Ὁ τῷ μωσῇ ἐμφανισθῆς. ἐν ὄρη τῷ σιναίω. καὶ πλάκας τὰς τοῦ νόμου. αὐτῷ διατυπώσας. ὡσ βεβηλὸν τὸ σάββατον. ὑπὸ ἰουδαίων. ἀνακρινεται νυνί. καὶ φέρει ὡσ φιλᾶνος. εὐεργετῶν ἰώμενος ἅπαντας. τοὺς νενοσικότας ἀνιάτως καὶ τῶν νῶτων πεπληγμένους. ὑπὸ τῆς ἁμαρτίας. ἐκχέων ἐπ' αὐτοὺς. л. 293. τὸ αἷμα καὶ ὕδωρ. τὸ χυθὲν ἐκ τῆς αὐτοῦ ζοὸπαρόχου πλευρᾶς καὶ διδοὺς. εις λύτρον τῶν πιστευόντων. σὺ γὰρ ὑπάρχης:

3-й икосъ: Ὕδωρ ἐθέριον χεροὶ. καρδίας ὁ κατέχων. ἀβύσσους χαλινοῦντα. πρς ἀνάρχου λόγος. παραγυναῖου παινιχροῦ. ὕδωρ της ἀφέσεως. ὃν γὰρ τὸ πρὶν ὡσ ἄνον ἔβλεπεν. ὕστερον κηρύττει. βασιλέα καὶ δεσπότην. θν ὁμοῦ καὶ ἄνον τοῦτον. αὐτὴν οὖν καὶ ἡμεῖς. μιμησάμενοι πιστοί. ὀποστῶμεν τῶν κακῶν. καὶ μετανοῖας. ὕδωρ τῷ χῷ. αἰτήσωμεν ἀκαταπαύστως. σὺ γὰρ ὑπάρχης:

Въ недѣлю 5-ю на Самарянѣню.

л. 293 об. 2-й икосъ: Ἐν τῇ πηγῇ τοῦ ἰακὼβ. ἡγιηγὴ τῆς σοφίας. ἐκ τῆς οδοιπορίας. χς ζωοδότης. κεκαθικῶσ καὶ γυναικὶ. ὕδωρ ἐξητεῖτο. σρίας ἀπαρχεῖν. αὐτὴ ζητῶν τὰ νάματα. τοῦτο γὰρ καὶ τοῖς φίλοις ἐφθέγγετο. ὅτι βρῶσιν ἔχω. ἣν ὑμεῖς νῦν ἀγνοῆτε. συνεῖτε δὲ. ταῦτην μετὰ ταυτα εις τοῦτο γὰρ ἐγὼ. ἐλήλυθα θέλων. τοῦ πρσ μου τελειοῖν. τὸ θεῖον ἔργον. τῶν ὀμαρτῶλῶν. εἰκότως τὴν τρίαν. πάσι παρέχων:

3-й икосъ: Ἱεριχῶ καὶ σιλωὰμ. μετὰ πολλῶν ὑδάτων. σοφίας τῆσ ὀμείνω. ἡ ἄβυσσος ὁ λόγος. καταλειπῶν προσ τῇ πηγῇ. ἔρχετε τὸ ὕδωρ. τῆσ ἀφέσεωσ ζητῶν. л. 294. ποτῆσαι τὸν τῷ καῦσωνι. φλεχθῆσιν ἀγνωσίας ὡς ἔυσπλαχνος. οἷσ διὰ τοῦ γυναῖου. τοῦ ἐκ πόρνης σωφρονοῦντος προσέικατω. τότε σαμαρείταις. μεθ ἂν νῦν καὶ ἐιμεῖς. αὐτῷ τῷ σρι. προσέλθῶντες καθαρὰ. τῇ συνηδείσει. λύσιν τῶν πολλῶν αἰτήσωμεν ὀφλημάτων. πάσιν παρέχων:

л. 294 об. Въ недѣлю слѣпаго.

2-й икосъ: Ὡς συναΐδιος πρι. ὑσ γεγεννημένος. ὁ καὶ συμβασιλέυων. τὸ πνι τὸ θεῖον. τὸ παντουργὸν καὶ θεϊκὸν. τὴν τῶν ἰουδαΐων. σκαιωρίαν καὶ βουλὴν. τὴν ἄδικον ἐλέγχοντα. ἐν σαββάτω ὀφθαλμοὺς ἀνέωξεν. τὸν ἐκ γεννητοῖς μεν τυφλὸν ὄντα ὕστερον δὲ. νιψάμενον προστάξει τοῦ πλάστου. πιλὲν γὰρ ὀφθαλμοὺς. χρήσασ τὸ λοιπὸν. ἀνεπλήρου ὡς θς. ὁ τὸν ἀδὰμ μὲν πάλαι ἐκ χοὸσ ποιήσας ἄνον λόγω. σοι τῶν ἐν σκότει:

Въ недѣлю предъ пятдесятницею святымъ 318. отцамъ.

л. 309. 2-й икосъ: Ῥώμη τῇ θεῖα ἀπο γῆσ. περάτων ὡσ νεφέλαι. φαιδραὶ καὶ φωτοφόρε. ἐν πόλι νικαέων. πρέσ πάνσοφοι ποτὲ. ἅμα συνελθόντεσ. ἐπομβρίεσ θεϊκαῖσ. αἱρετικῶν συστήματα. ἄρδην συγκατακλίζουσιν ἄνωθεν. πάσι δε τι κτίσει. τῆσ τριάδοσ μίαν φύσιν. κηρύττουσιν. τρισὶν ἐν προσώποις. τὸν ἕνα δὲ σαφῶσ τριάδοσ τῆς θεΐας. σαρκοφόρον ἀψευδὸς ὁμολογοῦσι. θν ἀληθῆ καὶ ἄνον γεγονῶτα. μία γαρ δόξα:

3-й икосъ: Ἰδοὺ τὸ μέγα καὶ σεπτὸν. τοῦ λόγου καὶ δεσπότου μυστήριον πρες. οἱ μεγίστοι τρανοῦσι σήμερον κράζουσι πιστοῖς. εἰς ὁ θεῖος λόγος. ὁμοούσιος πρι. ὁμοφυεῖς τῷ πνι. εἰσ γὰρ κἂν ἐσαρκωθῇ νῦν πέφυκεν. ὡς ἐν ὑποστάσει. καὶ προσώπω ὑπάρχων. ἐν φύσεσι. δυσὶν ἠνομένος. ἀρεΐου δεδεινοῦ. μανία ἀπίστω. ὁς μικρίνουσα χῦ. φύσιν καὶ δόξαν. ταὶ πάσι πιστοῖσ. τρανούσθω καὶ πρσκυνήσθω. μία γὰρ δόξα:

Тѣмъ же святымъ Отцамъ.

л. 309 об. 2-й икосъ: Ἰεριχῶ καὶ σιλωὰμ. καὶ τοῦ σαλὶμ τὰ πλησιόν. μετὰ πολλῶν ὑδάτων. αἰσθητῶν ρευστῶν ἀκούων. φανερὰ δὲ л. 310. τούτων καὶ ἄγωνα διανέμει ἃι γὰρ μέγας ἐλισσαῖος ταῦτα ἰάσατο. ἄλλα τι προσμίξας τὴν εὐλογίαν. πνι πηγάσας. τὴν ζωόγονίαν ἐν αὐτοῖσ. ἐνταῦθα δε τὰ μείζονα. ἔχει γὰρ ὕδατα ἡ ἐκκλησία. ἐκπορευόμενα καὶ ἐξαλλόμενα. ἐκ τοῦτου εισ τοῦτο. ἄρρευστως ἀρρήτως. ζωόγονοῦντα. οὐ διἐκπίπτοντα. ἑκάστοτε διαυγάζοντα. τῆσ εὐσεβίας:

3-й икосъ: Σύμβολα ταῦτα νοητὰ. θείων κατέχουσα μνήστρων. ἡ νήμφη τοῦ χῦ. ὡραΐζεται ποικίλωσ. τῶν δεδεῖθρων τοῦτων πηγὴ τὸ ἅγιον πνα. κρουνοῦσ δε νόει. ὀχετοὺσ ἡ βούλη. καὶ αὔλακας. πρῶτον ἀποστόλους. εἶτα προφήτας. τρίτον διδασκάλους. οἷς πρόσθες καὶ γένη γλωσσῶν. οὓς παῦλος συνηρίθμησεν. τοῦτους γὰρ ἔθετο ἐν τῇ ἐκκλησία. καθ' ἅπερ αὔλακας ὁ πολυέλεος. τοῦ κόσμου γεοῦχος. ἐντεῦθεν ἀρδευόντων. πάντα γύρον τῆσ οἰκουμένης. ἐκχεῶν ἐκ τοῦ πνσ. ἐφ ἅπαντας οὖσ ἐφάτησεν: τῆς εὐσεβείας τὸ μέγα:

л. 310 об. 4-й икосъ: Ἄνωθεν οὖν παρὰ θῦ. καὶ τῶν αὐτοῦ δεξαμένη. κρατῇ τὰς παραδῶσις. ἡ ἁγία ἐκκλησία. ἡ ἀπὸ περάτων. καὶ ἕως πάλιν περάτων. μία καὶ μόνη. στηριχθῆσα καὶ βασιλέυουσα. λόγω γὰρ ἡθράσθη τότε τῷ λόγω λέξαντοσ τῷ πέτρω. ὦ σίμον μακάριος εἶ. ὃν θῦ γνωρίσας με. τοῦ πρσ ἄνωθεν ἀποκαλύψαντοσ.

καγὼ δέ σοι λέξω. ὅτι σὺ εἶ πέτρος. καὶ ἐπι πέτρα θεμελιω μου τὴν ἐκκλησίαν. ἣν δέδωκά σοι. ἣν πύλαι ὑποχθόνιοι. οὐ λύουσιν οὐδε στέφουσι. τῆσ ευσεβείασ:

ε. Γέγονε νόμος τὸ ρηθὲν. σφραγὶσ δε ὤφθη. ἡ λέγξισ. καὶ ἄσιστοσ ἡ πέτρα. διαμένει εἰσ αἰῶνασ. ποταμοὶ διῆλθον. καὶ χείμαροι ἀνομίασ. καὶ ὡση ὕδωρ ἐξεχύθη. πάσα η ἰσχὺσ αὐτῶν. ὅσον γὰρ ἡ πίστισ ἐκπολεμεῖται. μᾶλλον γαρ ἰσχύι. ἀθλοῦσα νομίμωσ ἀεὶ καὶ τρόπαια ἐγείρουσα. ποῦ εἰσὶν οἱ ποτὲ. ταῦτην τὴν μά δρα. διαθρυλλοίσαντεσ ἀλλ᾽ ἡ συλλησαντες. οἱ πνέοντες φθόνου. οἱ γέμοντεσ δ ὅλου. οἱ ἀκονοῦντεσ θῶ τὴν л. 311. γλῶσσαν. οὐχὶ πάντας ὁ ὕψιστος ἐνίκησε καὶ ἐλίκμησαι. τῆσ εὐσεβίας:

ϛ. Ἴστε γὰρ ὅσα κατ᾽ αὐτης. ἄρεισ καὶ οἱ ἀρεῖοι. ἐμάνισαν πολλάκισ. ὥσπερ κοῖνες (sic) οἱ λακτοῦντεσ. καὶ οὐκ ἔιναι ἔιπον. πρὶν γενηθῆναι τὸν λόγον. κτίσμα καλοῦντες. τὸν δι οὗ τὰ πάντα ἐγένετο. τὸν προέωσφόρου γεγεννημένον. τὸν ἐκ του μειόντος. λόγω καλέσαντα τὸ φῶσ. καὶ πλάσαντα τὸν ἄνον. ἴλεοσ ἴλεοσ πάσιν ὑπάρχων πρι συνάναρχε καὶ ὁμοουσιε. ἐτόλμησαν ταῦτα. ἀλλ ὤφθησαν τέφρα. ἐσκορπισμένοι παρὰ τὸν ἄδην. ἐκεινη διεσχίσθησαν. ὑπάρχη δὲ ἀδιαίρετον. τῆς ἐυσεβίασ:

ζ. Οὕτω μεν οὖν τῶν ἀσεβῆ. σὺν τοῖς αὐτοῦ δυσφημοῦσι ἡ ἄνω θεῖα δίκει. διέκρούσατο δικαίως. καὶ οὐκ ἠξιώθη ἰδεῖν. τὴν δόξαν χῦ. οὐ γὰρ συνοίκεν. ἀλλ ἐν σκότει διαπορέυετε. ἅμα σαβελλίω τῶ καταχρίτω. δύο γὰρ ἀλλήλοισ. τὰ τῶν ἐνάντίων κακα. τῆ πλάνη δὲ ὁμότιμα. οὗτοσ γὰρ πρόσωπον ἐν τῆ τριάδη. φησὶ τριώνυμον ὁ τρισκατάρατοσ. μηδὲν διάφερῶν. л. 311 об. μηδὲν διάλάττων. τῆς ἰουδαΐων φρενοβλαβεΐασ. ἐκείνοις ἐικολούθησεν. ὁ δίλαιος καὶ ηρνήσατο. τῆσ ἐυσεβείας:

η. Ὑπὸ δὲ ταῦτην ἔπεσαν. τὴν ἀπερίτρεπτον πέτραν. καὶ ὅσοι κατ ἐκεῖνους. μετεκείνουσ ἐδυσφήμουν. οἱ θν τὸ πνα μὴ ἀνεχόμενοι λέγειν. ἀλλ εις τὴν κτίσην. ὥσπερ δοῦλον τοῦτο κατάγοντες. ὦ τῆς ἐυχαρίστου φρενοβλαβεΐας. πῶς ἠλευθερώθης. ἐιμὶ τὸ πνα λαβῶν τὸ ἅγιον. καὶ κύριον. πόθεν σοι δέδωται. υιοθεσία. διανοήθητι ἢ ἀποκρίθητι. ἐαν γαρ ἀρνήσει ἐξέπεσας ταῦτης. τοῦ δεδοκῶτος ἐστερημένος. ἡμεῖς τὸ πνα οἴδαμεν. θν ἡμῶν καὶ δοξάζομεν: τῆσ ἐυσεβεΐας:

θ. Σάλον πολὺ ὡσ ἐιρηται. ἐκ τρικυμίας μεγάλης. λαβοῦσα οὐκ εσείσθη. τοῦ θῦ ἡ ἐκκλησία. ἀλλ᾽ ἐκραιταιώθη. καὶ μένη ἐστηριγμένη. πάλιν γὰρ ἄλλοι. δι ετέρων τρόπον ἐισέβαλον. θέλοντες ταράξαι καὶ διάσεῖσαι. τῆς ἐπειδιμίας καὶ οἰκονομίας χῦ. τὸ ἄφραστον μυστηριον. ὅν τινέσ. τῆς σαρκὸσ ἄρνησιν ἧγον. μετὲ л. 312. πικρύψεως. οἱ δὲ θεότητος. καὶ ἄνον λέγειν. ψιλὸν ἀπετόλμουν. τὸν ἐν θαλάσσει ὁδειποροῦντα. πολλοὶ οὖν ἐκατέρωθεν οἱ λέλαπες οὓς ἐφήμωσεν. τῆς ἐυσεβεΐας τὸ:

ι. Πάντων οὖν τούτων ἔνεκεν. κατα καιροὺσ συνιέντεσ. οἱ ἅγιοι πρες. ὡς ποιμένες τῶν προβάτων. τῶν μὲν ζιζανίων ἐξέτεμων τὴν πικρίαν. πρὸσ δὲ τὴν πόαν. τὴν γλυκύαν ἧγον τὰ θρέμματα πάσας χαρακοῦντες. τὰς διεξόδους. ὅπως μὴ ἐπέλθη λύκος. ἢ ἄλλο πονηρὸν. καὶ πρόβατον ἀπωλεῖται. οὗτοι οὖν. ἔβαλον ὥσπερ σφενδόνι. τοῖς ἀναθέμασι. τους τῶν αἱρεσέων προστάτας καὶ τοῦτουσ λαοὺς ὀρθοδόξων. καὶ ἱερέων πατοῦσ πόδες. ἡμεῖς γὰρ ἐνευθύτητι. ἐστήκαμεν καὶ κηρύττομεν: τῆς ἐυσεβείας:

ια. Ἅπαντες ἔχωμεν ἐιμεῖσ. χρηστιανοὶ προστασίαν. καὶ τεῖχος ἐν πολέμοις. καὶ γαλίνην ἐκινδύνοις (sic) κατ᾽ ἐξαίρετόν δὲ ἡ βασιλέυουσα πόλισ. πρῶτον μεν ὅτι л. 312 об. ὑπ αὐτῆς πιστοὶ βασιλέυουσι. ἔιτα δὲ καὶ σέβει περισσοτέρως. και τῆς θκου τιμίαν αἰσθήτα φέρει. ὑφ ἧσ καὶ μαλλον σκέπεται. λέγουσα δέσποινα. ὥσπερ παιδίσκην. ὑπὸ τὰς χεῖρας σου ἀεί με φύλαξον. ὅν τρόπον καὶ ἴδη. ἐρρύσω μαχαῖρας καὶ οὐκ ἀπῶσω τὴν προσευχὴν. τοὺς ἐχθροὺς μου ἀπέστεψας. καὶ ἔφυγον οἱ διόκοντες: τῆσ ἐυσεβεΐας τὸ μέγα:

Пресвятой Богородицѣ 2-го творца.

л. 321. 2-й икосъ: Θρήνοις ἀμέτροις πρόσπίπτωμέν σοι. μὴ ἐις τέλος ἐασις. πειρασθῆναι ἡμᾶς. ὁ μολογοῦντας τὴν χάριν σου. σὲ γὰρ ὁ πάντων ἐξουσιάρχης. προστασίαν δεδώρηται τοῖς ἀνοῖς. σοὶ ὀρφανῶν καὶ χειρῶν προστατέυεις πανύμνητε. λυτροῦσαι τοῖς ἐν ἀνάγκαις. ἀσθενῆς θεραπέβεισ πρεσβεῖαις σου. τοῖς θλιβομένοις προΐστασαι. τὰς αιτήσεις πληροῖς τῶν βοώντων σοι. ἡ μόνη ταχέως:

3-й икосъ: Κλῖνον τὸ οὖς σου ευλογιμένη. καὶ ἐισάκουσον πάντων. τῶν βοώντων πρὸς σὲ. ἀδιάλειπτως καὶ δώρησαι πασιν ἐιρήνην καὶ ἐυρωστίαν. ἀσθενεῖς τὴν ὑγίαν καὶ σρίαν. σκέπε γύμνοὺς ἀποροῦσι τροφὴ τοῖς λιμόττουσιν καὶ πάσιν ἀδικουμένοις βοηθὸς καὶ προστάσις γενήθητι. καὶ τὴν ἐκδίκησιν л. 321. βραβεῦσον. ὅπως πάντες κραυγάζομεν δέσποινα: ἡ μόνη ταχέως:

л. 322. Умершимъ.

2-й икосъ: Υἓ θῦ μονογενῆ. ὁ μέλλων ἐπι θρόνου. καθέζεσθαι ἐν δοξη. τοῦ κρῖναι τῶν ἄνων τα πεπραγμένα ὡς θς. οὕσπερ πρόσελάβου. ἐξ ημῶν νῦν ἀδελφοὺς. δικαίοις συναρίθμησον. τῆς τρυφῆς τε τῶν χειμάρρουν. ὡς ἐυσπλαχνος. πότησον ἐις τέλος ὁ τῆ λόγχει τὴν πλευρὰν σου. διανοιγεῖς. καὶ τάφω οἰκήσας ὅπως σώσεις τὸν

ἀδὰμ. καὶ τοῦς ἐκ τὐτου. καὶ ἀνοίξας τὴν ἐδὲμ. συνησαγάγης. πάντας ἐν αὐτῇ. τοὺς πίστει κεκοιμημένους σὺ γὰρ ὑπάρχης:

3-й икосъ: Αἱ τάξεις πάσαι ἀγαθὲ. ἀγγέλων καὶ ἀν̄ων. παρίστανται ἐν φόβω. τῶ σῶ δικαστηρίω. ἔνθα οὐκ ἔστιν οὐδαμῶς τίς τὐ βοηθεῖσαι. εἰμὶ αἱ πράξεις διὸ. βοῶ σοι. ἀναμάρτητε. φαῖσαι μου τότε ὡς ἔχων τὸ εὐσπλαχνον. οἶδα γαρ τὰ ἔργα. ἃ ἐν βίω ἀμελίσας. εἰργασάμην. καὶ φρίττω δίκην. ἀλλ' οἰκτήρισον σῆρ. χειρῶν σου. τὰ ἔργα. καὶ χορῶ τῶν ἐκλεκτῶν κατάταξον με. πρεσβεῖαις χ̄ε τῆς σὲ л. 322 об. ἀγνῶς κλήσεως: σὺ γὰρ υπάρχης:

Умерщимъ же 2-го творца.

2-й икосъ: Οἱ περίοντες σαρκὶ τῶ βίω. τοῖς θανῆσι βοῶμεν. τοῦ ὑπάρχεται νῦν. ποῦ ἐστὶν ἡ κακοικεῖα ὑμῶν. ποῦ χωρισθέντες ἡμῶν οἰκεῖται. ἐν χαρὰ ἢ ἐν λύπη. л. 223. ἢ ἐν ανέση. λέξετε οὖν τοῖς πενθοῦσιν ἡμᾶς. καὶ θρηνοῦσι πικρῶς. ἵνα μαθόντες. μνήμην ποιοῦμεν. καὶ βοῶμεν πρὸς κν̄ λέγοντες. τοὺς μεταστάντας ἀγαπαυσον. ἐν σκηναῖς καὶ μοναῖς τῶν ἁγίων σου: κριτῆς γαρ υπάρχης:

3-й икосъ: Φεῖσαι μου κ̄ε φεῖσαι τότε. ὅτ ἂν μέλλεις με κρίνε. ἐν ημέρα φρικτῆ. ἐνώπιον τῶν ἀγγέλων σου. καὶ ὡς ἐδέξω τὴν οἰκεσίαν. καὶ τὰ δάκρυα πέτρου τοῦ κορυφαῖου. τῶν μαθητῶν. καὶ τελώνου φαιδρῶς τὴν κατάνυξιν. καὶ ὥσπερ ποτὲ τὴν πόρνην. καὶ ἐμὲ πολλυεὔσπλαγνε κ̄ε. συγχώρησον τα ἀμέτριτα. τῶν ἐμῶν ἐγκλημάτων ὀφλήματα. κριτῆς γὰρ υπαρχης:

Дополненіе къ Греческому Кондакарію изъ мѣсячныхъ миней.

СЕНТЯВРЬ.

3-го св. мученику Анѳиму изъ служебной минеи Сентябрской Сев. Соб. XII—III в. № III.

л. 11 об. Ὁ οἶκος: Ρωμαλαιώτητι φρενῶν. παρέστης ἱεράρχα. ἀδίκω βασιλεῖ τε καὶ παρανομοτάτω. μὴ πτύξας τούτου τὸν θυμόν. ἔχων δε τὸ ὄμμα τῆς καρδίας πρὸς θν̄. ἐβόας ἱερώτατε. ἀπὸ τῶν κυκλωσάντων με ῥῦσάι με. τὸ ἀγαλλίαμα μου συνετίζων με εἰς τέλος. καὶ συμβιβάζων ἐν τῆ ὁδῶ ταύτη. ἐν ἧ μαρτυρικῶς διαπεράσας καταντίσω εὐσεβῶς. εἰς τὸν λίμενα τῆς ζωῆς. ἐν ὧ ὑπάρχων. σῶζε πάντας. ταῖς σαῖς πρεσβείαις:

4-го по 6-й пѣсни св. мученику Вавилѣ изъ служебной минеи Сентябрской XV-XVI в. № 440. Московской Сѵнодальной Библіотеки. л. 49.

Κοντκ. ἠχ. πλδ (8). ὡς ἀπαρχὰς τῆς φυσεως.

Ὡς εὐσεβείας κήρυκας.(—κα [1]) καὶ ἀθλητῶν ἑδραίωμα. ἡ ἐκκλησία δοξάζει σε ἔνδοξε. λαμπρυνομένη σήμερον. ἄλλως ἔχων παρρησίαν. ἐν εἰρήνη τελεία. τοὺς μεγαλύνοντας καὶ ἀνυμνοῦντας σε τὸν χν̄ (τῶ χῶ) φυλάχθῆναι δυσωπησον. (ἱκέτευε). ὦ πολύαθλε:

Ὁ οἶκος: Τὴν τοῦ κόσμου σαφῶς ματαιότητα. ἐννοῶν ὁ τοῦ κόσμου ἀλλότριος. καὶ τὰ πάθη χῦ μιμησάμενος. τὰ τοῦ σώματος πάθη ἐνεκρωσας. καὶ τὸν στρ̄ον σου ἀράμενος. ἠκολούθησας μάρτυς τῶ κτίστη σου. καὶ συμμένων αὐτῶ νῦν. ἱκετευε ὑπὲρ τῶν σε τιμώντων ἀληθῶς ὦ πολύαθλε:

7-го по 3-й пѣсни св. муч. Созонту изъ служебной минеи XV—XVI в. № 440. Моск. Сѵн. Библіотеки. л. 75 об. и 76.

Κοντακιν. ἐπεφανησ σημερον.

Τῶν μαρτύρων γέγονας. τίμιον κλέος. καὶ τῶ κόσμω ἔλαμψας. τῶν ἰαμάτων τὴν πλήθην. ὃν ἐκ θῦ πλουτιζόμενος. σώζων παμμάκαρ. λιταῖς σου περίσωζε:

Οἶκος. Τὸν ἀνατείλαντα σαφῶς. ἐν τῆ σεπτῆ καὶ θεία χῦ τῆ ἐκκλησία. τὸν μέγαν ἀθλοφόρον л. 76. σώζοντα πάντες ἐν ᾠδαῖς νῦν προθύμως ἀνευφημήσωμεν αὐτῶ προσάδοντες ἐπάξια. οὗτος γὰρ ὄντως θράσος κατέβαλε τῶν εἰδωλομανούντων τοῖς πιστοῖς δὲ σρ̄ιαν βραβεύων ἑκαστότε μένει. Διὸ οἱ γηγενεῖς τῶ πόθω θελχθέντες. μακαρίζομεν πιστῶς νῦν γεγηθότες. μνήμην τὴν σεπτὴν καὶ ἔν-

Изъ большаго Часослова Сев. собр. № 1. XIV—XV в. л. 52. Ко҇. гл҇а. и҃. по҇. ꙗко н҇.

[2]). Ꙗко бл҃гоустїа проповѣдника. и стртотрьпцемь (страдалцем҃.) ѹтврьженїе. црк҃вы славит҆ (прославлае҇) та славне. ѹкрашаема (осщ҃аема) дн҇ь. нж҇ ꙗко имѣж дрьзновенїе вь мирѣ съврьшенѣ. велиуажщи҇ (— уаа) и пожщих та (восхвалающаа) кртомь (sic). съхрани (ти хв҇и) и съблюди прпо҇бне ·:· (молїса ѡ многострадалне).

Изъ минеи 1561 г. № 87. Библ. Унд. л. 64 и об.

Ӏко҇. Мирское ꙗкѣ суетне помышлаа. иже мира ѿтоужѣныи. и стртемъ хв҇ы подобаса плоскыа страсти оумртвилъ еси и кртъ свой вз҇е, послѣдовалъ еси мѫнуе жизнителю своемѹ. и пребываа с ни҇ нн҇ѣ молиса. ѿ утѹщи҇ та во їстинну (✝ лю҇) ѿ многострадалне .:.

Изъ минеи Сентябрской № 87. 1561 г. Библіотеки Унд. л. 97. по 3-й пѣсни.

[3]). Ко҇ стмѹ. гл҇а. д҃. по҇ ꙗвиса дне҇.

Мѹнко҇ бывъ утн҇аа хвала. мїрокї восналь еси ис цѣленїи множство иже (иже) ѿ бг҃а обогащса, созонте преблаженне. млтками твоими спс҃и на҇ .:.

Ӏко҇: Воснавшаго ꙗвѣ въ утнѣи и бжтвенѣи хвѣ црквн. велїкаго страдальца. созоита. вси пѣсньми прїидѣте нн҇ѣ, усердно въсхвали҇ того. принесше достоинаа. се бо во истиннѹ свирѣпьство низложилъ есть идолослѹжїтеле҇ вѣрны҇ спн҃їе подаваа всега҇ пребывае҇. тѣ҇ земленоронїи любовню прївлекшеса оѹблажае҇ нн҇ѣ почїтающе. пам҇а утнѹю и славнѹю стртотрьпца,(— це)

---

[1]) Разночтенія Кондаку 4-го числа изъ Святцевъ съ тропарями и Кондаками № 2-й Сев. соб. 1323 года л. 23 об.

[2]) Въ часословѣ сей Кондакъ написанъ св. Ѳеоктисту, спостнику Евѳимія великаго. Разночтенія Кондака изъ минеи 1561 г. № 85. Биб. Унд. а Икосу изъ служ. минеи моего собранія № 32. XVI л. 52.

[3]) Разночтенія 7-го числа изъ служ. минеи моего собр. № 32 XVI—XVII в. л. 83. и 86. 2-й икось тамъ же.

δοξον τοῦ ἀθλοφόρου. σώζων παμμάκαρ λιταῖς σου περίσωζε:

По 6-й пѣсни Кондакъ такъ же, какъ и 9-го Сентября, а икосъ другой слѣдующій:

л. 79. Ὁ Οἶκος: Τῇ στειρευούσῃ καρπὸς ἐδόθη ἡ θεόπαις μαρία. ἣν προεῖδον ποτὲ, προφῆται θεῖοι ἐν πνι. ταύτην ἡμεῖς σήμερον ὁρῶντες ἐν τοῖς κόλποις τῆς ἄννης πρισκίρτῶσαν σὺν τῷ πιστῷ ἰωακεὶμ νοητῶς προσεστίαν πανάγίαν συνέλθωμεν. καὶ τοὺς πόρρω καλέσωμεν λέγοντες. τοῦ κόσμου νῦν ἡ ἀνάκλησις ἐξ ἀκάρπου γαστρὸς ἀνεβλάστησεν. ἡ μόνη καὶ μῆρ καὶ ἀπείρανδρος.

13-го по 6-го пѣсни обновленію храма. л. 152. об. Κοντ. ἦχος β. τοὺς ἀσφαλῆς καὶ θεοφθόργους.

[1])Ἐγκαινισμὸν ἐν ταῖς καρδίαις πνς. καὶ φωτισμὸν ἐν τοῖς ἐγκάτοις καίνισον. τοῖς ἐν πίστει ἐκτελοῦσι. τὰ ἐγκαίνια. τοῦ οἴκου καὶ ναοῦ σου ὃν εὐδόκησας. κτισθῆναι ἐν τῷ σῷ θεία ὀνόματι. ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος. **коли (изволилъ ѥ.) създатися въ твоѐ бжтвное (твоѥ.)**

Ὁ οἶκος. Μνήμην ποιῶν ἐγκαινίων ὁ σοφώτατος πάλαι σολομῶν τῷ θῷ ἀλόγων ζώων προσέφερε ὁλοκαυτώματα καὶ θυσίας. ὅτε δὲ νῦν ἡ ἀλήθεια καὶ ἡ χάρις ἦλθεν ἐν γῇ. τὰς θυσίας εὐθὺς μετεποίησε. θύσας δε θυσίαν εἰς σρίαν τὴν ἡμῶν, ἐν αὐτῷ ὡς φιλανθς. τὴν ἐκκλησίαν ἡγίασε. καὶ ἀσάλευτον ταύτην ἀνέδειξεν, ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος:

16-го по 6-й пѣсни св. Евѳиміи. л. 186.

Κοντ. [2]). ὁ ὑψωθεὶς.

л. 186 об. Ἐν τῇ ἀθλήσει σου καλῶς ἠγωνίσω καὶ μετὰ θάνατον ἡμᾶς ἁγιάζεις. ταῖς τῶν θαυμάτων βλυ(ή)σεσι πανεύφημε. ὅθεν σου τὴν κοίμησιν. τὴν ἁγίαν ὑμνοῦμεν. πίστει καταφεύγοντες. ἐν τῷ θείῳ ναῷ σου. ἵνα ρυσθῶμεν νόσων ψυχικῶν. καὶ τῶν θαυμάτων τὴν χάριν ἀντλήσωμεν.

Ὁ οἶκος. Τῆς πανευφήμου ὁ ναὸς παράδεισος ἐδείχθη. ἐν μέσῳ κεκτημένος φυτὸν ἀθανασίας. τὸ σῶμα ταύτης τὸ σεπτὸν. τούτου οἱ τρυγῶντες καρποὺς τοὺς εὐθαλεῖς. συντόμως ἁγιάζονται. ὁρῶντες δὲ θαυμάζουσιν. ὅτι πῶς τὸν νεκρὸν σῶμα. ὥσπερ ζῶν ἀναβλυστάνει τὰ αἵματα μυρίζοντα πάντας. διὸ μετὰ σπουδῆς, δεῦτε πάντες σὺν ἐμοὶ τῷ ταπεινῷ καὶ καθαρθῶμεν μολυσμοῦ παντός. περιπτυξώμεθα τοῦτο. καὶ τῶν θαυμάτων τὴν χάριν ἀντλήσωμεν:

коніюще. сохонте всеблжнне. млтвамї сї спсаи на ·:·

Изъ минеи № 76. XV в. Библіотеки Ундольскаго л. 33 и об. Ἰκο.

Непдоствоухщен пло даса. бгоотроковицж мрїа. еюже провидѣшж иногда прорци бжтвнїи дхо сїж мы днс хрѧщи въ нѣдрѣ аннинѣ играющж. съ вѣрным оакымо. мысльно къ трапезѣ прїти снидѣмсѧ. и сѫщїи далече позокѣ глаще. мирови нынѣ обновленїе ѡ неплоньїѧ ѧтробы прозабе. єдина мтн неискоусомжжнаѧ ·:·

Изъ минеи № 76. XV в. Библіотеки Унд. л. 66. Ко гла. [3]) в по твѣрдыж.

Обновленїе срца (— всѣхъ) дхо (— вною) и просвѣщенїе ѧтробы (внутрени) обнови. (даруи) сщилм ѡбновленьѧ вѣрож съвръшаѭщи. поновленїе дома (— оу) и храма (церкви) твоего (— м) его же. (ему) благоимѣ. єдине въ стых почиваѧи ·:· (слави).

Іко. Памѧ твора поновленїю. прѣмѫдрыи древле соломонь. вкн бесловесны животны приношааше. всѣсъжеженїѧ и жрътвы. єгда истиннаа блгть прїиде на землѧ. (— юже нынѣ.) жрътвиаа абїе прѣ(о)ложи. жрътвокакь жрътва (— оу) на спсенїе наше къ себѣ увлюкець. црковь оусти. и непоколѣбимж сиж вкн. єдине въ стых почиваѧи ·:·

Изъ минеи 1561 г. № 87. Библ. Унд. л. 225 об. и 226. по 6-й пѣсни.

[4]) **Ко гла. д. по. възнесыися на крть.**

Во страданїи ти (свою) добрѣ побнгши (— хавса) и по смрти на ѡсщаеши ѹюде (— сим) твои токы всехвалнаа истаѧнїемъ. (—) тѣ ти (та) оуспенїе (—) стое (—) пое. (въспѣвае) вѣрою прїбѣгаѭще въ бжтвенын (—) твои (— ю) хра. (црквь) да ихѣбимса (— будѣ) недѹ душевны. и ѹюдесъ (— ѣ) благода почерпе ·:·

Іко Прехвалнаа црквь раи ѧвиса, посредѣ имѫщи са бесмертна тѣло еа утное. того собїраѭщеи плоды доброконнылѣ (дубравныа) скоро ѡсщаютса. зраще бо дивѧса. ѧко како мртвое тѣло. ѧко живо истаѧе кровїи (—) благоухающи (— ща) вса тѣ (свѣте (sic)) тощно прїидѣте всѝ со мною смиреныхъ. и ѡмнстиса скверны всѧкїа цѣлоующе сїе. и ѹюде благода почерпе ·:· [5])

21-го св. Кодрату изъ минеи Сев. соб. № 111. XII—XIII в. л. 76.

Τὸν θεῖον πιστοί. Κοδράτον εὐφημήσωμεν. ἐν ὕμνοις λαοί. ᾠδαῖς νῦν τὸν ἀοίδιμον. ὅτι παρέχει πάντοτε. τοῖς ἀσθενοῦσιν ἰάματα πλούσια. διὸ καὶ νῦν πρεσβεύει ὑπὲρ ἡμῶν: ὡς ἱεράρχης καὶ δοῦλος τοῦ χῦ:

---

[1]) Разночтенія Кондаку 13-го числа изъ святцевъ съ тропарями и Кондаками 1323 года. № 2. Сев. собр. л. 27 об.

[2]) Разночтенія Кондаку 16-го числа изъ тѣхъ же святцевъ 1323 года л. 29.

[3]) Разночтенія Кондаку 13-го числа изъ большаго Часослова XV в. Библ. Хлудова. л. 167 об. а икосу изъ служ. минеи XVI—XVII в. № 32 моего собранія.

[4]) Разночтенія Кондаку 16-го числа изъ собр. того же Часослова л 171 об. а икосу изъ служ. минеи XVI—XVII. № 32 моего собр.

[5]) Это же самое написано 11-го Іюля въ Кондакаріи Греческомъ.

Ὁ οἶκος: Ὑπὸ τὰ ἴχνη σου λιτανέυων τὴν ὠδὴν σοι πρόσφέρω ἱεράρχα χῦ. τῶν ἀποστόλων ἰσότιμε. σὺ οὖν ὡσ κύρυξ τῆσ ἐκκλησίας. μὴ ἀπώσει με μάκαρ κατισχύμενον. ταυτ νυνὶ προσδεξάμενος ἄφεσιν δίδου μοι. ὧν ἐν αγνοία καὶ γνώσει ἐν τῶ ὑιω ἄθλος ημαρτων. καὶ τοῦ πυρός με ἐξόρπασον τοῦ ἀσβέστου. ἐν ὥρα τῆς κρίσεως:

22-го св. священномученику Θокѣ изъ той же минеи л. 78 об.

KONT. τοὺς ἀσφαλεῖς.

Ὡς θεαυγῆ καὶ φωτοφόρον ἥλιον. καὶ ἀληθεῖ τῆς ἐκκλησίας κήρυκα. ὁ δεσπότης καταλάμποντα πιστῶν τὰ πλήθει. μαρτ. σε ἔθετο. τὸν βίον γὰρ καὶ τους ἄθλους σου. ὡσ μύρον ευοδίας. προσεδέξατο. ὁ μόνος ὑπάρχων πολυέλεος:

Ὁ οἶκος. Τράνωσον μου.

Φώτισον με φωτὶ ἀνεσπέρω. τῆς σῆς γνώσεως σέρ. τὴν ὀχλὴν των παθῶν σκεδάζοντα τῆς καρδίας μου. λόγον διδους μοι σοφίαν. λόγε. καὶ συνέως θείας ἐν κατανύξει. ὅπως τὸν σὸν πανασίδημων μάρτυρα στέφω φωκάν. ἐν ὕμνοις καὶ μελλωδίαις. ἀπορούντων γὰρ πέλης. ἀντέληψις. καὶ πλοῦτος πᾶσι πτωχέυουσι. καὶ πηγὴ ἀγαθῶν δωρεῶν σωτήρ:

Ему же изъ минеи XV в. № 440. Моск. Сун. Библіотеки. л. 230 об.

Κονι. τὴν ὑπὲρ ἡμῶν πληρώσας:

Ὡς ἀρχιερεὺς προσφέρων πὲρ θυσίας. τέλος σεαυτὸν. προσήξας ζῶσαν θυσίαν. μαρτυρήσας ἐννόμως χῶ τῶ θῶ. ὑπαγγέλων θαρσυνόμενος. καὶ τὸν θάνατον αἰρούμενοσ. καὶ παρὼν τοῖς ἐκβοῶσοι. ἐλθὲ φωκᾶ μεθ' ἡμῶν καὶ οὐδεὶσ καθ' ἡμῶν. Ὁ οἶκοσ:

Τὴν ζωὴν ἐν οὐνοισ ἐπιποθοῦντεσ. τὴν τρυφὴν ἐπὶ τῆς γῆσ καταπατοῦντες. χείλη ἐκκαθάρωμεν. καὶ τὰς γλώσσας ἀγνίσωμεν ἄσματα καὶ εφύμνια ὡσ πλέξωμεν ἀξίωσ φωκᾶ τῶ ἱεράρχη. ἐπὶ τὰς οὐνίους πύλασ γαρ ἐλθὼν, ἀκώλυτον εὗρε τὴν εισ τὰ ἔσω πορείαν. καὶ ἀτενίζει τῶ ποθουμένω. υπὸ ἀγγέλων δοξαζομένω. ἐντεῦθεν γὰρ καὶ δύναται ὑπὲρ ἡμῶν ἱλάσκεσθαι. τὸν μόνον ευσυμπάθητον τοῖσ ψυχικοῖσ νοσήμασιν ὡσ л. 231. μαρτυρήσας αὐτῶ ἀνυμνοῦμεν οὖν αὐτῶ καὶ ἐκβοῶμεν ἐπιβλέπων ἐφ ἡμᾶς ἐλθὲ φωκᾶ μεθ' ἡμῶν καὶ οὐδεὶς καθ' ἡμῶν:

Изъ той же рукописи л. 245. 24-го св. Θеклѣ.

Κονδακ. ἦχοσ. β. τὰ ἄνω ζητῶν:

Τρωθεῖσα τὴν σὴν. καρδίαν καλλιπάρθενε τῶ πόθω χῦ. μνηστῆρος κατεφρόνησας. καὶ πυρὸσ κατετόλμησας. τῶν θηρῶν δε στόματα ἔφραξας. καὶ σωθεῖσα ἐπέμενες. τὸν παῦλον ζητοῦσα. θεκλα πρὠταθλε:

Ὁ οἶκοσ:

Ὑπὸ τοῦ παύλου μαθητευθεισα ὁδὸν τῆς ἀληθείας ἐν αὐτῆ ἀκλινῶς διώδευσας; υπερθαύμαστε. καὶ τοὺς ἰδίους καταλιποῦσα. ὥσπερ ξένη τῶ ξένω κατηκολούθεις. ἐν ἀνδρικῶ τῶ φρονήματι τὲ καὶ τῶ σχήματι ὁ διόπερ καὶ. ὁ δεσπότην γυναικῶν ἀθλοφόρων σέ πρώταθλον ἔδειξεν ἐν τοῖς πέρασιν ἐν οἷς περιελθοῦσα ἐπέμενεσ τὸν παῦλον ζητοῦσα θέκλα πρώταθλε:

Изъ минеи 1561 г. № 87. Библ. Унд. л. 327 и об.

Ко҃. гла г҃. по̑ еже ѿ на̑ совр. [1]).

Ꙗко ст҃ль приноса ѡ (ѡу҃е) жр҃твы. наконець себѣ принесе жр҃тву живу. свидѣтсльствова̑ законно хо҃у бг҃у. ѿ а҃ггль оукрѣплаѐ. и смрть (— тї) изволаа̑. сын съ воиннющими ти приидї ѳока с нами и никто̑ на ны ·:·

И к о҃.

Другой. Припадаемъ вѣрою ѿ срц҃а вопиюще помилуи нас. непотребныꙗ своꙗ рабы о трц҃е бл҃гаꙗ оче сн҃е съ дх҃мъ и оумл҃рдисѧ всемл҃тваꙗ на стадо. еже събра моудрѣ. непрестанно твою славаще бл҃гть.

л. 67. **Ко. гл҃а. в҃. по Єгда.**

Єгда в началѣ адама созда гн҃. тогда слову твоєм оупостастному. взопилъ єси бл҃гооутробне. створі по нашему подобью. дх҃ъ же ст҃ыи вѣ шествуꙗ. тѣмже вопием тї творце бе нашь слава тоб .:·

Дру. по. вышні. Хе бе єдине пребл҃гыи иже кровью своєю на ра изливыи. и на кр҃тѣ поврѣшенъ. свѣто оц҃а твоєго и дх҃а. сего ра держаще зовѣ. помилуї стадо своє члвколюбче .:·

л. 75 об. а. **Конда. гл҃а. г҃. кра.**

Пресущественыи єдинъ гь хъ. и ѿрасль пребезначалнаго свѣта оц҃а и дх҃а пребж҃внаго. помилуи рабы своꙗ всі бо съгрѣшихом но тебе не ѿступихом. тѣмже молимта триоупостасне гн҃. ꙗко имѣꙗ власть. създание своє сп҃си ѿ всакого обьстоꙗниꙗ .:.

Дрѹи. Єгда придеши вл҃ко на земли соуди. всѣмъ члвкмъ. ихже ѿ земла създалъ єси по своему образоу. оущедрі ꙗко млтвъ. избави всѣ. соуда твоєго прв҃наго. не пошли въ огнь геоньскии на ꙗко єдинъ хе мноmлтвъ .:·

л. 84 об. **Ко҃. гл҃а. д҃. скоро вар.**

Трисл҃нцнаꙗ ст҃аа тр҃це. ꙗдїносущнаа. ꙗдиннце трїпостаснаа. и непостыжнмаꙗ рабы твоꙗ оущедри. сп҃си ѿ бѣдъ ꙗко б҃ъ ма҃твъ. та бо гн҃ ꙗднно҃. в҃лку стажахо҃. вопиюще прилѣжно. буди на҃ ма҃твъ оутробне ·:·

Дру҃н. Непостыжнмыи б҃е непрѣступныи. иже ꙗдинъ ꙗсткомъ. бл҃гъ же ї҃млрдъ оу҃е сн҃е и дш҃е ксесты҃и сблюди ост҃н. иже вѣрою копнющи҃. въ црккн ст҃ин твоꙗн к нощи и въ дн҃ї и непредан же в҃лко. враго҃ ищюще нашю погыбель ·:·

л. 93 б. **Ко҃. гл҃а. е҃. Трисл҃нцныꙗ зара слокосложнмъ и простѣн единн҃цѣ. нынѣ поклоннмса ꙗко просвѣти на҃ и помилова. иза ѿ тла ро҃ земныи всь. изкаклєши ѿ льсти ро҃ ч҃лвцьскыи. и ц҃ртво на҃ подасть ·:·**

Помилоун ма сп҃се помил҃уї ма. и не облнцн мене м҃лтве гнѣво҃ твоꙗ҃. аз бо вѣмъ ко истнноу ꙗко на ма глють бещисленаꙗ прѣгрѣшенїꙗ. пре҃ тобою щедрыи. тѣм же ти зову помн҃и ма ·:

л. 100 об. а. **Конда҃. гласъ г҃.**

Многаа премножестка моихъ грѣхопаденнн гн҃. к тебе прїбѣго҃ сп҃се тр҃тму г҃у. посѣти недугоующю ми дш҃ю. и подан же ми ꙗко ꙗди҃ бл҃гъ раздрѣшенїе золъ моꙗ҃. ѡ нихже съгрѣш҃и. к тебе ꙗдиие бл҃гопремѣнїтелю.

Дру҃. Оу҃е и сн҃е с д҃хмъ ст҃мъ. призри на ны ꙗже вѣрою призыкающи҃. и слакащи҃ державу твою бл҃гооутробне. со ѡгнеными нї҃жьни҃. иного бо разкѣꙗ тебе не вѣмы. и въспи (sic). **поющим та. азъ ꙗсмь с вами и никто҃ на вы ·:·**

л. 107 б. **Кода҃. гласъ з҃.**

Время бл҃го подан же рабомъ сн. трисоставнаꙗ и славнаꙗ тр҃це. оу҃е и сн҃е и дш҃е пр҃ты свѣто҃ бл҃истанниꙗ ти. озари ср҃ца поющи҃ та ·:·

Дроу҃и. Тр҃це ꙗдииосущнаꙗ единнце трисоставнаꙗ. помилуи ихже създа. не прикосновенаꙗ попалающи злобы дн҃ъ наш҃и, и просвѣщающе ср҃ца. поющи҃ бл҃гооутробье твое б҃е нашь слава тобѣ ·:·

л. 114 об. а. **Кода҃. гласъ. н҃.**

Трисл҃нчнаꙗ зара ꙗди҃ственаꙗ. ꙗдиница скѣ҃ трисїꙗнєнъ. ксн въспоꙗ҃ о҃ца и г҃а и сн҃а славаще. и д҃ха ст҃го. кѣкуиѣ. сп҃ешеса вѣрно кзопїꙗ҃. оущедри ꙗдиноначальныи твоꙗ рабы щедре. иже нынѣ въсхвалающи҃ всед҃шно. и зокуще ср҃ецендце и ч҃лвколюбче. пощади ꙗко щедръ оумл҃рдиса ч҃лвколюбно. и дан же намь оставленниꙗ прегрѣшенниꙗ҃ нашимъ. мно҃ м҃лтве ·:·

· **Дру҃н. О҃ца безн҃ачална вѣрнии сн҃а безначална. и д҃ха бж҃ственаго въ истнноу исповѣдаꙗ҃. неслиꙗнѣ непрекратнѣ и нераздѣлнѣ. тр҃цю просту ст҃у и сраслену** (sic) **поюще си агг҃лы. ст҃ъ е҃ оу҃е и сн҃е съ д҃хмъ пр҃ты и ч҃тьнымъ. помилуи ихже събра. по образоу своꙗ҃ в҃лко ·:·**

ДОПОЛНЕНІЕ

КЪ

КОНДАКАРІЮ

XII—XIII. ВѢКА.

МОСКВА.
Типографія бывш. А. В. Кудрявцевой, Мясницкая, Кривое колѣно, д. Сытова.
1879.

Отъ С-Петербургскаго Комитета Духовной цензуры печатать позволяется. С-Петербургъ, 27 Іюля 1879 года.

Цензоръ Архимандритъ Арсеній.

ПРЕДИСЛОВІЕ

къ дополненію, выбранному изъ Кондакарія, изданнаго въ Парижѣ въ 1876 году Г-мъ Питрою.

Въ 1877 году А. М. Гезенъ, который въ 1865 году обратилъ мое вниманіе на Греческій Аѳонскій Кондакарій XII—XIII в. находящійся въ Моск. Синод. Библіотекѣ, подарилъ мнѣ Кондакарій, изданный Г. Питрою въ Парижѣ 1876 года по имѣющимся у него подъ рукою Кондакаріямъ. Изданъ Г. Питрою прекрасно; имъ сдѣланъ Латинскій переводъ и сдѣланы варіанты изъ другихъ Кондакаріевъ, даже изъ напечатаннаго мною Аѳонскаго Кондакарія XII—XIII в. сдѣлано немного варіантовъ, которые сообщилъ Г. Питрѣ А. М. Гезенъ. Но и въ изданномъ Г. Питрою Кондакаріи нѣкоторыхъ икосовъ недостаетъ противъ Аѳонскаго, равно и въ Аѳонскомъ многихъ икосовъ Романа Сладкопѣвца также недостаетъ противъ изданнаго Питрою Кондакарія. Все недостающее въ Аѳонскомъ Кондакаріи выписано мною изъ Кондакарія Питры, а о недостающемъ въ Кондакаріи Г. Питры замѣчено при выпискахъ въ прилагаемомъ здѣсь дополненіи.

ДОПОЛНЕНІЕ КЪ КОНДАКАРІЮ

изъ Ватиканскаго Кондакарія, изданнаго въ 1876-мъ году г. Питрою.

1-го Сентября Св. Сумеону Столпнику. [1])

Разночтеніе въ Кондакѣ. Τοῖς κάτω συναπτομ.... вм. τοῖς ἄνω συν....

Въ 1-мъ икосѣ: Ἐπαρκέσει вм. αὐταρκ. θεοῦ σοφίᾳ. μεγάλως.... συνεχως вм. ἀπαύστως. χριστῷ нѣтъ конецъ икоса πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ὑμῶν.

Во 2-мъ икосѣ: ἀμέμπτῳ.

Въ 3-мъ икосѣ: Καταφρωνει. [2]) τῶν πρυσκαίρων τε. δακρύων ἐκφέροντες... οὐ κατέσβεσαν вм. οὐκ ἀπεσβεσας. далѣе πρεσβεύοντος πόθω ὑπὲρ πάντων ἡμῶν.

4) Τὸν κοσμικὸν ἀπέδυ χιτῶνα ἐναγώνιον ἆθλον ἐξαντλῶν ὁ σοφὸς, στολὴν τριχίνην ἐνδύεται. σάρκα ἐν πόνοις καταδαμάζων, ἐμπιέσας αὐτὴν σηπτῷ τῷ σχοινίῳ ἄδηλον ἦν τὸ πραχθεν τε μυστήριον τοῖς ἀδελφοῖς. κρυφίως τοῦτο τελέσας, ἀλγηδόνας προθύμως υπέφερε, πιστῶς τῷ πλάστη δεόμενος ἀσκανδάλιστος μεῖναι καὶ ἄμεμπτος πρεσυεύων.

5) Ἤσθετο τούτου τίς τῶν σὺν τούτῳ, και κινηθεὶς τῷ φθόνῳ ὑπὸ τοῦ πονηροῦ, τῷ ἡγουμένῳ ἐβόησεν. ἔγνωκά τινα ἐνταύθα. πάτερ, ἀλλοιοῦντα κανόνα τῆς ποίμνης ὅλης. τάχυνον οὖν διασκέδασαι τοῦτον τῆς μάνδρας ἡμῶν, βαρὺς γὰρ ἔστι τοῖς πᾶσιν, ἀπαράδεκτος ὅλως ὁ ἄσιτος, πεινῶσιν τροφὴν δωρούμενος, οὗτος γὰρ κραταιῶς ἐγκρατέυεται πρεσβεύων..

6) Ἦλθεν δρομαίως ἐπὶ τὸν τόπον καὶ κατεῖδεν τὸν ἄνδρα καὶ τὴν κοίτην αὐτοῦ μεστὴν σκωλήκων, ὡς γέγραπται, μείνας οὖν ἔκθαμβος αἰφνιδίως ἐκδυθῆναι τὸν ὅσιον ἐπιτρέπει, ὥπερ γυμνῷ ἀτενίσας, εξέστη ἐν φόβῳ δεινῷ, τὰ ἕλκη βλέπων ἐν τούτῳ. τὴν φρικώδη πληγὴν καὶ ἀνίατον, ὀσμὴν δυσώδη ἐκπέμπουσαν. ἐν ὀδύναις γὰρ ἦν ὀδυνώμενος, πρεσβεύων...

7) Ὡς δὲ τὴν σάρκα τὴν νεκρωθεῖσαν ἀποτέμνουσι ξίφει ἐκ σπλαγχνίων αὐτοῦ σὺν τῷ σχοινίῳ τῷ ἔνδοθεν, φέρει προθύμως τὰς ἀλγηδόνας, ὡς ὁ μέγας ἰὼβ ἐπι τῇ κοπρία. ἄδηλον οὖν ἀμφοτέροις ἀπέβη τὸ δράμα φρικτῶς. ὁ μὲν γὰρ οὐκ ἠβουλήθη, συμεὼν δὲ αὐτὸς ἐπεθύμησε. γυμνὸς παλαιοῦ ἱερὸς, τοῦ ἀσάρκου τὴν νίκην ἐνίκησεν, πρεσβέυων......

8) Δύο εἰκόνων μίαν στορίαν τοῦ ἀγῶνος ἐκείνων τῶν τερπνῶν ἀθλητῶν αυτοῖς τοῖς ἔργοις κατίδωμεν. πρώην ἰὼβ ἐν πληγῇ ὑπάρχων ὠνειδίσθη ἐν γλώσσῃ ἑῶν βασιλέων. νῦν συμεὼν ἐδιώχθη ἐν φθόνῳ τῆς ποίμνης αὐτοῦ. παντὶ γὰρ πέφυκεν τοῦτο. ἐκπεσὼν δυνατὸς μυκτηρίζεται, πτωχὸς δὲ διώκεται ὑπὸ τῶν μειδώντων τὸν κύριον, αὐτὸς δὲ πρεσβέυει ἀπαύστως....

ι΄. Ἦλθεν δακρύων ἐν τῇ ἐρήμῳ ἄνυδρον ἐπὶ φρέαρ διωχθεὶς ὁ σοφός. καὶ ἐν τούτῳ ἐγκατέρχεται, ἄλγεσι τοῦ σώματος ωδίνας, ἀμφοτέροις τοῖς μέλεσι τετρωμένος. Ἦν δὲ ἐκεῖ κατοικία θηρῶν ἑρπετῶν τὲ δεινῶν.... κατοικεῖν ὁ σεπτὸς κατεδέξατο. Ηλίαν ζήλῳ μιμούμενος, ἀφανὴς καὶ φιλέρημος γεγονεν, πρεσβεύων.

---

[1]) Г. Питра въ своемъ напечатанномъ Кондакаріи на 210 стр. въ примѣчаніи приводитъ слѣдующій акростихъ св. Сумеону Столпнику: αὐτὴ ἡ ᾠδὴ τοῦ ἐλαχίστου Ρωμανοῦ. Питрою весь напечатанъ. Выписываю все недостающее въ Кондакаріи Аѳонскомъ.

[2]) Г. Питра въ примѣчаніи приводитъ. καταφρονούντων προσκαίρων... sic Mosquens. Неправильно ему сообщено. Въ Московскомъ спискѣ καταφρωνῶν τῶν προσκαίρων, а не καταφρονούντων . . . .

ια. Τότε ἐφάνη μεσονυκτίω.... ἐτασμῶ φοβερῶ, ἐν ὀπτασία ὁ κύριος φόβω ἀθρόω φρικώδει λίαν, μετὰ πλήθους ἀγγέλων ἀφαντασίως. τὸν συμεὼν ἐκζητῶν ὁ σωτὴρ τῶ ποιμένι βοᾶ. Ποῦ ἐστιν ὁ ἐκλεκτός μου, ὃς ἐν κρίσει δεινῆ κατακρίνει σε; πιστὸς ὑπάρχων καὶ ἄμεμπτος ἀναλάμψει ὡς φῶς ἐν τῆ δόξη μου, πρεσβέυων....

ιβ. Ὄρθρου ἠγέρθη ἀπὸ τοῦ ὕπνου, ἐναγώνιος σφόδρα, ἐκβοῶν τοῖς αὐτοῦ τῆς ὀπτασίας τὴν ὅρασιν. πάντας οὖν τάχος ἐξαποστέλλει ἐκζητῆσαι τὸν ὅσιον κατὰ τόπον. οἱ καὶ σπουδῆ διελθόντες τὰ ὄρη ἁπάσης τῆς γῆς, ἐρήμους καὶ ἀοικήτους, τρέχοντες τε αὐτὸν ἐξηρεύνησαν. παντὶ τὰ πάντα ζητήσαντες, ἐν τῶ τόπω ἐκείνω ἐπέστησαν, ἐν ὧ ἦν πρεσβέυων....

ιγ. Ὑπὸ τοῦ πνεύματος ἐπιγνόντες, εἰς φρέαρ κατῆλθον, καὶ ἀπῆγον αὐτὸν ὃν πρώην φθόνω ἐδίωξαν, ἕλκοντες βία, θυμῶ ἀμέτρω, ὡς κακοῦργον, ἀπάγουσι τῶ κρατοῦντι. ὃν κατιδὼν αὐθαιρέτως ἐν πίστει προσπίπτει αὐτῶ, δακρύων ὄμβρους ἐκφέρων, ἐκζητῶν παρ᾽ αὐτοῦ τὴν συγχώρησιν, ὡς δὴ πραότητι φέρεσθαι ἐν καρδία δεκτῆ, καὶ πρὸς κύριον πρεσβέυοντα....

ιδ. Ἔφη πρὸς ταῦτα τῶ δεομένω δακρυχέων ἄπαυστος, καὶ βοῶν πρὸς αὐτόν, ὡς οἶμαι, ταῦτα τὰ ῥήματα. Ἵλεως, πάτερ, τῶ κατακρίτω μοι συγχώρησον, ἄνερ τῶ πνεύματί μου, στένω πικρῶς, ἀτελῆ ὁ τὸν δρόμον τελέσας ἀγρευθεὶς ὑφ᾽ ὑμῶν καὶ ἐκβέβλημαι, πιστῶς δὲ μᾶλλον προσεύχομαι, ἀσκανδάλιστος μεῖναι καὶ ἄπαυστος πρεσβέυων:

ιε. Λόγους ἐπαίνων λίαν ἀκούσας λυπηρῶς, ἐπανῆλθεν ἐν τῶ τόπω αὐτοῦ ὁ πρᾶος καὶ τρισμακάριστος. ὅλον τὸ σῶμα δουλαγωγήσας, καὶ τὸ πνεῦμα τῶ κτίστη καθιερώσας, χρόνοις τρισὶν διαμείνας τῶ τόπω ἐκείνω, πιστῶς, λαθραίως ἀποδιδράσκει, καὶ προθύμως ἠπείχθη εἰς ἔρημον, θεοῦ προνοία καλούμενος εὐχαρίστως δοξάζειν τὸν κύριον, πρεσβέυων.

ις. Ἅμα ἠλίσθη ἐν τῆ ἐρήμω ωκοδόμησεν οἶκον, ὡς πότε Ἀβραὰμ τῶ πλάστη θυσιαστήριον. φεύγων τὸν βίον καθάπερ βία. ἐν τῶ τόπω ἐκείνω κατεμονάσθη. σώζεται δὲ ὡς ἡ δορκάς, φυγοῦσα ἐν βρόχων δεινῶν, ἢ ὥσπερ ὄρνεον θήρας. ἢ στρούθιον παγίδος λυτρούμενον, κρημνοὺς περάσας καὶ ὄρεα, ἀπλανῶς ὁ σοφὸς κυβερνώμενος, πρεσβέυων....

ιζ. Χάριν μεγάλην καθωπλισμένος, ἐνεπρήσθη τῆ πίστει, ὡς ἐνὼχ τῶ θεῶ προσφέρων ὁλοκαυτώματα. οὗτος τὸν Δανιὴλ ἐκμιμεῖται, προσευχῆ καὶ νηστεία ὑμνῶν τὸν πλάστην, χρόνον πολύν, ὑποφέρων χειμέριον κρύος δεινόν, κρυστάλλου πάγος, καὶ ψῦχος. καὶ καιρὸν θερισμοῦ, ἐν τῶ καύσωνι φλογὶ ἡλίου καιόμενος, ὑετῶ καὶ ἀνέμω κλονούμενος, πρεσβέυων......

ιη. Ἴδον καὶ οἱ πόρρω τὸν πανόλβιον τοῦτον ἐν νηστεια πολλῆ, καὶ πάντες λίαν ἐθαύμασαν ἔχοντα δύναμιν ἐνεργείας, δωρεὰν ἰαμάτων ἐπουρανίαν. Νόσους δεινὰς ἀπέλαυνων ὁ ὅσιος, τῶν ἀσθενῶν ἰᾶτο τὰς ἀλγηδόνας τῶν κρυφίων μυλῶν τὸν κατώδυνον: τοὺς πόνους πάντων κατέπαυεν, ὅτι πάντα αὐτῶ ὑπετάγησαν πρεσβέυοντι ποθω....

ιθ. Στύλον ἐγείρουσιν, ὥσπερ στήλην, καθιδρύσαντες τοῦτον ἐν αὐτῶ ὑψηλῶς οἱ ὄχλοι πίστει φερόμενοι. βλέπει οὖν δόξαν τῶν ἐν ὑψίστεις, τὸ στερέωμα ὅλον σὺν τῆ δυνάμει. οὕτω ποτὲ Ἰακὼβ τοὺς ἀγγέλους ἑώρα νυκτὸς, ὑπάρχων ἐπὶ τὸ φρέαρ, ὡς ἐν κλίμακι βλέπων τὸν κύριον. αὐτὸν ὁ πλάστης ηὐλόγησεν, ὡς καὶ τοῦτον ἐν στύλω τὸν ὅσιον πρεσβέυοντα....

κ. Τότε ἡπλοῦτο ὅλη τῆ κτίσει ἡ πανεύφημος φήμη τοῦ ὁσίου ἀνδρὸς τῶν ἰαμάτων τοῖς θαύμασιν. τούτου ἡ μήτηρ, μαθοῦσα ταῦτα, ἐπορεύθη τὰ πάντα καταλιποῦσα, ηὔχετο μὲν ἐκτενῶς θεωρῆσαι τὸν γόνον αὐτῆς. ποθοῦσα δὲ πυρπολεῖται καὶ ὁδοὺς ἀκαμάτους ἡγήσατο ἐκ γῆς μακρόθεν βαδίζουσα, ὡς δρομεὺς ταχινός, παραγίνεται πρεσβέυοντι......

κα. Ὑπὸ τοῦ πόθου ἀκατασχέτως διεφλέγετο αὐτη τὴν καρδίαν αὐτῆς, καὶ ταῦτα οὕτως ἐβόησε. χρόνων τοσούτων παραδραμόντων, ἀθρηνὶ διὰ ὥραν οὐκ ἐπαυσάμην, νῦν δὲ ἐγώ, ὡς ἐν τάφω παρόντα, θεάσομαι σε. μὴ θλίψης τὴν χηρουμένην τοῦ πατρός σου θανόντος, σε ὄψομαι, στολὴν πρόσεχε χηρείας μου, καὶ μαστοὺς οἵ σαυτὸν ἐγαλούχησαν, πρεσβέυοντα.......

κβ. Ῥήματα τοιαῦτα ὁ θεράπων Ἀντώνιος ἀντέφη ἐκβοῶση αὐτῆ, τα τοῦ ὁσίου προστάγματα. παῦσαι, ὦ μῆτερ, τῶν ὀδυρμῶν σου. Ναὶ, τῶ μέλλοντι βίω ὀφθήσομαι σοι. Αὐτὴ εὐθὺς λυσίκομος πλοκάμους γυμνοῖ ἑαυτῆς, πικράδει κλαίουσα θρήνω, τὸν πενθήρη χιτῶνα σπαράττουσα, παλάμας στήθει κροτήσασα, κραταιῶς τὴν καρδίαν ἐτρύχετο, πρεσβέυοντος.....

κγ. Ὡς ἐκ τοῦ Πνευματος τοῦ ἁγίου τὸ μυστήριον ἔγνω, ἀντεδήλου αὐτῆ. τὴν λύπην θραῦσον, καὶ προσεῦξαι, ὅπως ὀφθήσομαι σοι εὐθέως. καὶ δραμοῦσα προσηύχετο ἐπ᾽ ἐδάφους, αὐτὸν σφοδρῶς προσδοκῶσα ἰδέσθαι, πληροῦται χαρᾶς, ἀφάτω καὶ δαιμονίω ὑπερζέουσα πόθω, ἀπέθανεν, ὁδοὺς κρημνώδεις βαδίσασα καὶ ἐλθοῦσα οὐκ εἶδεν ὃν ἔτεκεν πρεσβέυοντα.....

κδ. Μή τις οὖν τοῦτον τὸν θεῖον ἄνδρα ἄσπλαγχνον ὑποπτεύση, ἄλλο τι τοῦ χριστοῦ οὐδέποτε προυτιμήσατο. ἐπευξαμένου γὰρ ὑπὲρ ταύτης ἐδονήθη τὸ λείψανον μειδιῶσαν. φόβω πολλῶ οἱ ἑστῶτες συνείχοντο κύκλω αὐτῆς,

ορῶντες ὑπογελῶσαν, τοῦ υἱοῦ εἰς αὐτὴν ἀτενίζοντος. πλησίοι αὐτὴν κηδεύσαντες, ἐν τῶ τόπω ἐκείνω κατέθεντο, ἐν ὧ ἦν πρεσβεύων.......

κε. Ἅπαντες ἤρχοντο ἐπὶ τοῦτον οἱ ἐν νόσοις ποικίλοις καὶ πνεύμασι δεινοῖς τὴν λύτρωσιν ἐκζητούμενοι. ὧν τινες συναντῶντες ἐν νάπει ἐκφυγουσῃ ἐλάφω ἀπὸ παγίδος, ταύτην φρικτῶς ἐνορκοῦσιν τῶ ὀνόματι Συμεών, καὶ φόβω αὐτὴ ἐπέστη, ἣν κρατήσαντες τάχος ἀπέσφαξαν, αὐτῆς τῇ βρώσει τιτρώσκονται. ἕως ταύτην τῶ στύλω ἱστόρησαν ἐν ὧ ἦν πρεσβεύων.....

κϛ. Νόσον κρυφίαν ἔχουσα κόρη, ἐκκαυθεῖσα ἐκ δίψης, ὑδρευθεῖσα νυκτος, γόνον ἐχίδνης κατέπιεν, σύντροφον εἶχεν τὸν ἰοβόλον, ἀοράτως ἐκτέφουσα τὸ θηρίον. ἥτις ἀεὶ σπαραχθεῖσα καὶ πᾶσαν ὥραν δεινοῖς βασάνοις μαστιγουμένη, τὸν σεβάσμιον τόπον κατέλαβεν, καὶ τὸν δόλιον ἐξήμεσεν, ὃν εὐχῇ ὁ πιστὸς διεσπάραξε πρεσβεύων.....

κζ. Ὅτε οὖν εἶδεν ὁ θηριώδης τὰ ἀνίατα πάθη ἰαθέντα ἐκεῖ, θυμῷ ἀμέτρω ταράττεται. πάθος ἐγκρύφιον ἀναδείξας εἰς τὸ σῶμα τοῦ ἥρωος τοῦ ὁσίου ἕλκει δεινῶ ἀπευκταίω, σκωλήκων ἐμπλήσας αὐτο. Αὐτὸς δὲ τῇ καρτερίᾳ τὰς ὀδύνας προθύμως ὑπέφερεν, καὶ μάλα θεῶ προσηύχετο γενναιότερος μένειν παλαίσμασιν, πρεσβεύων.. .

κη. Ὕπνωσεν ὕπνον ἐν εὐφροσύνῃ ὁ τρισμάκαρ οὗτος τοῦ χριστοῦ ἀθλητής, ἀγγέλοις συναυλιζόμενος. τοῦτον καθεῖλεν ἀπὸ τοῦ στύλου Ἀρδαβούριος ἔνδοξος σὺν τῶ κλήρω, ἀνάσσοντος. βασιλέως τοῦ λέοντος τοῦ εὐσεβοῦς, κηδεῦσαι ἐπὶ καροῦχαν. οὐρανὸς δὲ καὶ γῆ ἐπηυφραίνοντο. πιστοὶ δέ αὐτὸν κατέθεντο ἐν σόρω τῆς σεπτῆς θεοῦ πόλεως, πρεσβεύοντα ὑπὲρ πάντων ἡμῶν.

p. 12 — 16. Δεκέμβρ. **κζ.** κοντάκιον εἰς τὸν πρωτομάρτυρα στέφανον, ποίημα Ρωμανοῦ πρὸς

τό. τὴν φοβερὰν σου. ἠχ. πλ. **β.**

Τὴν τῶν ἀνόμων παρουσίαν ὁρῶν ὁ πρωτομάρτυς, ἐν τῶ σταδίω, ἐπὶ πάντων ἑστώς, ἔλεγε. χριστὲ ὁ θεός, μὴ στήσῃς τὸ ἔγκλημα τοῖς ἀδίκοις φονευταῖς, ἀλλ' ἄνες, καὶ δίδου τὴν συγχώρησιν αὐτοῖς, ἵνα κηρυττω σε θεὸν σεσαρκωμένον, τὸν δίδοντα τὸ βραβεῖον τῆς νίκης.

Πρὸς τό. Τῶ τυφλωθέντι. Τοῦ πρωτομάρτυρος εἴπω σαφῶς καὶ τῶν ἀνόμων τὴν τόλμαν, πιστοί. προφήτας γὰρ καὶ ἀποστόλους κατεδίωξαν πρίν, ὥσπερ λύκοι ὠμότατοι, οἱ τῶ χριστοῦ προδόται. οἱ συγκεκαλυμμένοι, καὶ ζοφώδεις ὑπάρχοντες, ἐκράτησαν αὐτὸν, πρὸς σφαγὴν ὡς ἀρνίον, τοῖς λίθοις κτείναντες, ὅτι ἐξωμολόγει θεάσασθαι τὴν δόξαν τὴν ἄφραστον. χριστοῦ ἀνάστασιν κηρύττοντα τὴν ἐκ νεκρῶν φανερῶς, διὸ καὶ ἀναιροῦσιν ἔξω ἱερουσαλύμων τὸν λαβόντα τὸ βραβεῖον τῆς νίκης.

Ὁ ἐκ παρθένου θεὸς σαρκωθεὶς, καὶ λόγος ἅγιος ὁ ἐκ πατρὸς, αὐτὸς ἔστιν ὁ ἐν προφήταις κηρυχθεὶς ἀληθῶς. οὗ τὸ πνεῦμα ἐδέξαντο οἱ κατ' ἀξίαν δοῦλοι, μάρτυρες καὶ προφῆται, καὶ ἀπόστολοι μάλιστα. Τὸ στάδιον μικρὸν, τὸ βραβεῖον δὲ μέγα τοῖς ἐκλεκτοῖς χριστοῦ. ὡς γὰρ σάλπιγξ ὁ λόγος τοῦ κηρύγματος πᾶσιν ἐξήκουσται. τοὺς ἐν πίστει ὑμνοῦντας θεὸν........... τὸν σεσαρκωμένον, τὸν δίδοντα τὸ βραβεῖον τῆς νίκης.

Ὕψιστε, ἄχραντε λόγε θεοῦ, σοὶ πρέπει δόξα καὶ τῶ σῶ πατρὶ σὺν τῶ ἁγίω πνεύματι σου. δώρησαι μοι, σωτὴρ, τοῦ ἀξίως ὑμνῆσαι σε. Τίς ἱκανὸς γὰρ φράσαι τὴν θεϊκήν σου δόξαν; φῶς οἰκῶν γὰρ ἀπρόσιτον, Στεφάνου στέφανος. οὐρανόθεν ἐδείχθης. πλησθεὶς γὰρ ἀληθῶς πνεύματος τοῦ ἁγίου, οὐρανόθεν τὴν δόξαν τεθέαται ἐκ δεξιῶν ἑστῶτος σου, χριστὲ, τοῦ σοῦ ἀφράστου πατρὸς, καὶ ἐκτήσατο οὕτως,.... οὐρανόθεν τὸ βραβεῖον τῆς νίκης.

Τοῦτον ἐδόξασεν ὁ Ἰησοῦς, ὃν τρόπον παῦλον, τὸν πρωὴν θρασὺν, νυνὶ δε σκεῦος ἀληθείας. ὁ πότε γὰρ δεσμῶν, νῦν δεσμεῖται ἀλύσεσιν, καὶ ἀστραπῇ τυφλοῦται, ψυχῇ δὲ ἀναβλέπει. ἐπιγνοὺς τὸν αὐγάσαντα, πεσὼν δὲ κατὰ γῆς τὰς παλάμας ἐκτείνει, ζητῶν χειραγωγοὺς, ἀναβοᾷ καὶ λέγει. τίς εἶ, κυριε; φράσον μοι. δέσποτα. Εὐθέως ἦλθεν οὖν αὐτῶ φωνή. Σαοὺλ, Σαοὺλ, τί μοχθεῖς; τί διώκεις; τὸν ἄνω πόθησον, καὶ μὴ διώξῃς τὸν δίδοντα τὸ βραβεῖον τῆς νίκης.

Ὅτε δὲ ἤκουσεν ὁ ἐκλεκτὸς, ὁ πρώην λύκος, νυνὶ δε ποιμὴν, (βοῶντες). εἰμὶ ὁ Ἰησοῦς, ὁ σταυρῶ ἡλωθείς, καὶ τῇ λόγχῃ κεντούμενος. διὰ γὰρ τοὺς ἀνθρώπους ὑπέστην ταῦτα πάντα. σῶσαι θέλων τὸν πταίσαντα, ὡς εὔσπλαγχνος θεὸς, τῇ σαρκὶ ἐσταυρώθην, τελώναις καὶ λησταῖς τὴν συγχώρησιν νέμων, καὶ ταῖς πόρναις πταισμάτων τὴν ἄφεσιν. Μάθε καὶ σύ. Σαοὺλ, τὸ συμπαθεῖν, καὶ μὴ δεινῶν θράσυνον, θηριώδης ὑπάρχων, ἀλλὰ γενοῦ ἐμοὶ σκεῦος, ἵνα λάβῃς τὸ βραβεῖον τῆς νίκης.

υ. Ῥήματα θεῖα ἀκούσας Σαοὺλ, χειραγωγούντων τῶν ἄλλων αὐτὸν, ἐπὶ τὴν Δαμασκὸν εἰσῆλθεν. Ἀνανίαν ζητῶν. (ἐπὶ τῶ τὴν ὀμμάτωσιν) καὶ τὸ λουτρὸν λαμβάνειν, τῆς παλιγγενεσίας καὶ ἰάσεως ἔτυχεν τῇ τῆς

χειρὸς ἀφῇ. Ἀνανίου εὐθέως. ἡμέραις γὰρ τρισὶν, οὐκ ἐγένετο βλέπων, καὶ λαμβάνει τροφὴν ἐπουράνιον. Τροφὴν δὲ νῦν ἐρεῖ μοι ἡ γραφὴ τὸ σῶμα τὲ τοῦ χριστοῦ, καὶ τὸ ἅγιον πόμα, οὗτινος καὶ ὤφθη κήρυξ, τοῦ διδόντος τὸ βραβεῖον τῆς νίκης.

Ὡς κορνηλιω ὁ πέτρος ποτὲ τὴν χάριν διδωσι ὡς ἐκλεκτῷ, νηστείαις τε καὶ εὐποιΐαις. καρπῶν γὰρ ἀγαθῶν πληρωθεὶς, μεταπέμπεται Σίμωνα, τὸν καὶ πέτρον. ὅστις αὐτὸν βαπτίσας. καὶ τὸν λόγον ἐδίδαξεν. τῇ πιστει γὰρ θεῷ φανεροῦνται πιστέυειν οἱ πνεῦμα ἔχοντες ταπεινώσεως ἤδη, καὶ τὸν πλοῦτον τὸν ἄσυλον ἔχοντες ἐν οὐρανῷ, οὗ κάθηται χριστος ἐκ δεξιῶν τοῦ θεοῦ θησαυρὸς γὰρ ὑπάρχει ἀγαθῶν κατορθωμάτων ο παρέχων τὸ βραβεῖον τῆς νίκησ.

Μέγα μυστήριον καὶ φοβερὸν. θεὸς ἐλήλυθεν ἐπὶ τῆς γῆς, ἁμαρτωλοῖς συνανεστράφη, τοῖς τελώναις διδοὺς σωτηρίας μετάνοιαν, ἵνα μηδεὶς ἀνθρώπων πλάνη ἐξολισθήσῃ εις ἀπώλειαν ἄδικον. Ὁ θάνατος οξὺς καὶ ἡ κρίσις τελεία τῷ μὴ ποιήσαντι εὐσπλαγχνίαν ἐλέους. ο γὰρ λύχνος ὑπάρχει τοῦ σώματος ὁ ὀφθαλμὸς ἡμῶν ὁ νοερὸς, ὃν ὁ σωτὴρ καὶ θεὸς τῇ αὐτοῦ ἐπιγνώσει ὁδηγεῖ τὲ καὶ φωτίζει, τὸν λαβόντα τὸ βραβεῖον τῆς νίκης.

Ἅγιος, Ἅγιος εἶ, Ἰησοῦ, θεὸς αἰώνιος καὶ ἀληθής. τὴν σάρκα τὴν ἡμῶν φορήσας, καὶ τὰς σὰς ἐντολὰς μηδαμῶς ἀποκρύψας μοι. τοῦ πονηροῦ με ῥῦσαι, τῶν πειρασμῶν τῆς ζάλης τοῦ σατᾶν με ἀπάλλαξον. οὐ παύει ὁ δεινὸσ πολεμῶν τὴν ψυχήν μου, ἡμέρας καὶ νυκτὸς δελεάζων τὸ σῶμα πρὸς ἀπάτην καὶ ἄδικα πράγματα. μὴ ἀπατήσῃ με ὁ δολερὸς, ἱστῶν παγίδα αὐτοῦ, καὶ ποιήσῃ με γέλω, ὡς μὴ ἰσχύοντα ἔχειν οὐρανόθεν τὸ βραβεῖον τῆς νίκης.

ν... Ὅτε ὁ Στέφανος ἤχθη θανεῖν, συρόμενος ἐξ ἀνόμου λαοῦ, ἀνέβλεψεν, ἀπὸ καρδίας ἐκβοῶν, ἐκτενῶς, τὰ τοιαῦτα δεόμενος, Κύριε, Ἰησοῦ μου, ἵλεως γένου τούτους, καὶ μηδὲ μνησικάκησον, μηδὲ στήσον αὐτοῖς ταύτην τὴν ἁμαρτίαν, ἀλλὰ δέξαι αὐτὸς ἐν χερσί σου ἁγίαις, φιλοικτίρμων. τὸ πνεῦμα τοῦ δούλου σου. ἀνάπαυσόν με μετὰ τοῦ Ἀβρὰμ καὶ τῶν λοιπῶν προφήτων Ἀκουσθεὶς δὲ, τὸ πνεῦμα παρέδωκε τῷ κυρίῳ, τῷ διδόντι τὸ βραβεῖον τῆς νίκης.

Ὕπνον καλὸν ἐκοιμήθη εὐθὺς ὁ πρωτομάρτυς χριστοῦ τοῦ θεοῦ. ἐγράφη δὲ ἐν τοῖς ὑψίστοις ἐπὶ βίβλου ζωῆς αἰωνίου ὁ δικαιος. πρεσβεύει δὲ ἀπαύστως ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων, ὡς ἄμεμπτος, τῷ κτίστῃ τῶν ψυχῶν, ἵνα ἀξιωθῶμεν. βίον ἀγγελικὸν καὶ ἐνάρετον ζῆσαι σωτηρίαν ἐξ ὕψους λαμβάνοντες. ἐν τῷ ὀνόματι σου οὖν, χριστὲ ἅπαντας ἀξίωσον μετὰ τῶν ἐκλεκτῶν σου, στῆναι ἐν ταῖς δεξιαῖς σου, τοῦ διδόντος τὸ βραβεῖον τῆς νίκης.

7-го ГЕНВАРЯ.

Μηνὶ Ιαν. ζ. κοντάκιον εισ τὸν πρόδρομον καὶ εισ τὸ βάπτιμα καὶ εισ τὸν Ἀδάμ. ἠχ. πλβ. φέρον ἀκροστιχίδα. τοῦ ταπεινοῦ Ρωμανοῦ.

Въ Аѳонскомъ Кондакаріи Син. Библіотеки 4-й икосъ начинается: Ομ. Ὄψωμαι καγὼ Ιῦ φωτιστά. котораго нѣтъ у Питры. Здѣсь 4-й и слѣдующій. Далѣе недостающіе въ Аѳонскомъ 5. 6....

p. 25—27. Τῷ Ἀβραὰμ ὅτε ὤφθη ὁ θεὸσ ἐν τῇ δρυΐ καθημένῳ Μαμβρῇ, ὡσ ἄγγελοσ ἐθεωρήθη, μὴ γνωρίσασ αὐτὸν ὅπερ ἦν, οὐ γὰρ ἔφερεν. νῦν δὲ ἡμῖν οὐχ οὕτως, ἀλλὰ αὐτοπροσώπως ὁ γὰρ λόγοσ σαρξ γέγονεν. ἐκεῖ τὸ αἴνιγμα, τὸ σαφὲς δὲ ἐνταῦθα. πατράσι προφητῶν, πατριάρχαις εἰκόνεσ. τοῖσ πιστοῖσ δὲ αὐτὴ ἡ Ἀλήθεια. Ἔφη θεὸσ πότε τῷ Αβραὰμ θυσίαν ἐπιτελεῖν. ἀλλ' ἡμεῖσ θεωροῦμεν ὅ, τι θέλει, καὶ κρατοῦμεν τὸν φανέντα καὶ φωτίσαντα πάντα.

Ἄνω τῆσ κλίμακοσ εἶδεν θεὸν, ἀλλ' ὄναρ ἔβλεπεν ὁ Ἰακὼβ. ἐπάλαισεν αὐτῷ τὴν νύκτα, οὐχὶ φύσις θεοῦ, ἀλλ' ἀνθρώπου ὁμοίωμα νῦν δὲ οὐχ ὁμοιότησ, ἀλλ' ἀληθιναὶ πράξεισ πρωτογόνου συνέστησαν τὸ ὅραμα τὸ πρὶν, καὶ ὁ τότε παλαίσασ, ἐνώπιον ἐλθὼν, ἐνωπίωσ ἐφάνη γρηγοροῦντι τῷ κόσμῳ καὶ νήφοντι. οὐ φαντασία, οὐδ' ἐνύπνιον, οὐ γὰρ ἐσμεν τῆσ νυκτὸσ. ἐν ἡμέρα ὁρῶμεν λόγον σεσωματωμένον, τὸν φανέντα....

Πάνυ θαρρῶν ἀγαπᾶσθαι μωσῆσ, ἐζήτει τὸν ἀγαπῶντα ἰδεῖν, καὶ ἔλεγε μεθ' ἱκεσίασ. ει ἐμὲ ἀγαπᾷσ, σεαυτόν μοι ἐμφάνισον. ὅμωσ οὐκ ἠξιώθη ὄψεωσ, ἀλλὰ νώτου, καὶ αὐτοῦ οὐκ εισ τέλειον. ὀπῇ γὰρ ἦν μικρᾷ ὅθεν εἶδεν ἃ εἶδεν. Πῶσ ἔστιν δὲ ἰδεῖν δι' οπῆσ τὸν ὁρῶντα, ει μὴ μέροσ ὧν θέλει θεάσασθαι; Δόξα σοι, ὅτι σεαυτὸν, σωτὴρ, ἔδειξασ πᾶσιν ἡμῖν, οὐκ ἐκ μέρουσ, ἀλλ' ὅλον θεωρούμενον τὸν πλάστην τὸν φανέντα......

Ἔφησεν ὅτι κατεῖδε θεὸν ὁ τοῦ Αμῶς Ἡσαΐας ποτὲ, ἐν ὕψει θρόνου ἐπηρμένον. καὶ τῆς δόξης αὐτοῦ πεπλησμένον τὸ οἴκημα. εἶδεν ἐν κατανύξει πνεύματος, ὡς προφήτης, οὐκ ἐν ὄμμασι σώματος. ἡμεῖς δὲ σαρκικοῖσ ὀφθαλμοῖς θεωροῦμεν κύριον σαβαὼθ καὶ τῶν ἑξαπτερύγων, ὑμνωδίαν αὐτῷ ἀναμέλποντες. Ἅγιον ἅγιος ὁ σαρκωθεὶς, ἅγιος ἐστὶ θεός. ἁγιάζωμεν τρίτον ἕνα ἅγιος ἁγίων, τὸ φανέντα.......

Ἴσχυσαν ὄμματα τῶν γηγενῶν οὐράνιον θεωρῆσαι μορφήν. κατεῖδον βλέφαρα πηλίνων τοῦ ἀΰλου φωτὸς τὴν ἀκτῖνα τὴν ἄσκιον, ἥντινα οἱ προφῆται καὶ βασιλεῖς οὐκ εἶδον, ἀλλ' ἰδεῖν ἐπεθύμησαν. τῶν ἐπιθημιῶν ἀνὴρ ἐπωνομάσθη ὁ μέγας Δανιήλ. ἐπειδὴ ἐπεθύμει ἀτενίσαι εἰς ὃν ἀτενίζομεν. ἐπιποθήσας ἐπεπόθησε τοῦτο τὸ κρῖμα Δαβίδ, καὶ ὃ ἦν κεκρυμμένον, ἔστη νῦν κατανοῆσαι, τὸν φανέντα......

Νέος ἐφάνη ἡμῖν οὐρανὸς, ἐφ' ὃν ἐπέβη ὁ πάντων θεὸς τὸ σῶμα γὰρ τοῦ ἀσωμάτου οὐρανὸν οὐρανοῦ ὁ προφήτης ἐκάλεσεν. εἴτε γὰρ ἐγεννήθη, εἴτε ἐσπαργανώθη, οὐρανὸς ἐστιν ἄμωμος. ἐστὶ μὲν οὐρανὸς, οὐκ οὐράνιον σῶμα ἐκ γὰρ τῆς μαριὰμ τῆς παρθένου ἐτέχθη, καὶ ἑνώθη θεῷ, ὡς οὐκ οἴδαμεν. οὐ φανταζόμεθα γὰρ, ὡς πολλοὶ, λέγοντες. οἴδαμεν υἱόν. ὁ δοκῶν γὰρ εἰδέναι, οὔπω ἔγνω ὡς ὀφείλει, τὸν φανέντα.....

Ὄφελον ἔγνωμεν τὰ καθ' ἡμᾶς. ουδὲν ἡμῖν καὶ τοῖς ὑπὲρ ἡμᾶς. ἐγγὺς ἡμῶν ἐστι τὸ ρῆμα. τί ζητοῦμεν μακράν; ἵνα μάθωμεν, ἔχομεν. ἐν τῇ πιστει (ἐστὶ γὰρ) πᾶν ὃ ἐπιζητοῦμεν. ποῦ μετεωριζόμεθα; εὐθεῖα ἡ ὁδὸς, μήτις ἡμᾶς πλανήσῃ, ὑπέδειξεν ἡμῖν. ἡ μαρία τὴν τρίβον (τὴν εὐθεῖαν). υἱὸν γὰρ ἐκάλεσε τὸν κύριον, τὸν ὄντως ἐξ αὐτῆς, ὥσπερ ἐδιδάχθημεν, σαρκωθέντα ἐκ ταύτησ καὶ ἐκ πνεύματος ἁγίου, τὸν φανέντα.....

Ὕψωσον κέρας ἡμῶν, Ἰησοῦ, κρατοῦμεν γὰρ καρτερικῶς τὰ σὰ, κηρύττοντες ἐν παρρησίᾳ. Μεθ' ἡμῶν ὁ θεὸς, γνῶτε, ἔθνη, καὶ ἴδετε ὅπερ καὶ ὁ προφήτης ἔφησεν. Οψονται σε λαοὶ, καὶ ὠδινήσουσιν. Ἰδοὺ ὠδίναμεν καὶ ἐτέκομεν πνεῦμα τῆς σωτηρίας σου, ὃ ἐποίησας πᾶσιν. ἐπὶ γῆς γὰρ λαλοῦμεν οὐράνια. εἶδεν ἡ πᾶσα σὰρξ, καὶ ὡς τὸ πρὶν, πάλιν ἀνέθαλεν νῦν, ἐφαιδρύνθη ἡ κτίσις κατιδοῦσα αὐτῆς κτίστην, τὸν φανέντα.....

Ὕμνησα τὴν σου ἐπιφάνειαν, σημεῖον ποίησόν μοι ἐμφανὲς καθάρισον με τῶν κρυφαίων. τὰ μου γὰρ ἄδηλα διαφθείρει με τραύματα. Πέμψον ἀθεωρήτως τῇ ἀφανεῖ πληγῇ μου τὴν ἀόρατον ἔμπλαστρον. προσπίπτω σοι σωτὴρ, καθάπερ ἡ αἱμόρρους ἁπτόμενος κἀγὼ τοῦ κρασπέδου, καὶ λέγων. ἐὰν ἅψωμαι μόνον, σωθήσομαι. Μὴ ματαιώσησ οὖν τὴν πίστιν μου, ὁ τῶν ψυχῶν ἰατρός. ἐκκαλύπτω τὸ ἄλγος, εὕρω σε εἰς σωτηρίαν, τὸν φανέντα....

На Срѣтеніе Господне.

л. 28—35. У Питры въ его изданномъ Кондакаріи на сей праздникъ есть всѣ икосы, изъ кототорыхъ двухъ нѣтъ въ Аѳонскомъ Кондакаріи, но они найдены мною въ Греческой Февральской минеи. За то 1-хъ двухъ Кондаковъ въ Аѳонскомъ нѣтъ слѣдующихъ:

Χορὸς ἀγγελικὸς ἐκπληττέσθω τὸ θαῦμα. βροτοὶ δὲ, ταῖς φωναῖς ἀνακράξωμεν ὕμνον, ὁρῶντες τὴν ἄφατον τοῦ θεοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι τῶν οὐρανῶν αἱ δυνάμεις, γηραλέαι νῦν ἐναγκαλίζονται χεῖρες, τὸν μόνον φιλάνθρωπον.

Ὁ σάρκα δι' ἡμᾶς ἐκ παρθένου φορήσας καὶ βρέφος βασταχθεὶς ἐν ἀγκάλαις πρεσβύτου, τὸ κέρας ἀνύψωσον βασιλέων πιστῶν ἡμῶν, τούτους κράτυνον ἐν τῇ δυνάμει σου, λόγε. τούτων εὔφρανον τὴν εὐσεβῆ βασιλείαν, ὁ μόνος φλάνθρωντοσ.

Въ Субботу Мясопустную.

Κοντάκιον ἦχος πλ. δ̄. ἰδιόμελον σαββάτου τῆς τυροφάγου εἰς ἀκολουθίαν τετελευτηκότος μοναχοῦ ἔχον ἀκροστιχίδα. τοῦ ταπεινοῦ Ρωμανοῦ ψαλμὸς οὗτος.

Въ Аѳонскомъ Кондакаріи на букву ε. и υ. μ. ο. σ. ο. υ. τ. ο. σ. нѣтъ слѣдующихъ икосовъ:

Ἐξιστάμενος βλέπω τὸ ὅραμα, ὅτι ἄπνους ὁ χθὲς μοι συνόμιλος. ἀπεπαύθη φωνὴ ἀγορεύουσα, ὀφθαλμὸς θεωρῶν ἀπελήλατο. τὰ πάντα ὄργανα ἐσίγησαν. ὁ θεὸς γὰρ συνέκλεισε τούτους, ὡς γράφει. καὶ οὐκέτι ἐπαναστρέψειαν λοιπόν. ἔνθεν ᾄδωμεν παντες μετ' ἤχου θεῷ τὸ ἀλληλούϊα.

Ὑπὸ πόδας ὑμῶν νῦν καμπτόμενον καθορῶντες, κυρίου δεήθητε. ἐν ὑμῖν τὸν μισθὸν ὅταν δίδωσι. σὺν ὑμῖν τὸν μισθὸν ὅταν δίδωσι, σὺν ὑμῖν καὶ ἡ μνήμη μου γένηται. Ἀκούσατε οὖν τῶν ῥημάτων μου, τῶν δὲ πράξεων πόρρω ἀποχωρεῖτε. οἱ γὰρ λόγοι χρηστοὶ, οἱ δὲ τρόποι αἰσχροί. διὰ τοῦτο αἰτοῦμαι συμψάλλειν ὑμῖν τὸ ἀλληλούϊα.

[1]) Μετὰ τῶν ἐργατῶν, ὧν ἐκάλεσεν ἔνδον τοῦ ἀμπελῶνος ὁ κύριος, τοῦ καμεῖν καὶ ὑμεῖς ἐσπουδάσατε. τὸ σαφρὸν τῆς σαρκὸς ἀπωσάμενοι, ἀγγέλων τάξιν ἀνελάβετε. εἰ εἰσέλθητε. τὴν ἑνδεκάτην ὥραν μετὰ τῶν ὑπενεγκάντων τὸν καύσωνα, καὶ ὑμῖν ἴσος κλῆρος ἔσται τῆς ᾠδῆς τὸ ἀλληλούϊα.

Ὁ εἰπὼν ἐγὼ πέλω ἡ ἄμπελος, καὶ ὑμεῖς μου ὑπάρχετε κλήματα. ἑρμηνεύων ἡμῖν τὴν συνάφειαν τὴν αὐτοῦ πρὸς ἡμᾶς τοῦτο ἔφρασε. διὸ ἐν τούτῳ ἐργασώμετα, ἵνα οὕτω γενώμεθα μετὰ κόπου, ὡς αὐτὸς ἐν ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτῷ, ὅτι θέλει καὶ χαίρει ἀκούειν ἡμῶν τὸ ἀλληλούϊα.

---

[1]) На буквы μ ν ο σ. въ Аѳонскомъ есть икосы, но не тѣ.

Στερρωθέντες τῇ πίστει οὖν στήκετε, τοὺς αὐχένας ὑμῶν κάτω κάμπτοντες, τῇ ψυχῇ δὲ χριστὸν ἄνω βλέποντες, τῶν ἐν γῇ παντελῶς μὴ φροντίσητε, παραδοκοῦντες καὶ σπουδάζοντες μετὰ τὸ μεταστῆναι τοῦ βιοῦ τούτου, κατοικῆσαι, ἐν ταῖς τῶν ἁγίων μοναῖς, ἵνα ὥσπερ ἐνταῦθα, βοᾶτε κἀκεῖ τὸ ἀ λ λ η λ ο ύ ϊ α.

Слѣдующихъ икосовъ нѣтъ въ Аѳонскомъ Кондакаріи на акростихъ: οὗτος:

Ὁ καιρὸς τῆς χαρᾶς ὑμῶν ἔφθασεν. ὁ γὰρ κύριος τάχιον ἔρχεται, ὁ νυμφὼν τὸν νύμφιον ἐκδέχεται, καὶ ὑμεῖς ταῖς λαμπάσιν ἀστράπτετε, ὡς εὖ φρονοῦντες παρθενέυετε. παρθενεία γὰρ τῆς ψυχῆς ἡ ἁγνοία, δι ἧς ἔχετε βλέπειν τὴν δόξαν χριστοῦ, δαδουχοῦντες, καὶ βοῶντες ἀεὶ τὸ ἀλληλούϊα.

Ὑπ' ἐμοῦ νῦν ὑμεῖς ἐδιδάχθητε, κατακρίνειν ἐμέ ποτε μέλλοντες. διὰ τοῦτο κυρίου δεήθητε, ἵνα εὕρω σὺν πᾶσι τὴν ἄνεσιν, καὶ ἀπολαύσω σὺν ὑμῖν κἀγὼ τῆς χαρᾶς ἐκείνης τῆς αἰωνιζούσης. τοῦ θεοῦ γὰρ ἐστε εὐωδία ὑμεῖσ, καὶ αἰτοῦμαι ὑμᾶς τὸ συμψάλλειν ἀεὶ τὸ ἀλληλούϊα.

Τῶν ἀγγέλων τὸν βίον βιῶσαι νῦν, μέγα ὑμῖν παρέσχεν ὁ κύριος μεῖζον πάλιν καὶ τοῦτο εὐρήκειτε. ἔχειν ὡς ἀδελφὸν τὸν ἡγούμενον πραέως πάντων ἀνεχόμενον ἤθει μὲν πτωχὸν, πλούσιον δὲ φρονήσει τάξει ὑπὲρ ὑμᾶς καὶ βουλῇ καθ' ὑμᾶς, πάντας στέργοντα, πάντας καλοῦντα εἰπεῖν τὸ ἀλληλούϊα.

Ὀυκ ἀρκεῖ μοι ὁ λόγος πρὸς ἔπαινον τῆς τοσαύτης αὐτοῦ ἡμερότητος, καὶ εἰσὶν ἐν ὑμῖν μαρτυροῦντες μοι, καὶ κυροῦντες τοῖς ἔργοις τοὺς λόγους μου, ὅτι παλλάκις ἀπεδήμησαν τῶν ἀμνῶν πολλοὶ ἔξωθεν ταύτης μάνδρας, καὶ ἐπανεληλύθασι τούτου εὐχῇ, οὓς δεξάμενος πάλιν προσήρμοσεν εἰς τὸ ἀλληλούϊα:

Σὺ οὖν, δέσποτα ὡς παντοδύναμος τὴν ζωὴν ἡμῶν ταύτην κυβέρνησον, τῷ ποιμένι τὴν ποίμνην συντήρησον, καὶ ἐμὲ ταῖς εὐχαῖς αὐτοῦ στήριξον. τῷ ἀγελάρχου τὸ μνημόσυνον πολλοῖς χρόνοις ἡμῖν ἐκτελεῖν παράσχου, καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐγκατάσπειρον νῦν, πρὸς τὸ ψάλλειν τερπνῶς καὶ ἀεὶ σοι βοᾶν τὸ ἀλληλούϊα.

Въ Аѳонскомъ Кондакаріи въ недѣлю Ваій нѣтъ 1-го Кондака и одного икоса.

p. 61. Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες χριστὸν ἰουδαῖοι τὸν θεόν. ἡμεῖς δε πίστει ἀμεταθέτω ἀεὶ τιμῶντες ὡς εὐεργέτην, βοήσωμεν αὐτῷ. εὐλογημένος εἶ ὁ ἐρχόμενος τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

p. 65. 66. Ἀλλὰ μετὰ τὰ ῥήματα, ἐνδείκνυται τὰ πράγματα, τὴν πόλιν γὰρ ἔφθασε, καὶ πάντας ἠρέθισε τοὺς ἐχθροὺς αὐτοῦ ὁ ὕμνος τῶν βρεφῶν. ἐπάρας δὲ τὰ ὄμματα, τῇ Σιὼν ἐνητένισε, καὶ θρῆνον κατ' αὐτῆς ὑφάνας ἐβόα. Στέναξον, ἱερουσαλὴμ, εὗρες γὰρ παῖδας πατέρων διδασκάλους, καὶ τοὺς υἱούς σου νεάζεις τῷ κακῷ καὶ τῇ πονηρία, καὶ πρὸς τὸ ἀγαθὸν οὐ γῆρας θαρρύνεις. κρείττους σου οἱ κράζοντες ἐμοί. εὐλογημένος εἶ......

Во св. и Великій понедѣльникъ.

Τῇ ἁ γ ί α καὶ μεγάλη δευτέρα, κοντάκιον εἰς τὸν σώφρονα Ἰ ω σ ή φ. ηχ. πλ. δ̄. χαίρετε. ἀκροστιχίς. εἰς τὸν σώφρονα Ἰ ω σ ή φ Ρ ω μ α ν ο ῦ. **(Въ Аѳонскомъ Кондакаріи нѣтъ).**

p. 67. 77. Οἱ τὸν στάδιον τῶν νηστειῶν πανσόφως διανύσαντες, καὶ τὴν ἔναρξιν τοῦ πάθους τοῦ κυρίου ἐν πόθῳ ποιούμενοι, δεῦτε, πάντες ἀδελφοί, τὴν τοῦ σώφρονος ἁγίαν Ἰωσὴφ σπουδὴν ζηλώσωμεν. τῆς δὲ συχῆς τὴν ἀκαρπίαν φοβηθέντες, τῶν παθῶν ξηράνωμεν δι ἐλεημοσύνης τὴν ἡδύτητα, ἵνα καὶ τὴν ἔγερσιν ἐνθύμως προφθάσαντες, ὡς μύρα κομισώμεθα ἐξ ὕψους τὴν συγχώρησιν, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Π ρ ὸ ς τ ό. Ο ὐ π α υ ό μ ε θ α. Τοὺς τὸ πάθος σου παφθακότας καὶ τὴν ἔγερσιν, προσκυνῆσαι ἀξίωσον, σωτὴρ, τὸ ἀκοίμητον ὄμμα.

Π ρ ὸ ς τ ό. Ἄ γ γ ε λ ο ς. Ἔχοντες βασιλέα, οὐρανῶν βασιλείαν διδόντα τοῖσ αὐτοῦ στρατ ώταισ, ἐνδυσώμεθα τὴν ἀρετὴν, πανοπλίαν οὖσαν τῶν ψυχῶν ἄτρεπτον. ἵνα καὶ πολεμήσωμεν ἐν ταύτῃ ἐχθρὰν ἁμαρτίαν. τίνα οὖν τὴν ἀρετὴν νοοῦμεν; φιλοσοφίαν ὁρῶμεν ταύτην. τέχνη γὰρ ἐστι τῶν τεχνῶν, ὡσ ἀκούομεν, τῶν ἐπιστηρῶν ἐπιστήμη τυγχάνουσα. δι αὐτῆσ, ὡσ διὰ κλίμακος, χειραγωγεῖται ψυχὴ, καὶ πρὸσ ὕψος ἀναφέρεται τοῦ οὐρανίου ζωῆσ. φρόνησιν καὶ ἀνδρείαν τοὺς ἀνθρώπους διδάσκει, ἔτι δὲ σωφρωσύνην, καὶ τὴν δικαιοσύνην. τούτοις ἡμᾶς τοῖς ὅπλοισ τειχίσωμεν, καὶ τοῦ χριστοῦ τὴν χάριν αἰτήσωμεν. δίδωσι γαρ τοῖς αὐτὸν αγαπῶσι τὴν κατ' ἐχθρῶν ἀναδήσασθαι νίκην, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Ἵνα μάθωμεν πάντες τὴν ὑπέρλαμπρον δόξαν, ἣν ἔχει ὁ σοφὸς καὶ παρέχει, τὴν ὑπόθεσιν τοῦ Ἰωσὴφ ἐνεγκεῖν εἰς μέσον, εἰ δοκεῖ, σπεύσωμεν, καὶ βίον φιλοσώφρονα κτησώμεθα δι ἐγκρατείας. οὗτος πραθεὶς διὰ πάθους φθό-

νου, δοῦλος παθῶν οὐδαμῶς εὑρέθη. εἶχε γὰρ τὸν νοῦν ὁ σοφὸς αὐτοκράτορα, καὶ τῶν φιλοσάρκων παθῶν κατεκράτησε. διὰ τοῦτο οὐκ ἐσείετο κολακείαις γυναικὸς, ἀλλὰ ταύτης ἀπεσείετο τὰς θωπείας ἀνδρικῶς. ἔπεμπεν οὖν ἐκείνη ὡσ ἀνέμους τοὺς λόγους, ἵνα τῆς σωφροσύνης καταλύσῃ τὸν οἶκον, καὶ ὡς βροχὴν τὴν μέθην κατέχεε, καὶ ποταμοὺς χρημάτων προσέφερε. νέος δὲ ὢν, Ἰωσὴφ ὁ γενναῖος ἦν ἑστηκὼς στερεὸς ἐπὶ πέτραν, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Σῶμα μὲν ἐδουλώθη. τὸ δὲ φρόνημα εἶχεν ἀδούλωτον ὁ σώφρων ἐκεῖνος. ὁ κατ' ὄναρ φανεὶς βασιλεὺς ὅσ καθάπερ δοῦλοσ ὠνητὸς γέγονεν. ἀλλ' ὅμως καὶ κρατούμενος, ἐκράτησε κεκρατηκότα. ὑπὸ δεσπότου μὲν ἐτιμᾶτο. ὑπὸ δεσποίνης δὲ ἐποθεῖτο. ἦν μὲν ἀγαθὴ τοῦ δεσπότου ἡ εὔνοια. ἄχρηστος δὲ λίαν ἡ ταύτης διάνοια. ἔστοργε διὰ σεμνότητα ὁ ἀνὴρ τὸν Ἰωσήφ. ἔθαλπε διὰ φαυλότητα ἡ γυνὴ τὸν εὐγενῆ. ἔτερπε μὲν ἐκεῖνον ἀγαθότης τοῦ τρόπου. ἔτρωσε δὲ ἐκείνην ὡραιότης προσώπου. οὗτος αὐτῷ τὸν οἶκον παρέδωκεν, αὕτη αἰσχρῶς τὸ σῶμα ἀπέδωκεν. ὅπερ ἰδὼν Ἰωσήφ, τὴν φοβερὰν ἐνθυμούμενος κρίσιν, ὅτε πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Τῶν πραγμάτων τὴν τάξιν ἡ παράνομος πρᾶξις ἀπέστρεφε πρὸς το ἐναντίον. ὁ μὲν δοῦλος ἐκράτει παθῶν, ὡς δεσπότης πάσης ἡδονῆς τέλειος. ἡ δέσποινα δὲ γέγονεν ἀνδράποδον τῆς ἁμαρτίας. πᾶς γὰρ ὁ πράττων τὴν ἁμαρτίαν, δοῦλος ὑπάρχει τῆς ἁμαρτίας, πάντα μὲν τὰ ἄλλα, ὡς ὄναρ, ἡγούμενος, πρὸς δὲ τὸ ποθούμενον ὅλως ἑλκόμενος, ὥσπερ ἔπαθεν ἡ δέσποινα τοῦ δικαίου Ἰωσήφ. πρὸς ἐκείνην. τὴν ἐπέραστον εὐμορφίαν τοῦ παιδός. βλέπουσα γὰρ τὸν νέον ὀφθαλμοῖς ἀκαθάρτοις, βέλεσιν ἀκολάστοις τὴν ψυχὴν ἐκολάσθη. ὅσον αὐτὸς τῷ κάλλει ἐξέλαμπε, ταύτης ὁ νοῦς τοσοῦτον ἐξέλειπεν. αὕτη πυρὸς ἡδονὴν προσετίθει, οὗτος δὲ πῦρ ἄσβεστον ἀντετίθει, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Ὅλην τῆς Αἰγυπτίας τὴν καρδίαν συνεῖχεν ἡ τῆς ἐπιθυμίας μανία, καὶ πλαγεῖσα κρυφίαν πληγὴν, ὑπεδέχετο μὲν τὰ πικρὰ τραύματα, γλυκέα δὲ ἐνόμιζε τὰ θραύματα, ὡς μαινομένη. δι' ὀφθαλμῶν δεχομένη βέλη ἀπὸ τῆς σώφρονος βελοθήκης, καὶ τιτρώσκουσα τὴν καρδίαν τὴν ἑαυτῆς, τέρψιν ὑπενόει τὴν τρῶσιν ἡ τάλαινα. ὁ μὲν πόθος ὁ ἀκόλαστος ἐπολιόρκει τὸν νοῦν. Τὸ δὲ πάθος οὐκ ἠδύνατο φανερῶσαι τὸ αὐτῆ,. αὕτη γὰρ καὶ παρόντος Ἰωσὴφ ἀδύνατο, πάλιν δε καὶ ἀπόντος κατεφλέγετο πλέον. λόγοις αὐτὸν πολλοῖς ἐκολάκευε, πεῖραν αὐτοῦ λαβεῖν κατα σπεύδουσα ὁ δὲ σεμνὸς Ἰωσὴφ παρῃτεῖτο τῆσ γυναικὸσ τὴν ἀθέμιτον πρᾶξιν, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Νυμφοστόλοσ μοιχείας ὁ διάβολοσ ἦλθεν ἵνα τῇ Αἰγυπτίᾳ συμπράξῃ. καὶ ἀνδρίζου, ὦ γύναι, φησίν. ὡς ἀρχαῖον οὖσα καὶ στερρὸν ἄγκιστρον, ἑτοίμασον τὸ δέλεαρ, καὶ θήρευσον τὸν νεανίαν. τοὺς μὲν πλοκάμουσ τῆσ κεφαλῆσ σου πλέξον, ὡσ δίκτυα, κατὰ τούτου. τὴν δὲ τοῦ προσώπου μορφὴν κατακάλλυνον, πᾶσι ῥοδοχρόοις κοσμοῦσα σοφίσμασι. φαίδρυνόν σου καὶ τὸν τράχηλον τοῖσ χρυσοπλόκοις δεσμοῖσ, ἐπὶ πᾶσιν ἀμφιάσθητι, πολυτίμητον στολὴν, μύροισ ἄλειψαι πλείστοισ, ἐκθηλύνουσι νέουσ. πρόκεινται γὰρ ἀγῶνεσ ἰσχυραὶ καὶ γενναῖοι. οὗτοσ μεν σοὶ ἁγνείαν ἀντέστησε, σὺ δὲ αὐτῷ λαγνείαν ἀντίστησον, μὴ νικηθῇσ, καὶ καταγελασθῶμεν, λέξει γὰρ σοι. Οὐ ποίησω ὃ θέλεισ, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Εἶδεν ἄσεμνον ὄψιν ὁ σεμνὸσ νεανίας, καὶ μᾶλλον ἐβδελύξατο ταύτην. ἐθεώρει μορφὴν ἱλαραν, ἀλλ' ἐνόει γνώμην δολερὰν ἔσωθεν, σπεύσασ καὶ ταύτην ἔφυγεν, ὡσ ἔχιδναν ἐγκεκρυμμένην. ὅθεν μὲν φέρουσα ἡ ἀθλία τὴν περιφρόνησιν τοῦ γενναίου, πᾶσαν τὴν αἰδῶ τῆσ καρδίασ ἀπέρριψε, καὶ τὴν εαυτῆσ ἀσωτειαν ἐγύμνωσε. πρῶτον μὲν γὰρ ἐθεράπευσε διὰ μέσης γυναικὸσ, καὶ αὐτὴ δὴ μετεπέμπετο, καὶ ἐλάλει μετ' αὐτοῦ. γλῶττον εἶχεν ὀξεῖαν ὑπὲρ μάχαιραν οὖσαν, καὶ διὰ ἁμαρτίασ ἀναιροῦσα τὸν νέον, τέχναισ αὐτὸν πολλαῖς ἐγοήτευεν, ἀλλὰ τὸν νοῦν αὐτοῦ οὐ παρέτρεψεν. ἔλεγε γάρ. Οὐ ποιήσω τὸ μύσοσ, ἔχων ἀεὶ πρὸσ τὰ φῦλα τὸ μῖσοσ, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Ὢ μανίας ἐσχάτης γυναικὸς ἀκολάστου, ἐπὶ τοῦ Ιωσὴφ εκφλεχθείσης! ἐπειδὴ γὰρ κατεῖδεν αὐτὸν ταῖς αὐτῆς θωπείαις οὐδαμῶς εἴκοντα, μὴ πάθεσι νεότητος ἡττάμενον, ἐβόα τούτῳ. Δοῦλος ἐμὸς ὠνητὸς ὑπάρχεις, πέπρασαι μοί, ἵνα μοὶ δουλεύῃς. ὅλου σε δεσπότην τοῦ οἴκου πεποίηκα, γενοῦ δὲ κἀμοῦ τῆς κυρίας. σου κύριος οὐ λογίζομαι ὑβρίζεσθαι, καταβαίνουσα πρὸς σέ. δεσποτείας καὶ δουλείας γὰρ οὐκ ἔστι διαφορά, ἕνα πάντων πατέρα τὸν Ἀδὰμ ἐδιδάχθην, μίαν πάντων μητέρα τὴν ἀρχέγονον Εὔαν. πάντες ἐσμὲν ἀλλήλων ὁμότιμοι, ὡς τῆς αὐτῆς μετέχοντες φύσεως μὴ φοβηθῇς ὡς ἀθέμιτα πράττων, μήδε πεισθῇς τοῖς λαλοῦσί σοι ταῦτα, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ΙΔ. Σοῦ τοὺς τρόπους ὁρᾶσα κοσμουμένους ἐν πᾶσι, τῶν ἄλλων προτιμῶ σε συνδούλων. ἐν τοῖς ὄμμασι γὰρ τὴν αἰδῶ καὶ τοῖς χείλεσι σου, ὡς ποθῶ, κέκτησαι, καὶ πάσας ἔχεις αἴσθησιν εὐσχήμονα, καθάπερ θέλω. δεῦρο, ἐπάκουσον τῆς φωνῆς μου, ἵνα σοι δείξω τὴν πρόθεσιν μου, πλείστων γὰρ καλῶν σε ἐμπλήσω πεισθέντα μοι, καὶ δωροδοχίαις πλουσίαις ἀμείψομαι. σὲ γὰρ πλεῖον παραθήσομαι τῷ συμβίῳ τῷ ἐμῷ, καὶ γενέσθαι σε ἐλεύθερον. κα-

τασπέυσω παῤ αὐτοῦ. δοῦλος γὰρ οὐ κληθήση, συγκαθεύδων δεσποίνη. ἐὰν δὲ μὴ πεισθῆς μοι, κινδυνεύσεις δικαίως, σὲ γὰρ πικροῖς δεσμοῖς παραδίδωμι, τοῖς ὑπ᾽ ἐμοὶ οἰκέταις, ὦ φίλτατε. μὴ οὖν σαυτὸν ἀδικῆσαι θελήσης, οὐ γὰρ ἐστιν ἀληθὲς, ὡς νομίζεις, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιβ. Ἡ γυνὴ μὲν τοιαῦτα. ἀλλ᾽ οὐκ ἴσχυσεν ὅλως σαλεῦσαι τὸν ἀσάλευτον πύργον. κολακείαις οὐκ ἐνύσταξε, ἀλλὰ μᾶλλον εἶχε λογισμὸν ἄγρυπνον, καὶ ἄσυλον ἐφύλαξε τὸ καύχημα τῆς σωφροσύνης. ἔνθεν κἀκεῖθεν περισκοποῦσαν ταύτην ἑώρα τὴν μαινομένην ἅπαντας τοὺς ἄλλους τοῦ οἴκου ἐξέπεμψε, μονη δὲ πρὸς μόνον τοιαῦτα ἐφθέγγετο. ἕως πότε σου ἀνέξομαι παρακούοντος ἐμοί; νῦν καιρὸς τοῦ ἀπολαῦσαι με τῆς ποθεινῆς ἡδονῆς, οὐ γὰρ ἔστιν ἐνταῦθα οὐδὲ εἷς τῶν τοῦ οἴκου, καὶ οὐδὲν ἐμποδίζει τοῦ γενέσθαι ὃ λέγω. Βέλη πυρὸς αὐτῷ κατηκόντισεν, ἀλλ᾽ οὐδαμῶς αὐτὸν κατεφλόγισεν. ἔσωθεν γὰρ σωφροσύνην πηγάζων, τὰς πονηρὰς ὁμιλίας ἐσβέννυ, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιγ. Φθεγγομένης τοιαῦτα τῆς μαινάδος ἐκείνης, καὶ καταθωπευούσης τὸν νέον, εἰς τὰ σκάμματα τῶν πειρασμῶν Ιωσὴφ ὁ μέγας ἀθλητὴς ἔργεται, πολύμορφον ἀντίπαλον βουλόμενος ἀντιπαλαῖσαι. καὶ βραβευταὶ συνεισῆλθον δύο, καὶ παρεστήκεισαν ἀμφοτέροις. τῷ μὲν Ἰωσὴφ ἡ ἁγνεία συνίστατο τῇ δὲ γυναικὴ ἡ λαγνεία προΐστατο, μέσον τούτων ἠγωνίζετο ὁ φιλοσώφρων ἀνὴρ, πρὸς αὐτὸν ἀντηγωνίζετο ἡ δολιόφρων γυνὴ. ἔθελγε μὲν ἐκείνη πρὸς μοιχείαν καλοῦσα, ἤθελε δὲ νικῆσαι τὴν αἰσχρὰν ὁ γενναῖος. τῷ Ἰωσὴφ συνέπραττον ἄγγελοι, τῇ γυναικὶ συνέτρεχον δαίμονες. ἄνωθεν δὲ θεωρῶν ὁ δεσπότης, τὸν νικητὴν ἔτρεφε τοῖς ἐπαίνοις, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιδ. Ῥήματα σωφροσύνης Ιωσὴφ ἀπεκρίθη πρὸς τὴν παραφρονοῦσαν βοήσας. Σὸς μὲν δοῦλός εἰμι ὠνητὸς, διὰ φθόνον τοῦτο πεπονθὼς ἄδικον. κἂν πέπραμαί δὲ σώματι, ἐλεύθερος πέλω τῇ γνώμῃ. Τὴν γὰρ εὐγένειαν τὴν τῶν τρόπων χάρτης καὶ μέλαν οὐκ οἶδε βάψαι. Ὥσπερ ἡ ἀχλὺς τὸν ἀέρα σκοτίζουσα, τὴν ἡλιακὴν οὐκ ἀμβλύνει λαμπρότητα. ὡς γὰρ νέφος ἀπελαύνεται, ὑπ᾽ ἀνέμου διωχθὲν, τοῦ ἡλίου δὲ μετέπειτα καταλάμπουσιν αὐγαί. οὕτω καὶ ἡ δουλεία παρελεύσεται αὕτη, καὶ ἡ ἐλευθερία ἡ ἐμὴ ἀναλάμψει πᾶσα ἡ γῆ Αἰγύπτου δουλεύσει μοι, τῷ ἡδοναῖς αἰσχραῖς μὴ δουλεύοντι. τοῦτο γάρ μοι προεμήνυσε πάλαι ὁ προειδὼς τὰ ἐσόμενα μόνος, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιε. Ὡς ἀκήκοε ταῦτα προσλαλοῦντος τοῦ νεοῦ, καὶ πάλιν κολακεύειν πειρᾶται, καὶ τοιαῦτα πρὸς αὐτὸν φησιν. Ὅτι δούλου τρόπους οὐδαμῶς κέκτησαι, δι᾽ ἔργων τοῦτο ἔμαθον, καὶ πέπεισμαι καὶ μαρτυρῶ σοι, καὶ γὰρ τὴν πρέπουσαν ἐλευθέροις σὺ ἐξετέλεσας λειτουργίαν. γέγονας ἐν πᾶσι τοῖς ἔργοις σου ἄμεμπτος, καὶ πρὸς τοὺς συνδούλοος τοὺς σοὺς ἀκακούργητος, ὅθεν φαίνη καταγόμενος ἐκ γονέων εὐγενέων. Διὰ τοῦτο καὶ ἐλήλυθας εἰς τὰς χεῖρας τὰς ἐμὰς, ἵνα γένωμαι πλείστων αγαθῶν ἀρχηγός σοι. καὶ ἡ χώρα Αἰγύπτου δι᾽ ἐμοῦ σοι δουλεύσει. μόνον ἐμὲ τὴν νῦν σου δεσπόζουσαν, καὶ τὴν πρὸς σὲ στοργὴν διασώζουσαν, δέξαι λοιπὸν εἰς κοινὴν εὐφροσύνην, καὶ μὴ πτοοῦ, λογιζόμενος πάλιν ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιϛ. Μετὰ τούτους τοὺς λόγους, Ἰωσὴφ ἀντιλέγει πρὸς τὴν ἀσελγεστάτην ἐκείνην. Ἀληθὲς μὲν ὃ λέγεις ἐστὶν, ὅτι ῥίζης πέλω ἀγαθῆς βλάστημα, ὡς ἄλογον δὲ βλέπω σε, καὶ φεύγω σου τὴν συνουσίαν. Ὅταν γαρ τις λογισμὸν οὐκ ἔχῃ, τὸν χαλινοῦντα αὐτοῦ τὸν βίον. δίκην ἀλογίστων κτηνῶν περιφέρεται, καὶ εἰς ἀπρεπεῖς ἡδονὰς παραφέρεται. διὰ τοῦτο οὐκ ἀνέχομαι τῶν φιλοσάρκων παθῶν, ἀλλὰ τούτων τὰ σκιρτήματα δι᾽ ἐγκρατείας κρατῶ, μέχρι νῦν καθαρεύω ἀπὸ μύσους τοιούτου, ἄρτι διὰ μοιχείας οὐ ῥυπῶ μου τὸ σῶμα, ἔστι μοι γὰρ βαρὺ καὶ ἀθέμιτον, γάμον ἀνδρὸς συλῆσαι ἀλλότριον. μεῖζον δέ μοι καταφαίνεται κρῖμα, καὶ τὴν εὐνὴν τοῦ δεσπότου ὑβρίσαι, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιζ. Ἄκουσον, νεανία, ἡ γυνὴ ἀπεκρίθη πρὸς τὸν τῆς σωφροσύνης ἐργάτην. Ὁ δεσπότης, ὡς οἶδας, ὁ σὸς καταπείθεται μου τῇ βουλῇ πάντοτε, καὶ δύναμαι κακῶσαί σε, καὶ πάλιν παραθέσθαι τούτῳ. Ἔχει ἐν σοὶ ἀγαθὰς ἐλπίδας, ἐκ τῆς προλήψεως τῆς προτέρας. στέργει καὶ ἐμέ. ὡς ἀεὶ σωφρονήσασαν, μέχρι γὰρ τοῦ νῦν ἀκατάγνωστος ἔμεινα. τοῦ δεσπότου οὖν, ὡς εἴρηκα, πεποιθότος ἐφ᾽ ἡμῖν οὐδενὸς δὲ πραττόμενον θεωροῦντος ἐπὶ γῆς, τί ὀκνεῖς πειθαρχῆσαι τῇ ἐμῇ παρακλήσει; ἢ οὐ καταξιώσεις τὰς ἐμὰς παρακλήσεις; τοῖχοι ἡμᾶς καλύπτουσι πάντοθεν, ἄνωθεν δὲ ἡ στέγη ἐπίκειται, μὴ οὖν φοβοῦ, οὗ οὐκ ἔστι σοι φόβος, μὴ πτοηθῇς, ἐνθυμούμενος πάλιν ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιη. Νουθετῆσαι σπουδάζων τὴν ἀθλίαν ἐκείνην ὁ σώφρων Ἰωσὴφ ἀπεκρίθη. Μὴ συμβούλευέ μοι πονηρὰ, ὡς ἡ εὔα πάλαι τῷ Ἀδάμ. ἄπαγε, τοῦ ξύλου γὰρ οὐ γεύσομαι, τοῦ θάνατον μοι προξενοῦντος. ἔχω παράδεισον τὴν ἁγνείαν, πᾶσαν βλαστάνουσαν εὐωδίαν. Τί γὰρ τῆς ἁγνείας ἐστὶ θαυμαστότερον; ἣν οἱ κατορθοῦντες, ὡς ἄγγελοι λάμψουσι. κἂν τὴν πρᾶξιν οὐ μὴ ἴδωσιν οἱ οἰκοῦντες σὺν ἡμῖν, ὅτι ἄνθρωποι ὑπάρχουσι, μὴ ὁρῶντες τὰ κρυπτὰ, ἀλλὰ τὸ συνειδός μου τὸν κατήγορον. ἔγωγε εἴγε πρᾶξαι νομίσω τὸ παράνομον ἔργον, καὶ εἰ μηδεὶς ἐλέγξει μοιχεύσαντα, ἔχω κριτὴν ἐλέγχου μὴ χρήζοντα, ὅνπερ ἀεὶ ἐνθυμούμενος φρίττω, καὶ τὰς νυνὶ ἡδονὰς ἀποφεύγω, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιθ. Ὅταν σοι δὲ πιστέυω, ὅτι πάντοθεν τοῖχοι καλύπτουσιν ἡμᾶς πλημμελοῦντας, καὶ οὐ βλέπει οὐδεὶς ἐπὶ γῆς ὅπερ θέλεις πρᾶξαι σὺν ἐμοὶ ἄδικον, τὸν βλέποντα τὰ κρύφια. ποῦ φύγωμεν, γύναι, εἰπέ μοι. εἰ γὰρ οὐ πάρεστιν ὁ ἀνήρ σου, ἀλλ' οὐκ ἀπέστη νῦν ὁ κριτής μου. κἂν οὐκ ἐφορᾷ με τῆς κλίνης. ὁ κύριος, ἀλλὰ ἐφορᾷ με ὁ κρίνων τὰ κρύφια. πῶς οὖν, λάθω τὸν ἐταζοντα τὰς καρδίας καὶ νεφρούς; καὶ αὐτὸς δε κινηθήσεται κατ' ἐμοῦ ὁ οὐρανός. μάτην τοίχοις θαρροῦμεν τοῖς μηδὲν ὠφελοῦσι. ἐπουράνια στέγη τὴν μοιχείαν οὐ στέγει. πάντα γυμνὰ ὑπάρχει καὶ πρόδηλα τῷ τὰ κρυπτὰ γινώσκοντι πταίσματα, ὅθεν ἐγὼ οὐκ ἀνέχομαι πρᾶξαι τὸ πονηρὸν ἐναντίον κυρίου, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

κ. Ὑπὸ τούτων τῶν λόγων ἡ μαινὰς ἐκκαυθεῖσα, τῷ σώφρονι ἐπέρχεται ἄφνω, καὶ τὸν τούτου χιτῶνα κρατεῖ, καὶ βιαίως σύρει τὸν σεμνὸν, λέγουσα. ἐπάκουσον μου, φίλτατε, καὶ δεῦρο, συνομίλησον μοι. ἔνθεν κἀκεῖθεν ἡ Αἰγυπτία, πάλιν ἡ χάρις ἀνθεῖλκε τοῦτον. Αὕτη μὲν ἐβόα. ἐμοὶ συγκοιμήθητι. Ἄνωθεν ἡ χάρις. ἐμοὶ συγγρηγόρησον. Μετ' ἐκείνης ὁ διάβολος ἠγωνίζετο πικρῶς, καὶ χερσὶ σφοδρῶς κατέσφιγγε νῦν τὸν νέον Ἰωσήφ. πάλιν ἡ σωφροσύνη ἐκινεῖτο πρὸς πάλην, προσεπάγουσα τούτῳ τὰ κρατήματα ταύτης, ἔλεγε δέ. Ραγῇ τὸ ἱμάτιον, καὶ μὴ φθαρῇ τὸ σῶμα τοῦ σώφρονος. λήψεται γὰρ παρὰ τοῦ ἀθλοθέτου, ὡς νικητὴς, ἔνδυμα ἀφθαρσίας, ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Во святой и великій Вторникъ.

Τῇ ἁγίᾳ γ΄. Κοντάκιον εἰς δέκα παρθένους, ἦχος δ΄. ἀκροστιχίς. τοῦ ταπεινοῦ Ρωμανοῦ ᾠδὴ ά.

Въ Аѳонскомъ Кондакаріи только 6-ть икосовъ. Смотри въ моемъ печатномъ Кондакаріи стр. 144. 145 и 194. Недостающіе икосы слѣдующіе: р. 80—85.

η. Ἰδοὺ σαφῶς γνῶναι ἐστὶ τὴν θείαν γραφὴν ταύτην. εἶτα τῆς διανοίας ὄμματα γρηγοροῦντα ἐπανατείνωμεν θεῷ. δόξωμεν οὖν βλέπειν τοῖς ψυχικοῖς ὀφθαλμοῖς παγκόσμιον ἀνάστασιν, χριστὸν δὲ τὸν σωτῆρα δεικνύμενον πάντων βασιλέα, ὡς καὶ νῦν γὰρ βασιλεύει, καὶ κύριος ἐστι καὶ δεσπότης, κἂν σταζιάσουσι τινὲς ἀγνοοῦντες. ἀλλ' ἡ φλὸξ ἡ τοῦ πυρὸς πάντας χωνεύσει, τότε οὖν οὐδεὶς δυνήσεται ἀντιστῆναι ὅτι παρέξει τὸν ἄφθαρτον στέφανον.

θ. Νικᾷ ἁπάσας ἀρετὰς ἡ ἐλεημοσύνη συνημμένη τῇ πίστει, καὶ ὑπέρκειται πάντων, ὡς βασιλεὺς τῶν ἀγαθῶν, τέμνει τὸν ἀέρα, ὑπερβαίνει μετ' αὐτὸν σελήνην καὶ τὸν ἥλιον καὶ φθάνει ἀπροσκόπως τὴν εἴσοδον τὴν ἐπουρανίαν, καὶ οὐχ' ἵσταται οὐδ' οὕτως, ἀλλ' ἔρχεται μέχρι τῶν ἀγγέλων, ἐκτρέχει δὲ χοροὺς καὶ τῶν ἀρχαγγέλων. θρόνῳ γὰρ παρίσταται τοῦ βασιλέως (οὐ μὴ ἀποστῇ ἕως ὁ ὕψιστος νέμει) πᾶσιν αἰτοῦσι τὸν ἄφθαρτον στέφανον.

ι. Οὐκοῦν κατίδωμεν ἡμεῖς τὰς πέντε τὰς πανσόφους ἐξ ὕπνου ἀναστάσας, καθάπερ ἐκ παστάδων, ἀλλ' οὐκ ἐκ τάφων τῶν νεκρῶν. ἔλαιον γὰρ εἶχον. καὶ εὐθὺς τὰς τῆς ψυχῆς λαμπάδας κατεκόσμησαν. αἱ ἄλλαι μὲν ὁμοίως ἀνέστησαν ἄθροιν σὺν ταύταις, σκυθρωπὰ δὲ κεκτημέναι τὰ πρόσωπα καὶ συμπεπτωκότα. καὶ γὰρ ἐσβέσθησαν αἱ τούτων λαμπάδες, τὰ ἀγγεῖα δὲ αὐτῶν κοῦφα ἐδείχθη. ἔλαιον λαβεῖν ἐζήτουν παρὰ τῶν ἄλλων, ἵνα καὶ σχῶσι τὸν ἄφθαρτον στέφανον.

ια. Ὑπάγετε, φασὶν αὐταῖς, ζητεῖτε τοὺς πωλοῦντας, εἰ ἄρα δυνηθῆτε ὠνεῖσθαι παρὰ τούτων ἐλαίου μέτρον ἑαυταῖς. Ἅμα δὲ ἀπῆλθον, καὶ ἐπέστη ὁ χριστὸς, καὶ παραυτίκα ὅπασαι αὐτῷ συνῆλθον (πέντε) αἱ φρόνιμοι ἔνδον τοῦ νυμφῶνος τοῦ ἁγίου, καὶ αἱ θύραι ἐκλείσθησαν, αἱ τῆς εὐσπλαγχνίας. πολλὰ οὖν δράσασαι αἱ ὄντως ἄθλιαι, καὶ μὴ ἔχουσαι λαβεῖν ὅπερ ἐζήτουν, θρῆνον, ὀδυρμὸν, κωκυτὸν ἀναβαλοῦσαι, ὅλως οὐχ εὗρον τὸν ἄφθαρτον στέφανον.

ιβ. Ραδίως τοῦτο τὸ καινὸν νοήσασαι αἱ πένται, ὑπέστρεψαν εὐθέως, καὶ εὗρον τὸν νυμφῶνα ἀποκλεισθέντα τοῦ χριστοῦ. ἔκραξαν δὲ πᾶσαι ἐν φωνῇ ὀδυνηρᾷ καὶ στεναγμοῖς καὶ δάκρυσι. Τῆς σῆς φιλανθρωπίας, ἀθάνατε, ἄνοιξον τὴν θύραν καὶ ἡμῖν, ταῖς δουλευσάσαις τῷ κράτει σου ἐν τῇ παρθενείᾳ. Τότε ὁ βασιλεὺς πρὸς ταύτας κραυγάζει. Οὐκ ἀνοίγεται ὑμῖν ἡ βασιλεία, οὐκ οἶδα ὑμᾶς, ὑπάγετε οὖν ἐκ μέσου, οὐ γὰρ φορεῖτε τὸν ἄφθαρτον στέφανον.

ιγ. Ὡς δὲ ἀκήκοαν χριστοῦ, τοῦ πάντων βασιλέως, τοιαῦτα εἰρηκότος, ἐξέστησαν βοῶσαι. Δικαιοκρῖτα ἀγαθὲ, σὲ ἐπιποθοῦμεν, καὶ διὰ σὲ ἑαυτὰς νηστείαις κατετήξαμεν, ἁγνείαν, ἀγρυπνίαν ἠσκήσαμεν, μετὰ προθυμίας ψαλμῳδίαις καρτεροῦσαι. ἐστέρξαμεν τὴν ἀκτημοσύνην, τὴν φλόγα τοῦ πυρὸς τῆς ἀκολασίας ἐνικήσαμεν ἡμεῖς καὶ τὰς ὀρέξεις, ἄχραντον ἀεὶ μετήλθομεν πολιτείαν, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.

ιδ. Μετὰ τοσαύτην ἀρετὴν καὶ χρῆσιν τῆς ἁγνείας, καὶ τὸ καταπατῆσαι τὸ πῦρ τῆς λαγνείας καὶ φλόγα τὴν τῶν ἡδονῶν, μετὰ πλείστους πόνους, ὅτε τῶν ἐν οὐρανοῖς τὸν βίον ἐζηλώσαμεν (καὶ γὰρ τῶν ἀσωμάτων ἐσπεύσαμεν σχεῖν τὴν πολιτείαν.) τὰ τοιαῦτα καὶ τοσαῦτα, ὡς ἔοικεν, ἄτιμα εὑρέθη. πολὺν γὰρ ἀρετῆς ἐδείξαμεν πόνον, καὶ ματαία ἡ ἐλπὶς πᾶσιν ἐφάνη. τί οὐ προσποιεῖ τὸ ἔλεος, ὁ παρέχων πᾶσιν οἷς θέλεις τὸν ἄφθαρτον στέφανον.

ιε. Ἀλλ' ὡς τοιαῦτα αἱ μωραὶ ἐροῦσι πρὸς τὸν κτίστην, πρὸς ταύτας ἀπεκρίθη. Ἡ κρίσις νῦν ἐπέστη ἡ δικαία καὶ ἀληθινή. τῆς γὰρ εὐσπλαγχνίας ἀπεκλείσθη ὁ καιρὸς, οὐκ ἔστι νῦν συμπάθεια. οὐκ ἔτι εὐσπλαγχνίας ἠνέωκται θύρα τοῖς ἀνθρώποις, ἐπειδήπερ μετανοίας οὐ δέδοται τόπος τοῖς ἐνταῦθα. οὐκέτι συμπαθὴς ὁ πρώην οἰκτίρμων, ἀλλ' ἀπότομος κριτὴς ὁ ἐλεήμων. ἄσπλαγχνοι ὑμεῖς ἐδείχθητε ἐν τῷ κόσμῳ, πῶς οὖν ζητεῖτε τὸν ἄφθαρτον στέφανον.

ις. Νῦν οὖν ἐκφαίνω φανερῶς ἐπὶ τῶν ἀρχαγγέλων καὶ πάντα τῶν ἁγίων ἃ πέπονθα ἐκ τούτων τῶν σὺν ἐμοὶ εἰσελθουσῶν. εὗρον με ἐν θλίψει, καὶ μὴ πεινάσαντα σφοδρῶς, ἐσπούδασαν χορτάσαι με. διψήσαντα δὲ πάλιν ἐπότισαν πάσῃ προθυμίᾳ. ξενιτεύσαντα ἰδοῦσαι, συνήγαγον, ὥσπερ ἐγνωσμένον. δεσμοῖς κρατούμενον περιεποιοῦντο, ἐπισκέψαντο δὲ μὲ καὶ ἀσθενοῦντα. πᾶσαν ἀκριβῶς ἐφύλαξαν ἐντολήν μου, ὅθεν καὶ εὗρον τὸν ἄφθαρτον στέφανον.

ιη. Ὑπερηφάνοις ὀφθαλμοῖς πάντας ἐθεωρεῖτε, πάντων κατεφρονεῖτε, γεγόνατε τοῖς πᾶσιν ἀσυμπαθεῖς, ἀνελεεῖς, κατὰ τῶν πταιόντων ἐκινεῖσθε ἀφειδῶς, αἱ καθ' ἑκάστην πταίουσαι, κατὰ τῶν ὁμοφύλων ἀπάνθρωποι, ὡς μὴ πλημμελοῦσαι. ἐφρονεῖτε δὲ μεγάλα, κομπάζουσαι τῇ ἀλαζονείᾳ, τοὺς μὴ νηστεύοντας, ὡς ἀπερριμένους, τοὺς ἐν γάμῳ βδελυκτοὺς εἴχετε πάντας, μόνας ἑαυτὰς ἡγεῖσθε ὥσπερ δικαίας, μήπω λαβοῦσαι τὸν ἄφθαρτον στέφανον.

ιθ. Ὥσπερ οὐκ ἔσωσεν ὑμᾶς ἄσπλαγχνος παρθενία, οὕτως οὐδὲ νηστεία μετὰ ἀλαζονείας προσενεχθεῖσα παρ' ὑμῶν. πρᾶος γὰρ ὑπάρχων ἐπιποθῶ τοὺς πραεῖς, διδοὺς αὐτοῖς τὴν ἄφεσιν. ἀρνοῦμαι τοὺς νηστείαν φυλάττοντας μετὰ ἀσπλαγχνίας, οὐ φιλῶ κακὰς παρθένους (ἀπανθρώπους, ἀγαπῶ δὲ μᾶλλον ἁγνὰς, εὐγνώμονας, πᾶσι φιλανθρώπους, ἃς εἰσάγω ἐν χαρᾷ εἰς τὸν νυμφῶνα. εἰσὶ γὰρ αὗται τῷ νυμφίῳ ἐράσμιαι.) ταύταις δὲ δώσω τὸν ἄφθαρτον στέφανον.

κ. Δωρῶ μεγάλας δωρεὰς τοῖς μικρὰ δωρουμένοις, ἀντὶ γὰρ τῶν προσκαίρων, ἀπόλαυσιν παρέχω τῶν αἰωνίων ἀγαθῶν. τῷ διδόντι ἄρτον ἀντιδίδωμι αὐτῷ τὸν τῆς τρυφῆς παράδεισον. οὐ βλάψει ἡ πενία τὸν ἐνδεῆ, ἐὰν ἑκουσίως ὑπομένῃ, θεαρέστως λυτρούμενος τοῦ λογοθεσίου. ὁ γὰρ ἐλάχιστος συγγνώμην λαμβάνει, δυνατοὶ δὲ δυνατῶς λογοθετοῦνται. εὐγνώμονες οὖν λήψονται τὴν παρρησίαν, τότε φοροῦσαι τὸν ἄφθαρτον στέφανον.

κα. Ἡ ἐντολή μου φορτικὴ οὐδὲν ὅλως ὑπάρχει. οὐδὲν γὰρ παραγγέλλω ὑπὲρ δύναμιν ἆραι, ἀλλὰ προαίρεσιν ζητῶ. πέντε μόνους ἔχει ὀβολοὺς ὀηγηγενής, οὐδὲν δὲ ἄλλο κέκτηται; ἐλάχιστον ἐκ τούτων προσδέχομαι μέρος, ὡς δεσπότης, προτιμήσας τοῦ πλουσίου τοῦ χρήματα· πολλὰ δεδωκότος. οὐκ ἔχεις ὀβολούς; βροτὲ, προσένεγκον κἂν ποτήριον ψυχροῦν τῷ δεομένῳ, τοῦτο καὶ ἐγὼ προσδέχομαι εὐχαρίστως, πάντως παρέχων τὸν ἄφθαρτον στέφανον.

κβ. Ἄνες μοι, ἄνες μοι, χριστὲ, τῷ κατακεκριμένῳ ὑπὲρ πάντας ἀνθρώπους, οὐ πράττω γὰρ ἃ λέγω καὶ συμβουλεύω τοῖς λαοῖς. ὅθεν σοι προσπίπτω. δὸς κατάνυξιν, σωτὴρ, κἀμοὶ καὶ τοῖς ἀκούουσιν, ἵνα τὰς ἐντολάς σου φυλάξωμεν πάσας ἐν τῷ βίῳ, καὶ μὴ μείνωμεν θρηνοῦντες καὶ κράζοντες ἐκτὸς τοῦ νυμφῶνος. ἐλέησον ἡμᾶς τῇ σῇ εὐσπλαγχνίᾳ, ὁ βουλόμενος ἀεὶ πάντας σωθῆναι, κάλεσον ἡμᾶς, πρεσβείαις τῆς θεοτόκου, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.

κγ. Ἴδε σωτὴρ, καὶ ἐφ' ἡμᾶς μόνε δικαιοκρῖτα, ἄνοιξόν σου τὴν θύραν, καὶ δέξαι εἰς νυμφῶνα τὰς σὰς παρθένους, λυτρωτὰ, καὶ μὴ ἀποστρέψῃς τὸν σὸν πρόσωπον ἡμῶν τῶν ἐπικαλουμένων σε, ἵνα μὴ στερηθῶμεν τῆς χάριτος τῆς ἀθανασίας, μὴ γινώμεθα αἰσχύνη καὶ ὄνειδος ἐπὶ τῶν ἀγγέλων. μὴ πάσας μάκρυνον ἡμᾶς, μὴ χωρίσῃς τοῦ νυμφῶνός σου, χρίστὲ, ἵστασθαι ἔξω (τίνες) γὰρ ἡμῶν οὐκ ἤσκησαν τὴν ἁγνείαν; πῶς οὐ φοροῦμεν τὸν ἄφθαρτον στέφανον.

Во святую и Великую Среду.

p. 85. 95. Τῇ ἁγίᾳ δ'. κοντάκιον εἰς πόρνην. ἦχος. δ'. φέρον ἀκροστιχίδα. τοῦ ταπεινοῦ Ῥωμανοῦ.

α. Ὁ πόρνης καλέσας θυγατέρα, χριστὲ, υἱὸν μετανοίας κἀμὲ ἀνάδειξας. δέομαι, ρῦσαι με τοῦ βορβόρου τῶν ἔργων μου.

β. Κατέχουσα ἐν κατανύξει ἡ πόρνη τὸ ἴχνη σου, ἐβόα σοι ἐν μετανοίᾳ, τῷ εἰδότι τὰ κρύφια. χριστὲ ὁ θεὸς πῶς σοι ἀτενίσω τοῖς ὄμμασιν, ἡ πάντας ἀπατῶσα τοῖς νεύμασι; πῶς σε δυσωπήσω τὸν εὔσπλαγχνον ἢ σε παροργίσασα τὸν κτίστην μου; ἀλλὰ δέξαι τοῦτο τὸ μύρον, πρὸς δυσώπησιν, κύριε, καὶ δώρησαι μοὶ ἄφεσιν τῆς αἰσχύνης τοῦ βορβόρου τῶν ἔργων μου.

γ. Τὰ ῥήματα τοῦ χριστοῦ, καθάπερ ἀρώματα, ραινόμετα πανταχοῦ βλέπουσα πόρνη ποτὲ, καὶ πᾶσι τοῖς πιστοῖς πνοὴν ζωῆς χορηγοῦντα, τῶν ἑαυτῇ πεπραγμένων δυσῶδες ἐμίσησεν, ἐννοοῦσα τὴν αἰσχύνην τὴν ἑαυτῆς, καὶ σκοποῦσα τὴν ὀδύνην τὴν δι' αὐτῶν ἐγγινομένην. πολλὴ γὰρ θλῖψις γίνεται πόρνοις τοῖς δὲ ἐκεῖ. ὧν εἷς εἰμι, καὶ ἕτοιμος πέλω εἰς μάστιγας, ἃς πτοηθεῖσα ἡ πόρνη, οὐκέτι ἔμεινε πόρνη, ἐγὼ δὲ καὶ πτοούμενος, ἐπιμένω τῷ βορβόρῳ τῶν ἔργων μου.

δ. Ουδέποτε τῶν κακῶν ἀποστῆναι βούλομαι, οὐ μνήσκομαι τῶν δεινῶν, ὧν ἐκεῖ μέλλω ὁρᾶν, οὔτε λογίζομαι τὴν τοῦ χριστοῦ εὐσπλαγχνίαν πῶς περιῆλθε ζητῶν με τὸν γνώμη πλανώμενον. δι ἐμὲ γὰρ πάντα τόπον ἐξερευνᾶ, δι ἐμὲ καὶ φαρισαίω συναριστᾶ, ὁ τρέφων πάντας. καὶ δείκνυσι τὴν τράπεζαν θυσιαστήριον, ἐν αὐτῇ ἀνακείμενος, καὶ χαριζόμενος τὴν ὀφειλὴν τοῖς χρεώσταις, ἵνα θαρρῶν πᾶς χρεώστης προσέλθη λέγων. κύριε, λύτρωσαί με τῶν ἔργων μου.

ε. Ὑπέκνισεν ἡ ὀσμὴ τῇ τραπέζης τοῦ χριστοῦ τὴν τρώην μὲν ἄσωτον νυνὶ δε καρτερικὴν, τὴν κύνα ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει ἀμνάδα, τὴν δούλην καὶ θυγατέρα, τὴν πόρνην καὶ σώφρονα. διὰ τοῦτο λίχνω δρόμω φθάνει αὐτὴν, καὶ λιποῦσα τὰ ψιχία τὰ ἑαυτῆς, τὸν ἄρτον ἦρε. τῆς πάλαι χαναναίτιδος πλέον πεινάσασα, ψυχὴν κενὴν ἐχόρτασεν, οὕτω ποθήσασα, ἀλλ' οὐ κραυγῇ ἐλυτρώθη, σιγῇ δὲ μᾶλλον ἐσώθη, κλαυθμῷ γὰρ εἶπε. κύριε, λύτρωσαί με τοῦ βορβόρου τῶν ἔργων μου.

ς. Τὴν φρένα δε τῆς σοφῆς ἐρευνῆσαι ἤθελον, καὶ γνῶναι πῶς ἔλαμψεν ἐν αὐτῇ ὁ κύριος ὁ ὡραιότατος καὶ τῶν ὡραίων ὁ κτίστης. οὗ τὴν ἰδέαν πρὶν ἴδη, ἡ πόρνη ἐπόθησεν. ὡς ἡ τῶν εὐαγγελίων βίβλος βοᾶ, τοῦ χριστοῦ ἀνακειμένου ἐν οἰκία τοῦ φαρισαίου, γυνή τις ὅτε ἤκουσεν, ἅμα καὶ ἔσπευσεν, ὠθήσασα τὴν ἔννοιαν πρὸς τὴν μετάνοιαν. Ἄγε φησὶν, ὦ ψυχή μου, ἰδοὺ καιρὸς ὃν ἐζήτεις, ἐπέστη ὁ καθαίρων σε. τί ἐμμένεις τῷ βορβόρω τῶν ἔργων μου.

ζ. Ἀπέρχομαι πρὸς αὐτὸν, δι ἐμε ἐλήλυθεν. ἀφίημι τούς ποτε, τὸν γὰρ νῦν πάνυ ποθῶ, καὶ ὡς φιλοῦντα με μυρίζω καὶ κολακεύω. κλαίω, πενθῶ καὶ στενάζω, δικαίως φιλήσει με. ἀλλοιοῦμαι πρὸς τὸν πόθον τοῦ ποθητοῦ, καὶ ὡς θέλει φιληθῆναι, οὕτω ποθῶ τὸν ἐραστήν μου. πενθῶ καὶ κατακάμπτομαι, τοῦτο γὰρ βούλεται. σιγῶ καὶ περιστέλλομαι, τούτοις γὰρ τέρπεται. ἀναχωρῶ τῶν ἀρχαίων, ἵνα ἀρέσω τῷ νέω. συντόμως ἀποτάσσομαι ἐμφυσῶσα βορβόρω τῶν ἔργων μου.

η. Προσέλθω οὖν πρὸς αὐτὸν, φωτισθῶ, ὡς γέγραπται. ἐγγίσω νῦν τῷ χριστῷ, καὶ οὐ μὴ καταισχυνθῶ. οὐκ ὀνειδίζει με, οὐ λέγει μοι. ἕως ἄρτι ἧς ἐν τῷ σκότει, καὶ ἦλθες ἰδεῖν με τὸν ἥλιον. Διὰ τοῦτο μύρον αἴρω, καὶ πορευθῶ. φωτιστήριον ποιήσω τὴν οἰκίαν τοῦ φαρισαίου. ἐκεῖ γὰρ ἀποπλύνομαι τὰς ἁμαρτίας μου, ἐκεῖ καὶ καθαρίζομαι τὰς ἀνομίας μου. κλαυθμῷ, ἐλαίω καὶ μύρω κεράσω μου κολυμβήθραν, καὶ λούομαι, καὶ σμήχομαι, καὶ ἐκφεύγω τοῦ βορβόρου τῶν ἔργων μου.

θ. Ἐδέξατο ἡ Ραὰβ κατασκόπους πρότερον, καὶ τῆς δοχῆς τὸν μισθὸν, ὡς πιστὴ, εὗρε ζωήν. τῆς γὰρ ζωῆς τύπος ὑπῆρχε τούτους ὁ πέμψας, τοῦ Ἰησοῦ μου βαστάζων τὸ τίμιον ὄνομα. σωφρονοῦσα πόρνη τότε ξενοδοχεῖ, νῦν παρθένον ἐκ παρθένου πόρνη ζητεῖ ἀλεῖψαι μύρω. ἐκείνη μὲν ἀπέλυσεν, οὕσπερ ἀπέκρυψεν. ἐγὼ δὲ ὃν ἠγάπησα, μένω κατέχουσα, οὐχ ὡς κατάσκοπον κλήρων, ἀλλ' ὡς ἐπίσκοπον πάντων, κρατῶ, καὶ ἐξεγείρομαι ἐκ τῆς ὕλης τοῦ βορβόρου τῶν ἔργων μου.

ι. Ἰδοὺ καιρὸς ἔφθασεν, ὃν ἰδεῖν ἐπόθησα, ἡμέρα μοι ἔλαμψε καὶ δεκτὸς ἐνιαυτός. ἐν τοῖς τοῦ Σίμωνος αὐλίζεται ὁ θεός μου. σπεύσω πρὸς τοῦτον καὶ κλαύσω, ὡς Ἄννα, τὴν στείρωσιν. κἂν λογίσηται με Σίμων ἐν μεθυσμῷ, ὡς Ἠλὶ τὴν Ἄνναν τότε, μένω κἀγὼ προσευχομένη, σιγῇ βοῶσα. κύριε, τέκνον οὐκ ἤτησα, ψυχὴν μονογενῆ ζητῶ, ἥνπερ ἀπώλεσα. ὡς Σαμουὴλ τῆς ἀτέκνου, ἐμμανουὴλ τῆς ἀνάνδρου, τῇ στείρα τὸν υἱὸν ὁ δοὺς, ῥῦσαι πόρνην τοῦ βορβόρου τῶν ἔργων μου.

ια. Νευροῦται μὲν ἡ πιστὴ τοῖς τοιούτοις ῥήμασι, ποιεῖται δὲ τὴν σπουδὴν πρὸς τὴν τοῦ μύρου ὠνὴν, καὶ παραγίνεται, βοῶσα τῷ μυροπράτῃ. Δός μοι εἰ ἔχεις, ἄξιον τὸ μύρον τοῦ φίλου μου, τοῦ δικαίως φιλουμένου καὶ καθαρῶς, τοῦ πυρώσαντος μου πάντα καὶ τοὺς νεφροὺς καὶ τὴν καρδίαν. Μηδὲν περὶ τιμήματος. τί ἀμφιβάλλεις μοι; εἰ δέοι, μέχρι δέρματος καὶ τῶν ὀστέων μου, ἑτοίμως ἔχω τοῦ δοῦναι, τῷ σπεύσαντι καὶ ἐλθόντι καθᾶραι τῆς αἰσχύνης με, ἥσπερ ἔχω, τοῦ βορβόρου τῶν ἔργων μου.

ιβ. Ὁ δὲ εἰδὼς τῆς σεμνῆς τὸν θερμὸν καὶ πρόθυμον, φησὶν αὐτῇ. Λέξον μοι, τίς ἐστιν ὃν ἀγαπᾶς, ὅτι τοσοῦτον σὲ πρὸς τὸ αὐτοῦ φίλτρον θέλγει; Ἆρα οὖν ἄξιον ἔχει τι τούτου τοῦ μύρου μου; παραυτὰ δὲ ἡ ὁσία ἦρε φωνὴν, καὶ βοᾶ σὺν παρρησία τῷ σκευαστῇ τῶν ἀρωμάτων. Τί λέγεις μοι, ὦ ἄνθρωπε, ἔχειν τι ἄξιον; οὐδὲν αὐτοῦ ἀντάξιον τοῦ ἀξιώματος. οὐκ οὐρανὸς. οὔτε γαῖα, οὐδ' ὅλος τούτω ὁ κόσμος συγκρίνεται τῷ σπεύσαντι ῥύσασθαι με τοῦ βορβόρου τῶν ἔργων μου.

ιγ. Υἱός ἐστι τοῦ Δαβὶδ, διὰ τοῦτο εὔοπτος. υἱὸς θεοῦ καὶ θεὸς, διὸ καὶ σφόδρα τερπνός. ὃν οὐχ ἑώρακα, ἀλλ' ἤκουσα, καὶ ἐτρώθην πρόσθεν ἰδέα τοῦ φύσιν ἀνείδεον ἔχοντος. τὸν Δαυὶδ ποτε ἰδοῦσα στέργει Μελχόλ. ἐγω δὲ μὴ κατιδοῦσα τὸν ἐκ Δαυὶδ ποθῶ καὶ στέργω. ἐκείνη τὰ βασίλεια πάντα κατέλιπε, καὶ τῷ Δαυὶδ πτωχεύοντι πάνυ συνέδραμε, κἀγὼ τὸν ἄδικον πλοῦτον ὑπερορῶ, καὶ ὠνοῦμαι τὸ μύρον τῷ καθαίροντι τὴν ψυχήν μου τοῦ βορβόρου τῶν ἔργων μου.

ιδ. Ῥημάτων δὲ τὸν εἱρμὸν σιωπῇ διέτεμε, καὶ ἔλαβεν ἡ σεμνὴ τὸ τερπνὸν μύρον αὐτῆς, καὶ εἰς τὸν θάλαμον εὑρέθη τοῦ φαρισαίου τρέχουσα, ὥσπερ κληθεῖσα, μυρίσαι τὸ ἄριστον. Ὁ δε Σίμων θεωρήσας τοῦτο αὐτὸ, τὸν δεσπότην καὶ τὴν πόρνην καὶ ἑαυτὸν κατῆρξε ψέγειν, τὸν μὲν ὡς ἀγνοήσαντα τὴν προσεγγίσασαν, τὴν δε ἀναισχυντήσασαν, καὶ προσκυνήσασαν, καὶ ἑαυτὸν ὡς ἀσκέπτως δεξάμενον τοὺσ τοιούτους, καὶ μάλιστα τὴν κράζουσαν. ἐξελοῦ με τοῦ βορβόρου τῶν ἔργων μου.

ιε. Ὦ ἄγνοια! Τί φησιν; Τοῦτο μὲν ἐτέλεσα. ἐκάλεσα Ἰησοῦν, ὡς τινα τῶν προφητῶν, καὶ οὐκ ἐνόησεν. ἣν ἕκαστος ἡμῶν οἶδεν, οὗτος οὐκ ἔγνω. Ἐι ἦν γὰρ προφήτης, ἐγίνωσκεν. Ὁ ἐτάζων δὲ καρδίας καὶ τοὺς νεφρούς, θεωρῶν τοῦ φαρισαίου τοὺς λογισμοὺς ἐξαλλομένους, εὐθέως τούτω γίνεται ῥάβδος εὐθύτητος, ὦ Σίμων, λέγων, ἄκουσον τὸ τῆσ χρηστότητος τῆς ἐπὶ σὲ γενομένησ καὶ ἐπὶ ταύτην ἣν βλέπεις κλαυθμῷ βοῶσαν. κύριε, λύτρωσαι με τοῦ βορβόρου τὸν ἔργων μου.

ιϛ. Μεμπτέοσ σοι ἔδοξα, ἐπειδὴ οὐκ ἤλεγξα τὴν σπεύδουσαν ἐκφυγεῖν τῶν αὐτῆσ ἀνομιῶν. ἀλλ' οὐ καλῶσ, Σίμων, οὐκ εὔλογος ἡ μομφή σου, σύγκρινον τοῦτο ὃ θέλω εἰπεῖν σοι, καὶ δίκασον. ὀφειλέται δύο ἦσαν τῷ δανειστῇ, ὁ μὲν εἷς πεντακοσίων, ἕτερος δε πεντήκοντα μνῶν. καὶ τούτοις ἀπορήσασι πρὸς τὴν ἀπόδοσιν, ὁ χρήσασ ἐχαρίσατο ὅτι ὠφείλετο. Τίς οὖν αὐτὸν ἐκ τῶν δύο ποθήσει πλέον, εἰπέ μοι; τίς ὤφειλε βοᾶν αὐτῷ. ἔσωσάς με τοῦ βορβόρου τῶν ἔργων μου.

ιζ. Ἀκούσας δὲ ὁ σοφὸς φαρισαῖος ἔφησε. Διδάσκαλε. ἀληθῶς φανερὸν πᾶσιν ἐστιν, ὅτι πλειότερον ὀφείλει τοῦτον ποθῆσαι ᾧ περισσότερον χρέος ὁ χρήσασ κεχάρισται. Ὁ δὲ κύριος πρὸς ταῦτα εἶπεν αὐτῷ. Ἀπεκρίθης ὀρθῶς, Σίμων, οὕτως ἐστὶ καθὰ καὶ βλέπεις. καὶ ὃν σὺ γὰρ οὐκ ἤλειψασ, αὕτη ἐμύρισεν. ὃν ὕδασιν οὐκ ἔνιψας, αὕτη τοῖσ δάκρυσιν. ὃν οὐκ ἠσπάσω φιλήσασ, καταφιλοῦσα με κράζει. ἐκράτησα τοὺς πόδασ σου, ἔγειρον με τοῦ βορβόρου τῶν ἔργων μου.

ιη. Νῦν ὅτε σοι ἔδειξα τὴν ποθοῦσάν με στοργῇ, διδάξω σε, βέλτιστε, τίς ἐστιν ὁ δανειστὴς, καὶ ὑποδείξω σοι τοὺς τούτου χρεωφειλέτασ. ὧν εἷς ὑπάρχεισ, καὶ αὕτη, ἣν βλέπεις δακρύουσαν. δανειστὴς δὲ ἀμφοτέρων πέλω ἐγὼ, καὶ οὐ μόνον ἀμφοτέρων, ἀλλὰ καὶ τῶν ἀνθρώπων πάντων. ἐγὼ γὰρ πᾶσιν ἔχρησα ταῦτα ἃ ἔχουσι, πνοήν, ψυχὴν καὶ αἴσθησιν. σῶμα καὶ κίνησιν. τὸν δανειστὴν οὖν τοῦ κόσμου, ἐν ὅσω, ἔχεισ, ὦ Σίμων, ἱκέτευσον καὶ βόησον. λύτρωσαι με τοῦ βορβόρου τῶν ἔργων μου.

ιθ. Οὐ δύνασαι δοῦναι μοι ἅπερ ἐποφείλεις μοι. κἂν σίγησον, ἵνα σοι χαρισθῇ ἡ ὀφειλή. μὴ καταδίκαζε τὴν καταδεδικασμένην, μήτε εὐτέλιζε εὐτελισμένην, ἡσύχασον, οὐ τῶν σῶν, οὐδὲ τῶν ταύτης βούλομαι τι. χρεωλύτης ἀμφοτέρων ἐγὼ εἰμι, μᾶλλον δὲ πάντων. Νομίμως, Σίμων, ἔζητες. ἀλλ' ἐχρεώστησας. ἐλθὲ οὖν πρὸς τὴν χάριν μου, ἣν ἀποδώσω σοι. ἰδὲ τὴν πόρνην, ἣν βλέπεις, καθάπερ τὴν ἐκκλησίαν, βοῶσαν. Ἀποτάσσομαι, ἐμφυσῶσα τῷ βορβόρω τῶν ἔργων μου.

κ. Ὑπάγετε, τὸ λοιπὸν τῶν χρεῶν ἐλύθητε, πορεύθητε, ἐνοχῆς γὰρ ἐκτὸς πάσης ἐστὲ, ἠλευθερώθητε, μὴ πάλιν ὑποταγῆτε. τοῦ χειρογράφου σχισθέντος, μὴ ἄλλο ποιήσητε. Τὸ αὐτὸ οὖν, Ἰησοῦ μου, λέξον κἀμοι, ἐπειδή σοι ἀποδοῦναι ἃ χρεωστῶ, οὐκ ἐξισχύω. σὺν τόκω γὰρ ἀνήλωσα. καὶ τὸ κεφάλαιον, διὸ μη ἀπαιτήσῃς με ὅσα παρέσχες μοι, τοῦ τῆς ψυχῆς κεφαλαίου καὶ τῆς σαρκός μου τὸν τόκον. Κουφίσας με, ὡς εὔσπλαγχνος, ἄνες, ἄφες τοῦ βορβόρου τῶν ἔργων μου.

Въ Великій Четвертокъ.

Τῇ ἁγίᾳ ε. κοντάκιον ἦχ. γ. φέρον ἀκροστιχίδα. τοῦ ταπεινοῦ Ρωμανοῦ ποίημα.

Πρὸς τὸ. λάζαρον τὸν φίλον σου.

α. Πάτερ ἐπουράνιε, φιλόστοργε, φιλάνθρωπε, ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος, καὶ πάντας ἐκδεχόμενος.

β. Δεσπότου χερσὶ πόδας νιπτόμενος Ἰούδας, ὡς κλέπτης, κρυφῇ γλῶσσαν ἠκόνησε δολίαν, ὁ παράνομος, χριστὲ ὁ θεός. ἀλλὰ τοιαύτης ἀπανθρωπίας λύτρωσαι τοὺς ἐν τῷ οἴκω τῆς θεοτόκου ψάλλοντας. ἵλεως, ἵλεως ἵλεωσ γενοῦ ἡμῖν, ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

γ. Τίς ἀκούσας οὐκ ἐνάρκησε, ἢ τίς θεωρήσας οὐκ ἐτρόμασε τὸν Ἰησοῦν. δόλω φιλούμενον, τὸν χριστὸν φθόνω πολούμενον, τὸν θεὸν γνώμῃ κρατούμενον; ποία γῆ ἤνεγκε τὸ τόλμημα; ποία δὲ θάλασσα ὑπέμεινεν, ὁρῶσα τὸ ἀνοσιούργημα; πῶς οὐρανὸς ὑπέστη, πῶς ὁ αἰθὴρ συνέστη, πῶς δὲ ὁ κόσμος ἔστη, συμφωνουμένου, πωλουμένου, τότε προδιδομένου τοῦ κριτοῦ; ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.......

δ. Ὅτε δόλον ἐμελέτησε, τότε σου τὸν φόνον κατεσκεύασε, ὁ φιληθείς, καὶ ἀθετήσας σε, ὁ κληθεὶς καὶ καταλείψας σε, ὁ στεφθείς, καὶ ἐνυβρίσας σε! Τότε συ, εὔσπλαγχνε, μακρόθυμε, δεῖξαι τῷ φονευτῇ βουλόμενος τὴν ἄπειρον φιλανθρωπίαν σου, ἔπλησας τὸν νιπτῆρα, ἔκλινας τὸν αὐχένα, γέγονας δοῦλος δούλου. καὶ ἐπεδίδου σοι ἰούδας πόδας, ἵν ἀποπλύνῃς, ὁ θεός! Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ε. Ὕδασι πόδας ἀπένιψας, τοὺς δραμόντας εἰς τὴν προδοσίαν σου, καὶ μυστικῇ βρώσει διέθρεψας τὸν ἐχθρὸν τῆς εὐσπλαγχνίας σου, καὶ γυμνὸν τῆς εὐλογίας σου. ὕψωσας τὸν πτωχὸν χαρίσμασιν, ηὔξησας τὸν οἰκτρὸν δωρήμασιν, ἐπλούτισας, καὶ ἐμακάρισας ὑποταγὴν δαιμόνων. Ἀπαλλαγὴν δὲ πόνων εἶχεν ἐπὶ τῆς γλώσσης, καὶ ἀντὶ τούτων διεσχίσθη, καὶ οὐχὶ κατενύγη ὁ φονεύς. Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ϛ. Τίς εἶδε πόδας νιπτόμενον, καὶ λακτίζειν τοῦτον ἐπειγόμενον; τίς ἤκουσε κτῆνος θαλπόμενον, καὶ βαλεῖν κατεπειγόμενον τὸν αὐτῷ ἐπικαθήμενον; ἔλουεν, ἔτρεφεν ὁ κύριος. ἔτρεχεν, ἔβρυχεν ὁ δόλιος, ὡσ μονιὸς ἀνημερώτατοσ. πεπληρωμένης φάτνης, ὁ ἀπηνὴς ἐξαίφνης φεύγει τὸν κεκτημένον, καὶ ὑποτίθησι τὸν νῶτον, ὄντως ἵν ἐπιβῇ ὁ Σατανᾶς. Ἵλεωσ ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ζ. Ἄδικε, ἄστοργε, ἄσπονδε, πειρατά, προδότα, πολυμήχανε, τί γέγονεν, ὅτι ἠθέτησας; τί παθὼν οὕτωσ ἐφρόνησας; τί ἰδὼν οὕτωσ ἐμίσησας; οὐχ αὐτοῦ ἀδελφόν σε κέκληκεν, οὐχ αὐτοῦ φίλον σε ὠνόμασεν, εἰδὼς ὅτι οὕτω δεδόλωσαι; Τὸ τῶν χρημάτων λῆμμα, τὸ ἐν τῷ γλωσσοκόμῳ, δέδωκε τῇ σῇ πίστει. καὶ ἀσυνείδητος ἐν πᾶσι τούτοις ἐφάνης ἄφνω πρὸς αὐτόν. ἵλεως, ἵλεως ἵλεως, γενοῦ ἡμῖν.

η. Πέτρος τότε παρητήσατο, ὅτε ὁ μονογενὴς παρίστατο νιπτοποδεῖν κατεπειγόμενος, καὶ φησι. κύριε, κύριε, οὐ μὴ σύ νίψῃς τοὺς πόδασ μου. Ὁ νιπτὴρ ἔκειτο, καὶ πέπληστο. ὁ σωτὴρ ἵστατο, καὶ ἔξωστο ὁ λυτρωτής, ὡς ἀργυρώνητοσ. Αἱ τῶν ἀγγέλων τάξεις ἄνωθεν κατιδοῦσαι, ἔκραζον θαμβηθεῖσαι. Καὶ ἀναίσχυντος οὐκ ἐτράπη, ἀλλ' ἀπετράπη ὅλοσ πρὸς σφαγήν. ἵλεως, ἵλεως ἵλεως γενοῦ ἡμῖν.

θ. Ἵσταντο φόβῳ οἱ πύρινοι, καὶ ἐξίσταντο χοροὶ ἀόρατοι, ὁρῶντεσ τὸν ἀπερινόητον γνωμικῶς καταχαμπτόμενον, καὶ πηλῷ διακονούμενον. Γαβριὴλ ἔλεγε φοβούμενος. Ἅγιοι ἄγγελοι, συνόμιλοι, κατίδετε καὶ καταπλάγητε. τείνει τὸ πόδα πέτρος. ὁ ἐκ παρθένου μήτρας δέχεται καὶ ἀποπλύνει. καὶ οὐ τὸν πέτρον μόνον νίπτει, ἀλλὰ καὶ τὸν ἰδύδαν μετ' αὐτοῦ. ἵλεως, ἵλεωσ, ἵλεωσ γενοῦ ἡμῖν.

ι. Νίπτει τὴν πλίνθον ἡ θάλασσα. ἀποπλύνει τὸν πηλὸν ἡ ἄβυσσοσ, καὶ οὐκ ἀναιρεῖ τούτου τὴν σύστασιν. ἀλλὰ σφίγγει τὴν ὑπόστασιν. καὶ ἀποσμήχει τὴν προαίρεσιν. βλέπετε πόση τοῦ ποιήσαντος, ἴδετε ποταπὴ τοῦ πλάσαντος διάθεσις περὶ τὰ πλασματα. Κέκλινται. καὶ εἰστήκει, τρέφονται, καὶ παρέχει, νίπτονται. καὶ ἀποσμήχει, καὶ οὐ χωνέυονται γηίνων πόδεσ ἐν ταῖς παλάμαις τοῦ κριτοῦ. ἵλεως, ἵλεως ἵλεως γενοῦ ἡμῖν.

ια. Οὕτω μὲν ἔφησεν ἄγγελοσ, ἐπειδὴ κατεῖδέ σε τὴν ἄμπελον, τὰ ἑαυτῆς κλήματα τρέφουσαν, καὶ εἰσ γῆν πᾶσαν ἐκτείνουσαν, καὶ εἰσ ὕψοσ ἐπανάγουσαν. πέτρος δὲ, η ἀρχὴ τῶν φίλων σου, ὁ κανὼν τῶν ἀκολουθούντων σοι, ὁ στρατηγὸς τῆς φαμιλίας σου, ἰδὼν σε ἐζωσμένον, ἔλεγεν ἀδημόνως. Σύ μου τοὺς πόδας νίπτεις; οὐ μὴ σὺ νίψεις τούς μου πόδας εἰς αἰῶνας, ἡ χεὶρ πλόσασά με. ἵλεως, ἵλεως ἵλεως γενοῦ ἡμῖν.

ιβ. Ὕπνοσ μοι ἔλθοι εἰς θάνατον, ἐὰν σε ἐάσω τὸν ἀθάνατον καμφθῆναι μοὶ τῷ ὑπὸ θάνατον. ὁ ἐχθρὸσ ἐπιγελάσοι μοι, ἐὰν σὸ τοῦτο τελέσῃς μοι. Οὐκ ἀρκεῖ ὅτι σὸς ὠνόμασμαι, οὐ πολὺ ὅτι σὸς λελόγισμαι, καὶ πρῶτοσ τῶν φίλων σου κέκλημαι; ἀλλὰ καὶ πλύνεις πόδας τοῦ ὀστρακίνου σκέυους, ὁ κεραμεὺς τοῦ κόσμου, καὶ τὰ φθαρτα μου σκέλη καὶ τὰ ἴχνη σὺ θέλεις πλῦναι, λυτρωτα. ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ιγ. Ῥήμασι τούτοις χρησάμενος ὁ ἀπόστολος πρὸς τὸν διδάσκαλον, ἀκούει. εἰ μὴ, φησὶ, νίψω σε, μετ' ἐμοῦ μέροσ οὐ δώσω σοι. ὡς ἐχθρόν σε ἀποβάλλομαι. Ταῦτα δὲ λέξαντοσ τοῦ πλάσαντος, φόβοσ καὶ θόρυβος ἐπέπεσε τῷ μαθητῇ, ὅθεν καὶ ἔφησε. κύριε μου, εἰ πλύνοις, μή μου τοὺς πόδας μόνον, ἀλλὰ καὶ δέμας ὅλον, καὶ ἐπιπλεῖον, εἰ ἐθέλεις, ἵνα τῶν σῶν μὴ στερηθῶ πότε. ἵλεωσ, ἵλεωσ ἵλεωσ γενοῦ ἡμῖν.

ιδ. Ὦ πόσοισ πίσα συνήπτετο, καὶ Ἰούδασ φίλος οὐκ ἐγενετο! ὦ ποταποὶ λόγοι καὶ πράγματα, καὶ ἐχθρὸσ οὐ κατηλλάττετο! ὁ σκληρὸς οὐχ ἡπαλύνετο! ἅμα γὰρ τῷ φαγεῖν ὅ ἔφαγε. καὶ πιεῖν ὅ ἀπίστως ἔπιε, ἐπῆρε τὴν πτέρναν, ὡς γέγραπται, καὶ ἐξελθὼν τῆς μάνδρας, ὥρμησε πρὸσ τοὺσ θῆρασ, καταλιπὼν τοὺς ἄρνασ, καὶ τὸν γλυκὺν μιαζὸν ἐάσας, τάχοσ ἐπὶ θηλὴν ἦλθε πικράν. ἵλεως, ἵλεως, ἵλεως, γενοῦ ἡμῖν.

ιε. Μάτην τὸ πρὶν ὑπεχώρησε τοῦ δεινοῦ ἰούδα ὁ διάβολος. ἰδοὺ γὰρ νῦν οὗτοσ ἐχώρησε πρὸσ τὸν πρὶν ὑποχωρήσαντα, καὶ ἐστὶν ὅλως διάβολος. Μάτην ἦν φοβερὸς τοῖς πλήθεσιν ὤφθη γὰρ φθονερὸς παντάπασιν καὶ τολμηρὸς κατὰ τοῦ πλάσαντος. Μάτην, αὐτοῦ λαλοῦντος, ἔφευγον πᾶσαι νόσοι. εἶχε γὰρ ἤδη νόσον τῆς ἀθέου φιλαργυρίας, ἐντὸς αὐτοῦ ὑπῆρχεν ἡ πληγή. ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ιϛ. Ἄρας τοὺς πόδας ὁ ἄνομος, ηὐτομόλησε πρὸς τὸ παράνομον, καὶ φθάσας φατρίαν φονεύτριαν, τὸν χριστὸν ὥσπερ ἀλλότριον παραδοὺς, γίνεται μέτριος. Τί ἐμοὶ θέλετε δωρήσασθαι; λέγει τοῖς θέλουσιν ὠνήσασθαι τὸ αἷμα

τοῦ ζῶντος καὶ μένοντος. Ἄκουσον, γῆ, καὶ φρῖξον! θάλασσα, φεύγειν σπεῦσον! φόνος γὰρ συμφωνεῖται, ἀτιμήτου τιμὴ λαλεῖται, καὶ ἡ θεοῦ ζωοδότου σφαγή. ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμίν.

ιζ. Νῦν σου ἐφάνη τὸ ἄπληστον, νῦν ἐφανερώθη τὸ ἀκόρεστον, ἀχόρταστε, ἄστεκτε, ἄσωτε! ἀναιδέστατε, καὶ καὶ λαίμαργε! ἀσυνείδητε, φιλάργυρε! Τί ἐμοὶ θέλετε δωρήσασθαι, λέγεις τοῖς θέλουσιν ὠνήσασθαι τὸ αἷμα τοῦ ζῶντος καὶ μένοντος. Τί γὰρ καλὸν οὐκ εἶχες; τίνος δε οὐ μετεῖχες; τίνος ποτὲ ἀπεῖχες, μετὰ τῶν κάτω καὶ τὰ ἄνω εἶχες, καὶ τὸν θεὸν προδίδως σου. ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ιη. Ὅλον τὸν πλοῦτον ἐβάσταζες, θησαυρὸς ὑπῆρχες, καὶ οὐκ ἔλιπες. ἧς πάντοθεν πάντοτε πλούσιος, ἐν χερσὶν ἔχων τὰ χρήματα, καὶ φρεσὶ φερων τὸν πλάσαντα. Τί οὖν σοι γέγονεν, ὦ ἄθλιε, ὅτι νῦν ὡσ πτωχὸς πεπόρευσαι πρὸσ τοὺς οὐδὲν ἔχοντας δοῦναι σοί; Τί δὲ καὶ δώσουσι σοι; τί προσενέγκωσί σοι ἀντὶ τοῦ πωλουμένου; τὸν οὐρανόν τε καὶ τὴν γαῖαν, καὶ τὸν ἐν τούτοις κόσμον ἀντ' αὐτοῦ, ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

ιθ. Ὕπαγε, ἄφρον, ἀνάνηψον, τὴν αὐθάδειαν σου ἀναχαίσον, τὴν τολμηρὰν γνώμην σου κώλυσον, ταῖσ φρεσί σου ἐπιτίμησον. καὶ μωροὶ πότε φρονήσετε; οὔτε γὰρ δύνῃ σὺ τιμήσασθαι, οὔτ' αὐτοὶ ἱκανοὶ ὠνήσασθαι τὸν τῇ χειρὶ πάντα συνέχοντα, ἐὰν δὲ πωλήσῃς καὶ μὴ αὐτὸς θελήσῃ. τίς ὁ τολμῶν κρατῆσαι; τίς ἐπινέγκη τούτῳ χεῖρασ, ἐὰν μὴ συγχωρήσῃ ὡς θεός; ἵλεως, ἵλεως ἵλεωσ γενοῦ ἡμῖν.

κ. Πένης Ἠλίας ἐτύγχανε, καὶ ὡς εὔπορος πυρὶ ἀνήλωσε τοὺς ἐπ' αὐτὸν τότε ὡρμήσαντας, πεντηκόνταρχον καὶ ἕτερον, ἐπ' αὐτὸν τότε θαρρήσαντας. Ἠλιοῦ γέγονεν ἀκράτητος καὶ θεός, Ἠλιοῦ καὶ κύριος τῷ ἀναιδεῖ εὐκαταφρόνητος! Ὦ τῆς παραπληξίας! Δοῦλος ἦν ὁ Ἠλίας τοῦ νῦν πιπρατκομένου, καὶ οὐ προφήτην ὁ προδότησ ἔσχε τὸν ποιητὴν τῶν προφητῶν. ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κα. Ὅλον λαβὼν τὸν διάβολον, ἑαυτὸν τοῦ κτίστοῦ ἠλλοτρίωσεν, αὐτὸς πολῶν καὶ πιπρασκόμενος καὶ χριστοῦ ξένος δεικνύμενος, τοῦ ἐχθροῦ δοῦλος ἐγένετο. ἔβλεπε τοὺς νεκροὺς βαδίζοντασ, ἤκουε τὰ φρικτὰ διδάγματα, καὶ γέγονε τούτων ἀλλότριοσ. κλείσας φιλαργυρίᾳ ὦτα καὶ τὴν καρδίαν καὶ τὸν νοῦν, ἀτενίσας πρὸσ Ἰησοῦ τὴν προδοσίαν, ὅλωσ οὐ κατενόησε τὸ φῶσ. ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν.

κβ. Ἵλεωσ, ἵλεως, ἵλεως! ποταπὸν ὁ μαθητὴς ὠλίσθησε, καὶ ποταπὸν πτῶμα κατέπεσε. ποταποῦ ὕψους ἐξέπεσε. ποταπὸν κρύπον ἐποίησε. πρώην διάβολοσ μὲν ἔπεσε ἀστραπῇ δείξας τὴν κατάπτωσιν. αὐτὸν καὶ ἰούδας ἐζήλωσε, τῷ γὰρ χριστῷ ἀντάρασ, καὶ ἀνιεὶς πρὸς κέντρα τὰς βάσεις, συνετρίβη, καὶ ἐν βαράθρῳ κατηνέχθη ᾅδου, ἐκεῖ τοῦ κέρδους πληρωθείσ. ἵλεωσ, ἵλεως, ἵλεωσ γενοῦ ἡμῖν.

κγ. Ἦλθεν οὖν τρέχων ὁ ἄνομος, καὶ φιλεῖ ἐν δόλῳ τὸν φιλάνθρωπον, καὶ ἀναιρεῖ κατὰ διάνοιαν τὸν βουλῇ πάθοσ ἑλόμενον, καὶ ζωὴν πᾶσι δωρούμενον. πρόβατον τοῦ χριστοῦ ἐμάνθανεν, λύκος δὲ τῷ ποιμένι γέγονεν, ὡσ ἄγριοσ θὴρ ἀπερχόμενος. φίλημα νῦν προσφέρεις, φίλημα ποῖον, ἄφρον; φίλημα προδοσίασ. καὶ τὸν ἐχθρὸν ζηλώσασ, τούτου οὐκ αἰσχύνῃ μανθάνων τὰσ βουλάσ. ἵλεωσ, ἵλεωσ, ἵλεως γενοῦ ἡμῖν.

κδ. Μεῖνον μικρὸν, ὦ πανάθλιε, ἵνα ὄψει δίκην ἀμετάθετον. τὸ συνειδόσ σου κατακρίνει σε. ἵνα γνῷς ὅπερ ἐποίησασ, τῷ δεινῷ μόρῳ νεκρούμενοσ. δένδρον σοι γίνεται ὡς δήμιος, ἄξιον τὸν μισθὸν σου φέρων σοι. καὶ ποῦ τὸ χρῆμα φιλόπλουτε, ... ἀλλὰ καὶ τοῦτο δώσεισ, καὶ σεαυτὸν οὐ σώσεις, ὅτι προέδωκασ ὃν εἶχεσ πλοῦτον τὸν τῆσ ψυχῆς σου θησαυρόν. ἵλεωσ, ἵλεωσ, ἵλεωσ γενοῦ ἡμῖν.

κε. Ἅγιε, ἅγιε, ἅγιε, ὁ θεὸσ τῶν ὅλων, ὁ τρισάγιοσ, τοὺσ δούλουσ σου ῥῦσαι τοῦ πτώματοσ, καὶ τὸ πλάσμα σου ελέησον τοῦ φυγεῖν τοιοῦτον κίνδυνον. Ταῦτα οὖν, ἀδελφοί, γινώσκοντεσ, καὶ τὴν τοῦ πράτου πτῶσιν βλέποντες, τοὺσ ἑαυτῶν πόδασ ἐρείσωμεν. στήσωμεν οὖν τοὺσ βάσεισ ἐπὶ τὰσ ἀναβάσεισ τῶν ἐντολῶν τοῦ κτίστου, καὶ ᾅδου φύγωμεν τὴν τρίβον, βοῶντεσ πρὸσ τὸν λυτρώτην ἡμῶν. ἵλεωσ, ἵλεωσ, ἵλεωσ γενοῦ ἡμῖν, ὁ πάντα ἀνεχόμενοσ. καὶ πάντασ ἐκδεχόμενοσ.

На страсти Господни въ Кондакаріи, изданномъ Г. Питрою одного икоса на букву ε. ἐν τυ... нѣтъ, а въ Аѳонскомъ есть.

На отрицаніе Петра въ Аѳонскомъ

Кондакарѣ нѣтъ. — А есть, какъ замѣтилъ Г. Питра in unico codice corsinio f. 91—94. p. 107—116. Τῇ αὐτῇ ἡμέρα εἰσ τὴν ἄρνησιν τοῦ πέτρου. ηχ. πλδ. (8.) φέρον ἀκροστιχίδα. τοῦ ταπεινοῦ Ρωμανοῦ αἶνοσ.

ὅ. Ὁ ποιμὴν καλὸσ, ὁ τὴν ψυχὴν αὐτοῦ θεὶσ ὑπὲρ τῶν προβάτων, σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

β΄. Τῶν φοβερῶν κυμάτων ἐπιλησθείσ, καὶ τῷ ρητῷ τῆσ κόρησ ἀλλοιωθείσ, ὁ πέτροσ ἔλεγε. χριστὲ ὁ θεόσ, τῇ ζάλῃ βυθιζόμενοσ, ἀναξίωσ ἐδειλίασα, καὶ λόγῳ ἐρωτώμενοσ, ἀρνήσει ὑποπέπτωκα, ἀλλὰ δακρύων βοῶ σοι. σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σн.

γ΄. Τὸν νοῦν ἀνυψώσωμεν, τὴν φρένα πετάσωμεν, τὸ πνεῦμα μὴ σβέσωμεν, τῇ ψυχῇ διαναστῶμεν, καὶ σπουδάσωμεν σχεδὸν συμπαθεῖν τῷ ἀπαθεῖ. Αφήσωμεν πάντα λογισμὸν πολυμέριμνον, καὶ προσκολληθῶμεν τῷ ἐν σταυρῷ. Ἄγωμεν πάντες, εἰ δοκεῖ, ἅμα τῷ πέτρῳ, εἰς τοῦ καϊάφα τὴν τότε αὐλήν. Βοήσωμεν χριστῷ τὰς τοῦ πέτρου πάλαι φωνάς. κἂν ἐν ξύλῳ ἀνέλθῃς, κἂν ἐν τάφῳ κατέλθῃς, μετὰ σοῦ πάσχομεν, καὶ θνήσκομεν, καὶ κράζομεν. σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

δ΄. Οὐ μάτην ἐμνήσθημεν τοῦ πέτρου φιλόχριστοι, ἀλλ᾽ ἵνα ζηλώσωμεν τὴν ἀγάπην τὴν τοῦ φίλου, μὴ τὴν ἄρνησιν τοῦ ὄντως δειλοῦ καὶ τὴν φυγήν. Τῷ φίλτρῳ γὰρ πέτρος ὑπερζέσας τὸ πρότερον, τῷ φόβῳ ἐσείσθη μετὰ μικρόν. ὅμως δεξάμενος αὐτοῦ τὴν προθυμίαν, τῇ ταλαιπωρίᾳ συνέγνω χριστὸς, εἰδὼς τὴν ἀσθενῆ αὐτοῦ φύσιν καὶ ταπεινὴν, τὴν ἑκάστῳ ἀνέμῳ καμπτομένην καλάμην, τὴν ἀεὶ φεύγουσαν τὸν κίνδυνον, καὶ κράζουσαν. σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ε. Ὑμεῖς οὖν, φιλήκοοι, τοῦ πέτρου ἀκούσαντες, τὰ ὦτα πετάσωμεν, καὶ τοῖς τοῦ εὐαγγελίου ἐπακούσωμεν ῥητοῖς καὶ αὐτοῖς δῶμεν τὸν νοῦν. φησὶ γὰρ Μαθθαῖος, ἐν τῇ βίβλῳ διέγραψε. Μετὰ τὸ δειπνῆσαι, εἶπε χριστὸς. Τέκνα μου, φίλοι μαθηταὶ, τῇ νυκτὶ ταύτῃ, ἀρνεῖσθέ με πάντες, καὶ φεύγετε μέ. Καὶ ὁμοθυμαδὸν ἐκπλαγέντων, πέτρος βοᾷ. Καὶ εἰ πάντες ἀρνοῦνται, ἀλλ᾽ ἐγὼ οὐκ ἀρνοῦμαι. Μετὰ σοῦ ἔσομαι, καὶ ᾄσομαι, καὶ κράξω σοι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σʊ.

ς. Τί λέγεις, διδάσκαλε, ὁ πέτρος ἀντέφησεν; ἐγὼ σὲ ἀρνήσομαι; ἐγὼ λείπω σὲ, καὶ φεύγω; καὶ οὐ μνήσκομαι τῆς κλήσεως σου καὶ τῆς τιμῆς; Ἀκμὴν ἐνθυμοῦμαι, πῶς τοὺς πόδας μου ἔνιψας, καὶ λέγεις. ἀρνοῦμαι σε, λυτρωτα; ἔτι λογίζομαι, σωτὴρ, πῶς τὸν νιπτῆρα προσῆλθες βαστάζων τοῖς ἴχνεσι μοῦ, ὁ φέρων τὴν ξηρὰν, καὶ κατέχων τὸν οὐρανὸν ταῖς χερσὶν, αἷς ἐπλάσθην, νοῦν τοὺς πόδας ἐπλύθην, καὶ σὺ βοᾷς, ὅτι σκανδαλισθεὶς οὐ κράζω σοι. Σπεῦσον, σῶσον τὴν ποίμνην σου.

ζ. Ακμὴν, ἀναμάρτητε, ἀκμὴν, ἀτελεύτητε, τὸν νόστον τοῦ δείπνου σου ἐν τῷ στόματι μου ἔχων, οὐκ αἰσχύνομαι ἀρνήσασθαι σοῦ τὴν δωρεάν; Ἢ γένωμαι, οἴμοι! προδότης ὁ μύστης σου; καλὸν τὸ θανεῖν με, μᾶλλον ἢ ζῆν, εἴπερ λανθάνω ἀληθῶς τοῦ μυστηρίου, οὗ οἶδα, καὶ εἶδον, καὶ πάλιν ὁρῶ. συμφέρει γὰρ ἐμοὶ, πρὸς τὸν ᾅδην ζῶντα δραμεῖν. Κολληθῇ μοῦ ἡ γλῶσσα ἄρτι τῷ λάρυγγι μου, ἐάν σε ψεύσωμαι, ἢ παύσωμαι τοῦ κράζειν σοι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

η. Πρὸς ταῦτα τὰ ῥήματα ὁ πλάσας τὰ σύμπαντα τῷ πέτρῳ ἀντέφησε. Τί οὖν λέγεις, φίλε πέτρε; οὐκ ἀρνήσῃ με, οὐ ψεύγεις ἐμὲ, οὐ καθελεῖς; καγὼ τοῦτο θέλω. ἀλλ᾽ ἡ πίστις σου ἄστατος, καὶ οὐκ ἀντιβαίνεις τοῖς πειρασμεῖς. μέμνησαι πῶς παρὰ μικρὸν κατεποντίσθης, εἰ μὴ τὴν παλάμην σοι ἐπέδωκα. ἐπέζευσας σὺν μοὶ ἐν θαλάσσῃ, ὥσπερ καγὼ, ἀλλ᾽ εὐθέως ἐσείσθης, καὶ ταχέως ἐσχίσθης. λοιπόν σε ἔφθασα, καὶ κράζοντα καὶ λέγοντα. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

θ. Ἰδοὺ καὶ νῦν λέγω σοι, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ψεύσῃ με. καὶ ὡς κύματα θαλάσσης περικλύζει καὶ βυθίζει τὸν νοῦν, τρίτον ἀρνῇ. Καὶ τότε μὲν κράξας, νῦν δε κλαύσας, εὑρήσεις με, οὐ χεῖρα σοι δόντα, καθὸς τὸ πρὶν. ταύτῃ γὰρ κάλαμον λαβὼν, ἄρχομαι γράφειν συγχώρησιν πᾶσι τοῖς ἐκ τοῦ Ἀδάμ. Ἡ σάρξ μου ἡ ἀγκὴ, ὥσπερ χάρτης γίνεται μοὶ, καὶ τὸ αἷμα μου μέλαν, ὅθεν βάπτω καὶ γράφω, νέμων τὴν δωρεὰν ἀδιαδόχως κράζουσι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμην σου.

ι. Νῦν ὅτι μοι ἔφησας, ὁ πέτρος ἐβόησε, νῦν ὅτι μοι ἔδειξας, ὅτι τρίτον σε ἀρνοῦμαι, ἐμφανίσω σοι κἀγὼ τὴν ἐμὴν γνώμην, σωτὴρ. εἰ γὰρ καὶ γινώσκεις, πρὶν εἰπεῖν μὲ, φιλάνθρωπε, ἀλλ᾽ ὅμως δηλῶ σοι ἅπερ φρονῶ. ἐπὶ ἀγγέλων καὶ βροτῶν, καὶ σοῦ τοῦ κτίστου τῶν ἄνω καὶ κάτω, νῦν ὁμολογῶ. κἂν δεῖ με νῦν θανεῖν, οὐκ ἀρνοῦμαι σὲ, λυτρωτὰ, μετὰ σοῦ θέλω ζῆσαι μετὰ σε δε μὴ ζῆσαι. διὰ τί βλέπω γὰρ τὸν ἥλιον, μὴ κράζων σοι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ια. Ὁ πέτρος μὲν πρόθυμος, ὡς φίλος ἐπίσημος. ὁ πλάστης δὲ ἕτοιμος βοηθῆσαι πάλιν πέτρῳ, ὡς εἰδὼς αὐτοῦ τὸ ὀλισθηρὸν καὶ τὸ θερμόν. Τοιαῦτα λέξας καὶ ἀκούσας ὁ κύριος, ἐπείγετο θέλων πρὸς τὸ παθεῖν, ὑπὸ ἀνόμων κρατηθεὶς, ὡς ἐβουλήθη, ὑπὸ τοῦ Ἰούδα, ὡς οἶδε, πραθεὶς. καὶ εἰσῆλθε, εἰς τὴν καϊάφα τότε αὐλήν. ἡ κολούθειδὲ πέτρος, ἵνα ἴδῃ τὸ τέλος, καὶ ἰδὼν ἔπτηξεν, ἐτρόμασεν, ἐκραύγασε. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιβ. Ὑπὸ διαθέσεως πολλῆς ὁ ἀπόστολος τῷ ὄχλῳ συμπλέκεται, καὶ εἰσέρχεται σπουδαίως. καὶ γενόμενος ἐντὸς τῆς αὐλῆς, βλέπει ἐκεῖ τὸ πῦρ δεδαιμένον, τὸν χορὸν προκαθήμενον, χριστὸν παρεστῶτα τῷ ἱερεῖ. καὶ μὴ βαστάσας τὸ κακὸν, ἤδη δακρύει, ταὶ τύπτει τὸ στῆθος, καὶ λέγει σιγῇ. Δεδέσμευσαι, χριστὲ, καὶ ἀνέχῃ, καὶ καρτερεῖς. ἐνεπτύστης τὴν ὄψιν, ὥπερ κρύπτει τὰς ὄψεις χερουβεὶμ, τρέμοντα καὶ φρίττοντα καὶ λέγοντα. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιγ. Ῥαπίζη, διδάσκαλε, καὶ ζῶ, καὶ πρωσέχω σοι; ὑβρίζη, φιλάνθρωπε, καὶ ὁρᾶ ἡ γῆ, καὶ στέγει, καὶ οὐ σχίζεται τοῦ κοταπιεῖν τοὺς ἀπειθεῖς; ἐμπαίζη, καὶ βλέπων οὐρανὸς οὐχ ἐλίσσεται, οὐκ ἀγανακτοῦσιν οἱ ἐν αὐτῷ; καὶ οὐ θυμοῦται Μιχαὴλ, σοῦ ῥαπισθέντος, καὶ καίει καὶ φλέγει τοὺς ἐπὶ τῆς γῆς; καὶ στέγει Γαβριὴλ, καὶ οὐ φλέγει τοὺς τολμηρούς; εἰ καὶ πᾶσαι δυνάμεις αἱ τῶν ἄνω σιγῶσιν, ἀλλ' ἐγὼ πλήττομαι, καὶ φύρομαι, καὶ κράζω σοι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιδ. Ὡς ταῦτα δὲ ἔφησεν, ὀλίγον ἡσύχασε, καὶ ὑπὸ ἐκπλήξεως συσχεθεὶς, διὸ προεῖπεν. ἀλλ' ἐξαίφνης ὁ σιγήσας καλῶς ἔφη κακῶς, ἵνα ἀληθεύσῃ ὁ χριστὸς, ἡ ἀλήθεια, καὶ γένηται ψεύστης πᾶς γηγενής. Τί οὖν ἐροῦμεν, ἀδελφοὶ, ὅτι ὁ χριστὸς ἵνα ἀληθεύσῃ, ἀρνεῖται κηφᾶς; μὴ γένοιτο, ἵν' ὡς ἐγὼ εἴπω περὶ Χριστοῦ. ἀλλ' ἵν' ὄντως βοήσω, ὅτι πάντα προβλέπει, καὶ δηλοῖ πάντα, καὶ προασφαλίζει κράζοντας. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιε Μικρὸν οὖν ἡσύχασεν ὁ πέτρος, ὡς ἔφημεν, ὀλίγον ἐπαύσατο ἀπὸ τῆς ἀδημονίας, καὶ ἐκάθητο ἐντὸς τῆς αὐλῆς, σύννους, στυγνός. Παιδίσκη δὲ μία τοῦτον περιεβλέποτο. καὶ περιεκύκλου τὸν μαθητὴν, ἄνω καὶ κάτω ἀκριβῶς, καὶ καταγνοῦσα, καὶ καταλαβοῦσα βοᾷ πρὸς αὐτόν. Καὶ σύ ποτε σὺν τῷ Γαλιλαίῳ ἦσθα σαφῶς. ὁ δὲ πέτρος πρὸς ταύτην. Ὀυ γινώσκω τίς ἐστιν. ἀγνοῶ ἄνθρωπον, ὃν κηρύττουσιν, κράζοντες. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιϛ. Ἀφῆκας, ἀπόστολε, ταχέως τὸ κράτημα, καὶ κόρη σε ἔρρηξεν. ἀλλ' ἀνάστα, καὶ ἐξάλλου, καὶ ἀνάλαβε τὴν πρώτην ἰσχὺν, ὡς ἀθλητής. οὐκ ἔχεις τὴν πάλην πρός τινα δυνατώτερον. Καὶ πῶς κατηνέχθης λόγῳ ψιλῷ; κόρη προσῆλθε σοι μικρὰ, ἥτις καὶ κάχα ψελλίζουσα εἶπεν πρός σε, καὶ σὺ ὥσπερ βρυγμὸν, κατεδέξω τὸν ψελλισμόν. ἀπεκρίθης πρὸς ταύτην. Οὐ γινώσκω τὸν ἄνδρα, ἀγνοῶ ἄνθρωπον, ὃ λέγουσιν οἱ κράζοντες. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιζ. Νομίζων ὁ δίκαιος ὅτι τὸ κοράσιον τοῖς ἔσω προβέβλητο, τὴν αὐλὴν καταλιμπάνει, καὶ προκύψας τῷ πυλῶνι αὐτῆς, πίπτει κἀκεῖ. Παιδίσκη γὰρ ἄλλη προσελθοῦσα, ὡς γέγραπται. τοῖς ἐμμαινομένοις οὕτω βοᾷ. ὅτι καὶ οὗτος ὁ ἀνὴρ τῷ Ναζωραίῳ συνῆν, ἔστι δῆλον. Καὶ πρὸς ταῦτα δε κηφᾶς ἠμείψατο ἐκπλαγεὶς καὶ φορυβηθεὶς. Οὐ γινώσκω τὸν ἄνθρωπον, ὃ λέγουσιν οἱ κράζοντες. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιη. Οὐκ οἶδας τὸν ἄνθρωπον, ὦ πέτρε; ὡς ἔφησας; οὐκ οἶδας τὸν ἄνθρωπον; μήτι οὕτω θέλεις λέγειν, ὅτι ἄνθρωπον οὐκ οἶδας αὐτὸν, ἀλλὰ θεόν; μὴ ἄρα διδάξαι τοὺς ἀνόμους ἐσπούδασας ὅτι Θεὸς πέλει ὁ σταυρωθείς; εἰ γὰρ καὶ ἔπαθε σαρκὶ, σάρκα ὁ φέρων, ἐκ τῆς ἀμιάντου ἀσπόρως τεχθεὶς, θεός ἐστιν αὐτὸς, καὶ μὴ θνήσκων θνήσκει σαρκί. ὡς ὁρᾶται, κρατεῖται. ὡς δὲ μὴ θεωρεῖται. οὐδενὶ πρόσκειται, εἰ μή τι δ' ἂν τοῖς κράζουσι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

ιθ. Ὑμνοῦμέν σε, κύριε, ὅτι ἀγαθὸς ψαλμὸς Αἰνοῦμέν σε, ἅγιε, ὅτι σὺ πάντα ὑπέστης. Καὶ ὁ πέτρος δὲ οὐδὲν ὑποστὰς, ψεύδεταί σε. αὐτὸς ἐμαστίζου, καὶ ὁ πέτρος ἠρνεῖτό σε, μηδὲν ὑπομείνας ὁ ἀθλητής. ἤδη γὰρ δεύτερον βληθεὶς ὑπὸ θηλειῶν, τὸ τρίτον ἡττᾶται ὑπ' ἄλλων ἀνδρῶν. καὶ γὰρ μετὰ μικρὸν προσελθόντες ἄλλοι τινὲς, ἐπιτίθενται πέτρῳ, καὶ ἀρνεῖται μεθ' ὅρκων. Καὶ εὐθὺς τοῦτον ὄρνις ἤλεγξε, καὶ ἔκραξε. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

κ. Ἀκούσας τοῦ ὄρνιθος ὁ πέτρος φωνήσαντος, εὐθέως ἐβόησε, στεναγμῷ μετὰ δακρύων. Οἴμοι! Οἴμοι! ποῦ ἀπέλθω; ποῦ στῶ; ποῦ δε φανῶ; τί λέξω; τί πράξω; τί ἀφήσω; τί λήψομαι; τί εἴπω; τί δράσω; τί ὑποστῶ; ποίαν θρηνήσω μου πληγήν; πρώτην; δευτέραν; τριπλῆ γὰρ ὀδύνη ἐπῆλθεν ἐμοὶ, τρισσῶς ὁ δολερὸς ἔβαλέ με τὸν ἀφελῆ, ἄφνω νῦν ἐτοξεύθην, φανερῶς κατεβλήθην. Ποῦ οὐ τοῦτον νῦν μετεώρισα, καὶ οὐκ ἔκραξα. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

κα. Ἰσχύς μου καὶ ὕμνησις ὑπάρχεις, φιλάνθρωπε, μὴ ἐγκαταλείπῃς με. Ταῦτα Πέτρος ἔφη καίων, ὅτε ἤρχετο πρὸς τοὺς μαθητὰς τοῦ λυτρωτοῦ. τὰς χεῖρας δε θήσας ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἐβόησεν. Οἴμοι! δοῦλοι χριστοῦ, ἴδε πεπλήρωται, φησὶν, ἡ προφητεία ἐπὶ τῇ ἀρνήσει ἐμοῦ τῇ τριπλῇ. Δακρύσατε ἐμὲ, καὶ θρηνοῦντες λέγετέ μοι. Ποῦ ὁ πόθος καὶ ζῆλος; ποῦ ἡ πίστις καὶ νῆψις; ποῦ ὁ νοῦς οὗτος, ὡς ἐρέμβετο, οὐκ ἔκραξε. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

κκ. Νικᾶται ὁ εὔσπλαγχνος τοῦ πέτρου τοῖς δάκρυσι, καὶ πέμπει τὴν ἄφεσιν. τῷ ληστῇ γὰρ ὁμιλήσας, ὑπηνίττετο τὸν πέτρον, ἐκεῖ ἐν τῷ σταυρῷ. Ληστὰ φίλε, λέγων, μετ' ἐμοῦ ἔσῃ σήμερον, ἐπειδὴ ὁ πέτρος ἔλιπέ με, ὥσπερ ἐκείνῳ καὶ νῦν σοὶ, καὶ τοῖς ζητοῦσι παρέχω τὰ σπλάγχνα, φιλάνθρωπος ὤν. δακρύων, ὦ ληστὰ, ἐμοὶ λέγεις. Μνήσθητι μοῦ. Καὶ ὁ Πέτρος δε κλαίων, μὴ ἐάσῃς με, κράζει διὸ ταὐτὸ καὶ σοι κἀκείνῳ λέγω, κράζουσι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

κγ. Ὀυδεὶς ἀναμάρτητος, οὐδεὶς ἀκατάβλητος. μὴ ὀλιγωρήσητε, ἐγὼ μόνος δίχα μώμου, ὅθεν ἅπασιν ὑμῖν ἐφαπλῶ τὴν δωρεάν. Ἀλλ' ἴσως ἐρεῖ τίς. πόθεν τοῦτο, ὦ ἄνθρωπε, ὅτι ἀνεκλήθη πέτρος πεσών; ἤδη δεικνύω ἀκριβῶς καὶ διὰ τίνος ἐπέμφθη τὸ δῶρον τῷ πέτρῳ ποτέ. ἀγγέλου ἦν φωνὴ ὁμιλοῦντος ταῖς γυναιξίν, ὅταν εἴπητε πᾶσιν, εἴπατε καὶ τῷ πέτρῳ. Μὴ φοβοῦ, εἶπεν ὁ διδάσκαλος, ἀνάκραξον. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

κδ. Συνάντησον, ἅγιε, καὶ δέξαι τὸν κύριον, πρὸς σὲ πορευόμενον ἐκ ταφῆς, ὡς ἐκ παστάδος. δι ἐμοῦ γὰρ τοῦ ἀγγέλου αὐτοῦ λέγει πρὸς σε. εἰπὲ νῦν τῷ Πέτρῳ. Μὴ τὴν ἄφεσιν ἀπογνῷς, ἀλλ' εὔχου μὴ πίπτειν ἐις πειρασμόν. Μὴ οὖν λεγέτω τις ὑμῶν, ὅτι τῷ Πέτρῳ οὐ συνεχωρήθη τὸ πταῖσμα ποτέ. συγχώρησιν χριστὸς θέλων δοῦναι, ἦλθεν ἐις γῆν, καὶ σταυρῷ προσηλώτη, καὶ ταφῇ παρεδώθη. συγχωρεῖν ἔγερσιν ὑπέγραψε τοῖς κράζουσι. Σπεῦσον, σῶσον, ἅγιε, τὴν ποίμνην σου.

Во св. и Великую Пятницу.

Ἕτερος Κοντάκιον ἁγίας παρασκευῆς, ἦγους εἰς τὸ πάθος, ἦχ. γ΄. φερον ἀκροστιχίδα. ἐις τὸ πάθος ψαλμὸς Ρωμανοῦ.

p. 116—124. ά. Τῆς ἔχθρας ἐλύθη τὸ τύραννον, τῆς εὔας ἐπαύθη τὸ δάκρυον, διὰ τοῦ πάθους σου, φιλάνθρωπε, χριστὲ ὁ θεός. ἐν αὐτῷ γὰρ ὁ θανὼν ἀνακεκαίνισται, δι αὐτοῦ δὲ ὁ ληστὴς ἐισοικίζεται, μόνος χωρέυει ὁ Ἀ δ ά μ.

β΄. Ἔκστηθι σήμερον, οὐρανέ! δῦνον ἐις χάος. ὦ γῆ! μὴ τολμήσῃς, ἥλιε, σὸν δεσπότην κατιδεῖν ἐπὶ τοῦ ξύλου βουλήσει κρεμάμενον. Ραγήτωσαν Πέτραι. ἡ γὰρ Πέτρα τῆς ζωῆς νῦν τοῖς ἥλοις τιτρώσκεται. Σχισθήτω τοῦ ναοῦ τὸ καταπέτασμα, σώματος δεσποτικοῦ λόγχῃ νυσσομένου ὑπὸ ἀνόμων ἁπλῶς. πᾶσα ἡ κτίσις τοῦ κτίστου τὸ πάθος φρίξῃ, στενάξῃ, μόνος χορέυῃ ὁ Ἀδάμ.

γ΄, Ἱλῶ, ὦ σωτέρ μου, τὰ ἐμά, ἵν' ἐγὼ λάβω τὰ σά. κατεδέξω τὸ παθεῖν, ἵνα τῶν παθῶν ἐγὼ καταφρονήσω, θανάτῳ ἀνέζησα, ἐτέθης ἐν τάφῳ, καὶ ἐις οἴκησιν ἡμῖν ἐδωρήσω παράδεισον. ἐις βάθος κατελθῶν, ἐμὲ ἀνύψωσας. πύλας ἅδου κατιδών, πύλας αἰωνίους ἀνέωξάς μοι, σῶτερ, πάντα ὑπέστης διὰ τὸν πεσόντα, πάντα ἠνέσχου, ἵνα χορέυῃ ὁ Ἀ δ ά μ.

δ΄. Σὲ τὸν κρατοῦντα τῇ σου χειρὶ ἅπαντα γῦρον τῆς γῆς, συλλαβόντες ἄνομοι, ἤγαγον νῦν ἐις αὐλὴν τοῦ καϊάφα, τῷ κόσμῳ ἀχώρητον. καὶ ὅτε σε εἶδον οἱ μὴ βλέποντες νοΐ, ἐκμανῶς ἀνεβόησαν. Ὁ νόμον καὶ Μωσῆν ὑβρίζων ἤλυθεν. ὅστις οὖν τιμᾷ μωσῆν, καὶ τὸν νόμον σέβει, οὗτος δείξῃ τὸν ζῆλον. Μηδεὶς οὖν ραθυμησάτω, ὁ (πλάνος γὰρ) παθεῖν ἧκεν, ἵνα χορέυῃ ὁ Ἀδάμ

έ. Ταῦτα μὲν κράζοντος τοῦ λαοῦ, ἔφησεν ὁ ἱερεύς. Οὐ καλῶς εἶπον τὸ πρίν. συμφέρει ἀπολέσθαι τοῦτον μόνον, καὶ μὴ ὅλον τὸ ἔθνος μου; Τίς εἶδεν ἀσπίδα, ἀντὶ τοῦ ἰοῦ αὐτῆς, (ἴαμα φέρουσαν πληγαῖς;) Τίς ἐθεάσατο φλόγα δροσίζουσαν; Τίς ἀκήκοέ ποτε ψεῦδος ἀληθεῦον, ὡς καϊάφας μηδὲ θέλειν προφητέυει, ὅτι ὑπὲρ πάντων θνήσκει σωτήρ, ἵνα χορέυῃ ὁ Ἀδάμ.

ς΄. Οὕτω μὲν ἔφησεν ἱερεύς, τοῦτο δὲ οὐ συνῆκεν. οὐ γὰρ εἴασεν αὐτῷ φθόνος, ἀλλ' ἠρέθιζε πρὸς φόνον. φθόνῳ ὁ φόνος παρέπεται, καὶ μάρτυς ὁ Ἄβελ, ὑπὸ Καΐν φθονηθείς, φονευθεὶς δὲ μετέπειτα, ὡς δὲ καὶ ὁ χριστὸς ἑκὼν ὑπήνεγκε τὴν λαοῦ ὀργὴν παθεῖν. καὶ στοργὴν δεικνύων, ἰάτρευε τὰ πάθη, καὶ ἀντὶ εὐχαριστίας τυθείς, σταυροῦται καὶ θνήσκει, ἵνα χορέυῃ ὁ Ἀδάμ.

ζ΄. Πλήθει θαυμάτων ἀντιπαθῶν ὁ ὄχλος τῶν ἀνόμων. Ἆρον, σταύρωσον αὐτόν, ἀνεβόων στήσαντες παρὰ πιλάτῳ τὸν πάντα συστήσαντα. τὸν μέλλοντα κρίνειν βασιλεῖς τε καὶ πτωχούς, κριτηρίῳ παρέστησαν. τὸν δίκαιον κριτὴν κρῖναι ἐδίκασαν. καὶ τὸν ρύστην, ὡς ληστήν, ἠθέλησε δήλως φονεῦσαι ζῶν ἀδήλως. αὐτὸς δὲ εἰ πάσχει, στέγει, σιγῶν καὶ ἄλαλος στήκει, ἵνα χορέυῃ ὁ Ἀδάμ.

η΄. Ἄφωνος ἵστατο ὁ βροντῶν, λόγου ἐκτὸς ὁ Λόγος. Ἐι γὰρ ἔρρηξε φωνήν, οὐχ ἡττᾶτο, καὶ νικῶν οὐκ ἐσταυροῦτο, καὶ Ἀδὰμ οὐκ ἐσώζετο. Διὸ ἵνα πάθῃ, ὁ δρασσόμενος σοφούς, σιωπήσας παρίστατο. Ὁρῶν οὖν ὁ κριτὴς χριστὸν σιγήσαντα, ἀπορίᾳ συσχεθείς, ἔφη. Τι ποιήσω τῷ οὐδὲν μὴ λαλοῦντι; ἔνοχός ἐστιν ὧν ἡμεῖς αἰτούμεθα ὅθεν θνήσκῃ, ἵνα χορέυῃ ὁ Ἀδάμ.

θ΄. Θάνατον ὤφληκα νῦν ἐγώ, ἔφησεν ὁ σωτήρ μου πρὸς τὸν ἄνομον λαόν, (τὸν πιλᾶτον λόγων γὰρ οὐδ' ἄξιοι, λογισάμενος ἄλογον,) ἀνθ' ὧν ἰαείρου τὸ θυγάτριον ἐγὼ λόγῳ μόνῳ ἀνέστησα, ἀνθ' ὧν μονογενῆ τῆς χήρας ἤγειρα, καὶ τὸν λάζαρον φωνῇ τρέχοντα τὸν ἄπνουν ἀνέδειξα τοῖς πᾶσιν. μὴ διὰ ταῦτα, ἢ μᾶλλον ἀντὶ τούτων πάσχω, θνήσκω, ἵνα χορεύῃ ὁ Ἀδάμ.

ι. Ὅτε δὲ ἤκουσεν ὁ λαὸς τὸν μελίρρυτον λόγον, ὡς πικρίας ἐμπλησθὲς, ἀνεβόα. οὐκ ἀντὶ τούτων σταυρῶσαι, ἀλλ' ὡς λύσας σάββατον. Καὶ τί ἐστι κρεῖττον, θεραπεῦσαι ἀσθενῆ, ἢ τηρῆσαι τὰ σάββατα; καὶ ἐκ κόλπων παρεγενόμην πατρικῶν χάριν μόνου σαββάτου; ἀλλ' ὡς τῶν ἀνθρώπων ἠσθένησεν ἡ φύσις, καὶ εἶδον ἐξ ὕψους ταῦτα κατῆλθον πάσχειν καὶ θνήσκειν, ἵνα χορεύη ὁ Ἀδάμ.

ια. Σάββατον ἅδης οὐ δειλιᾷ, τοῦτο οὐ φεύγει. Ἄλλος οὐκ ἰᾶται ἀσθενεῖς, εἰ μὴ μόνος κύριος ὁ τοῦ σαβάτου, ἐγὼ ὁ σταυρούμενος. Πολλῶν γὰρ σαββάτων φύλαξ γέγονε τυφλὸς, καὶ τὸ πάθος οὐκ ἤμβλυνεν. ἐφύλαξε πολλὰ πολλάκις σάββατα ὁ παράλυτος, ὀκτὼ καὶ τριάκοντα γὰρ ἔτη ἐνόσει, ὅμως οὐκ ἰαθεὶς ἐκ τῆς κλίνης ἠγέρθη, ἕως οὗ ἦλθον, ἵνα χορεύη ὁ Ἀδάμ.

ιβ. Ψόγον ἠκούσατε ἐκ πολλῶν τῶν παροικούντων κύκλῳ. Οἱ τηροῦντες σάββατα, καὶ μισοῦντες ἅπαντα ἔθνη· ποῦ, εἶπον, ἐστὶν ὁ θεὸς αὐτῶν, τὰς νόσους σοβέων αὐτῶν, καὶ ὑπὸ αὐτῶν διὰ νόμου τιμώμενος; Τοιαῦτα λέγοντες καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήριζον ἡμᾶς ὀνειδίζοντες, καὶ ἡμῶν καταλαλοῦντες πάντας ἐγὼ σαββάτῳ ἰῶμαι, δόξαν παρέχων, ἵνα χορεύη ὁ Ἀδάμ.

ιγ. Ἄδικος ἔδοξα, δικαίων πόρνην μετανοοῦσαν, τὴν τοὺς πόδας τοὺς ἐμοὺς διδασκάλους σωφροσύνης κεκτημένην, τὴν καλῶς μοι πιστεύσασαν, τὴν βρέξασαν ἴχνη, ἃ οὐκ ἔβρεξε βυθὸς, ψιλοῖς τότε τοῖς δάκρυσι, τὴν μύρῳ κεφαλὴν ἐμὴν ἀλείψασαν, ἣν ὁ πρόδρομος θιγεῖν, ἐφοβήθη ἕως ἐκέλευσα, τὴν ταῦτα πᾶσι δηλοῦσαν πρὶν ἃ νῦν ὑπομένω, θέλων, πάσχων, ἵνα χορεύη ὁ Ἀδάμ.

ιδ. Λέγοντες ταῦτα μὲν Ἰησοῦ ἤκουσεν αἱμοβόρος ὁ ἀνήμερος λαὸς, καὶ ὡς λέων ὥρυσε τοῦ ἁρπάσαι τὴν ψυχὴν τοῦ ἀμνοῦ χριστοῦ. Πιλᾶτος δὲ τούτων τὴν βουλὴν ἀναπληρῶν, εὐθὺς πρᾶον ἐμάστιξεν. ἐπὶ τὸν νῶτον σου αὐτὸς ἐτέκτηνε, σὺ δὲ τὴν τούτου πλευρὰν ὄναρ βασανίζων, ἀνέδειξας ἰσχύν σου. τοῦτο γυνὴ γὰρ ἐδήλου, βοῶσα. Σὸν κριτὴν κρίνεις ἵνα χορεύη ὁ Ἀδάμ.

ιε. Μάστιγας φέρει ὁ λυτρωτὴς, δέσμιος ὢν ὁ ῥύστης, βουληθεὶς καὶ ἐκτανθεὶς ἐπὶ ξύλου, ἐν στύλῳ ὁ στερεώσας νεφέλην πρὶν, ὁ μωσῆς καὶ Ἀαρὼν λαλῶν, ὁ τοὺς στύλους τοὺς τῆς γῆς στερεώσας, προσδέδεται ἐπὶ στύλῳ. ὁ δείξας τῷ λαῷ ὁδὸν ἐν ἐρήμῳ (πύρινος πρὸ αὐτῶν γὰρ τότε ἐφαίνετο.) ὁ στῦλος στύλῳ προσήφθη. ἡ Πέτρα ἐκτείνεται ἐπὶ ξύλου, ἵνα χορεύη ὁ Ἀδάμ.

ιϛ. Ὅμως μαστίξας τὸν ἰατρὸν, νίπτεται τὰς παλάμας ὁ πιλᾶτος ἐπ' αὐτῷ, διὰ τούτου προσδοκῶν ἀθῳοῦσθαι. ἀλλ' εὑρέθη ὑπεύθυνος, καὶ γὰρ φραγελλώσας παρεδίδου τῷ σταυρῷ, ὡς ἀθῶος εἰπὼν εἰμι. Τίς ἤκουσέ ποτε φονέως λέγοντος τῇ μαχαίρᾳ τῇ αὐτοῦ. Ἐν σοὶ ἀποκτείνας, δίκας οὐ δώσω; ξίφει χρώμενος τῷ τῶν ἀνόμων, πιλᾶτε, κρῖνε τὸν ζῶντα, ἵνα χορεύη ὁ Ἀδάμ.

ιζ. Σταύρωσον, ἤκουσεν ὁ φονεὺς τῶν ἀσεβῶν κραζόντων, καὶ τὸ θέλημα αὐτῶν ἀνεπλήρου, παραδοὺς, οὐκ ἐξ ἀνάγκης, βουλήσει σταυρούμενον. ἀκούσας γὰρ ὅτι ἐστὶ καίσαρος ἐχθρὸς, ἐπτοήθη ὁ δείλαιος. τοῦ παντοκράτορος, οὐ γὰρ τοῦ καίσαρος θέλει εἶναι δυσμενὴς. τὴν ζωῆς ζωὴν νῦν ὁ προτιμῶν, ἀθῶος οὐκ ἔστιν, ὁ διὰ τούτων ἀνόμων κτείνας τὸν κτίστην, ἵνα χορεύη ὁ Ἀδάμ.

ιη. Ῥίψας τὸ ἔγκλημα καθ' αὐτοῦ, κτείνει χριστὸν δι' αὐτῶν, ὑπουργοὺς εὑρὼν τοὺς εἰπόντας. Τὸ αὐτοῦ αἷμα ἐφ' αὐτοὺς σὺν τοῖς ἡμῶν γένηται υἱοῖς μὴ τεχθεῖσιν. ὢ πατέρων τῆς ἀρᾶς. χείρονα εὐτρεπίζοντες τοῖς γόνοις, τῇ πληγῇ πληγὴν προσέθηκαν, δίκην ἕλκοντες κακῶν εἰς γενεὰς αὐτῶν εἰς αἰῶνα. ἡμεῖς δὲ ἡμῶν σωτῆρος τὸ αἷμα λαβόντες, ἔχομεν λύτρον, ἵνα χορεύη ὁ Ἀδάμ.

ιθ. Ὤλετο δίψῃ ὁ γηγενὴς, καύσωνι κατεφλέχθη, ἐν ἐρήμῳ πλανηθεὶς καὶ ἀνύδρῳ, παύσασθαι τὴν αὐτοῦ δίψαν οὐχ εὗρεν ὁ δύστηνος. διὸ, ὁ σωτήρ μου, ἐπὶ τοῦ σταυροῦ νυγεὶς, νάματα ζωῆς ἔβλυσας, βοῶν διὰ πλευρᾶς. Ἐι σὺ ἐπιδιψῇς, πίε ἐξ ἐμῆς πλευρᾶς, καὶ οὐ μὴ διψήσεις ποτὲ εἰς τὸν αἰῶνα. ταύτης διπλοῦν ὂν τὸ ῥεῖθρον, ποτίζει, λούει ῥυπῶντας, ἵνα χορεύῃ ὁ Ἀδάμ.

κ. Μήτις οὖν τὴν πλευρὰν τὴν χριστοῦ εἴπῃ ψιλοῦ ἀνθρώπου, ἄνθρωπος γὰρ ἦν χριστὸς, καὶ θεὸς ἦν, καὶ οὐχὶ σχισθεὶς εἰς δύο, εἷς ἦν ἐξ ἑνὸς πατρὸς, καὶ πάσχων καὶ θνήσκων, εἰ καὶ μὴ νεκρούμενος, ὡς θεός. ἀληθῶς παθεῖν ἠνέσχετο, τὰ πάντα γὰρ ὑπέμεινεν, ἀψευδῶς τε καὶ ἑκὼν, οὔτε ἐξ ἀνάγκης, ὡς ἔφη Ἡσαΐας. καὶ νῦν πληρῶν τὰ ῥηθέντα, ὁ σωτή μου πάντα φέρει, ἵνα χορεύη ὁ Ἀδάμ.

κα. Ἄλλος δὲ τύπος τοῦ Ἰησοῦ γέγονεν ὁ προφήτης Ἰωνᾶς. ἐν τῇ γαστρὶ κήτους γὰρ καταποθεὶς ἐνεκρύφθη, ὡς ἐν τάφῳ ὁ κύριος. ἐκεῖνος ἐξῆλθεν ἐκ τοῦ κήτους μετὰ τρεῖς, ὡς χριστὸς ἐκ τοῦ μνήματος. ἐκεῖνος Νινευὶ κηρύξας ἔσωσε. πᾶσαν γῆν δὲ ὁ χριστὸς ἐλυτρώσατό τε καὶ ὅλην οἰκουμένην. πάντα ἡμῖν ἐν προφήταις δηλώσας. ἦλθε πληρῶσαι, ἵνα χορεύη ὁ Ἀδάμ.

κβ. Νίκην παρέχων τοῖς ταπεινοῖς, δίκην τροπαίου φέρων ἐπὶ ὤμων τὸν σταυρὸν, ἐξῆλθε σταυρωθῆναι, καὶ τιτρώσκειν τὸν ἡμᾶς κατατρώσαντα. πληρώσας γὰρ πάντα ἃ ὠφείλομεν ἡμεῖς, καὶ πρὸς θάνατον ἔτρεχε. ῥαπίσμασί ποτε μορφὴν ὑπέθηκεν, ἣν οὐ φέρουσιν ἰδεῖν Σεραφείμ, τὰς ὄψεις καλύπτουσιν αἰσχύνῃ. διὰ πτόαν ἐνεδύθη ἐθέλων χλαῖναν εἰς χλεύην, ἵνα χορεύῃ ὁ Ἀδάμ.

κγ. Ὄξος ἐπότισαν τὴν πηγὴν τῶν γλυκερῶν ναμάτων, καὶ χολὴν ἐπέδωκαν μάννα ὑετίσαντι, καὶ τὸ νᾶμα ἐκ τῆς πέτρας πηγάσαντι. αὐτὸς δὲ καλάμῳ τυπτηθεὶς, τὴν τοῦ ἐχθροῦ ἐξορίαν ὑπέγραψε. γυμνὸς ἐπὶ σταυροῦ σταθεὶς, ἀπέδυσε τῆς ζωῆς τοὺς δυσμενεῖς. τοῖς νεκροῖς καὶ ζῶσι γέλωτα δείξας, ξύλου κατενεχθεὶς, τῇ σινδόνι εἰλήθη, δοθεὶς τῷ τάφῳ, ἵνα χορεύῃ ὁ Ἀδάμ.

κδ. Ὕμνησον τοῦτον, ὦ γηγενὴς, αἴνεσον τὸν πάθοντα καὶ θανόντα διὰ σὲ καὶ ζῶντα μετ' ὀλίγον θεωρήσας τῇ ψυχῇ, δέξαι ἡδονῇ. τοῦ τάφου γὰρ μέλλει ἐξανίστασθαι χριστὸς, καὶ καινίζειν σε, ἄνθρωπε. ψυχὴν οὖν καθαρὰν αὐτῷ ἑτοίμασον, ἵν' ἐνταῦτα οὐρανοῦ. κάτοικόν ποτέ σε ποιήσῃ. βασιλεύς σου ἥξει ταχέως, χαρᾶς τε ἐμπλήσει τὴν ἐκκλησίαν. ἵνα χορεύῃ ὁ Ἀδάμ.

Въ недѣлю Антипасхи.

р. 140—147 Τῇ νέᾳ κυριακῇ, κονδάκιον τοῦ ἀποστόλου θωμᾶ. ἦχ. πλδ. (8) ποίημα Ρωμανοῦ.

Недостающіе Кондаки и икосы въ Аѳонскомъ Кондакаріи:

β'. Ὁ τοῦ θωμᾶ δισταγμὸς πίστις ἀναμφίβολος ᾠκονομήθη, σωτὴρ, ὄντως βουλήσει σου, ἵνα μηδείς σου ποτε ἐνδυάσῃ τὴν ἀνάστασιν. Ἑαυτὸν γὰρ μόνον οὐκ ἔδειξας αὐτῷ, ἀλλὰ τόπους ἥλων καὶ λόγχης τὴν νυγμήν. διό σε καὶ ὁμολόγησε. κύριος ὑπάρχεις καὶ θεός ἡμῶν.

γ', Τὴν ἐκ νεκρῶν σοῦ ἀνάστασιν ἀπιστῶν καὶ τὴν πλεύραν σου τὴν θείαν ἐξερευνῶν, ἐν πίστει ἔλεγεν ὁ Δίδυμος θωμᾶς. Συμπάθησόν μοι, δέσποτα, θρασέως ψηλαφήσαντι, καὶ πρόσδεξαι, φιλάνθρωπε, μηκέτι με διστάζοντα, ἀλλὰ ἐν πίστει βοῶντα. κύρως ὑπάρχει καὶ θεός ἡμῶν.

ζ. Τί γὰρ γέγονεν;.... въ Аѳонскомъ начинаются: Τινὸς ἕνεκεν. ἢ πόθεν.... **ι.** въ Аѳонскомъ: Εἶτα λέγοντες ποτε τοῦ θωμᾶ.

δι. Ὕπνον ὕπνωσα ἐν ταφῇ μικρὸν, μετὰ δὲ τρεῖς ἀνεβίωσα. διὰ σὲ καὶ τοὺς κατὰ σὲ ἐκείμην ἐν μνημείῳ καὶ σὺ ἀντ' εὐχαριστίας προσῆξας μοι ἀπιστίαν. ἤκουσα γὰρ ὧν εἶπας πρὸς τοὺς ἀδελφούς σου. Πρὸς ταῦτα ὁ θωμᾶς ἔπτηξε καὶ ἀνέκραξε. Μὴ μέμψῃ μοι, σωτὴρ! σοὶ ἀεὶ γὰρ πιστεύω, τῷ πέτρῳ τε καὶ τοῖς λοιποῖς δυσχαιρένω πιστεύειν. οἶδα γὰρ τούτους μὴ ψευδομένους, ἀλλὰ ἐν κακῶν τῇ ὥρᾳ εἰπεῖν φοβουμένους. Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

ιε. Ρῖψαι θέλοντα τότε τὸν θωμᾶν τῆς ἀπιστίας τὸ ἔγκλημα θεωρῶν ὁ πάντα ὁρῶν, πρὸς τοῦτον ἀπεκρίθη. Καὶ σὺ μετὰ τούτων ἦσθα ἐν τῷ καιρῷ ᾧ ἠνίξω. μὲ γὰρ ἅπαντες μόνον ἀφήκατε πάσχειν. καιρὸς ἦν χαλεπὸς, Δίδυμε, μὴ ὀνείδιζε, δι' ὃν καὶ ἡ γραφή. Τὸν ποιμένα πατάξω καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. Νόει ἃ λέγω (καὶ ἃ προεῖπον) ψυλαφῆσαι με θέλεις; ψηλάφησον, λέγων. Κύριοσ ὑπάρχεις καὶ θεὸς ἡμῶν.

ις. Ὢ τοῦ θαύματος! Ὢ τῆς ἀνοχῆς! Ὢ τῆς ἀμέτρου πραότητος! Ψηλαφᾶται ὁ ἀναφὴς, κρατεῖται ὑπὸ δούλου, καὶ δείκνυσι τῷ οἰκέτῃ τὰ τραύματα ὁ δεσπότης, οἷς ἐν τῷ καιρῷ πᾶσα ἡ κτίσις ἐσείσθη. Τοιούτων δὲ θωμᾶς δωρεῶν ἀξιούμενος, τῷ ἀξιώσαντι δέησιν ἀνατείνει. Ἀνάσχου, λέγων, δέσποτα, τῆς ἐμῆς προπετείας, φεῖσαι τοῦ χόρτου, ῥῦσαι με φόρτου. κουφίσθω ἀπιστίας, ἐν πίστει βοῶ σοι. Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

ιζ. Μεῖνον, σήμερον, ἕως ἂν ἐγὼ κατατρυφήσω σου, κύριε. Πληροφέρησόν με τὸν σόν. ἠνέσχου ἀλλοτρίου, ἀνάσχου καὶ τοῦ ἰδίου, καὶ δεῖξόν μοι τὰς πληγάς σου, ἵνα, ὡς πηγὴν, ταύτας ἀντλήσω καὶ πίω. Μὴ φλέξῃς με, σωτηρ πῦρ γὰρ εἶ καθ' ὑπόστασιν, κατὰ δε βούλησιν σῶμα. εἶ, ὃ ἐγένου. Ἀπόκρυψόν σε, δέομαι, ἐμαυτὸν ὅσον ὅσον δέξαι, σωτήρ μου, ὡς τὴν αἱμόρρουν. οὐ κρατῶ τοῦ κρασπέδου, σου ἅπτομαι. λέγων: Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

ιη. Ἅπαξ εἰπόν σοι, καλὲ μαθητά. γενοῦ πιστὸς καὶ μὴ ἄπιστος. μὴ φοβοῦ, οὐ φλέγω σε γὰρ, φυλάττω τοὺς ἐντός μου. Τὴν κάμινον βαβυλῶνος ἐδίδαξα τοῦτο πράττειν, μᾶλλον οὖν ἐγὼ τοῦτο ποιήσω διδάσκων. Μὴ τῆς ἁμαρτωλοῦ πόρνης πέλεις σαθρώτερος, ἣ τότ' ἐπήλειψε μύρῳ τὴν κεφαλήν μου, καὶ ταῖς θριξὶν ἐξέμαξε τοὺς ἁγίουσ μου πόδας; δεῦρο οὖν, ὦ φίλε, μὴ μὲ μυρίσῃς, ἑαυτὸν εὐωδίζου ἐν πίστει βοῶν μοι. Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

ιθ. Ναί! φιλάνθρωπε, μυριῶ κἀγὼ, οὐχ ὡσ πόρνη τὸ πρότερον. οὐ προσέρχομαι μυρεψῷ, κραυγάζων. Δός μοι μύρον! τὴν πίστιν σοι προσκομίζω τῷ ἔχοντι ὑπὲρ μύρον χάριν, τὴν πλευρὰν, ἥνπερ κρατῶν ἀπολαύω. Δοξάσω

σου. χριστὲ, τὴν πιστὴν συγκατάβασιν, πῶς ἐνηνθρώπησας, ἵνα τῆς τῶν εἰδώλων τὸν ἄνθρωπον, ὃν ἔπλασας, ματαιότητος ῥύσῃ, καὶ ῥαπισθῆναι πῶς κατεδέξω καί με ἐλευθερώσεις παθῶν, ἐκβοῶντα. Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

κ. Ὅμως ἄκουσον, μάθε καὶ σαφῶς, Σοφοῦ γὰρ γέγονας μέτοχος. ἡ Σοφία ἡ τοῦ πατρὸς ἐγνώσθην τοῖσ ἀνθρώποις. μακάριος εἰ ἐν πίστει, καὶ μᾶλλον δὲ μακαρίζω τοὺς ἐξ ἀκοῆς πίστει ἐμῇ προσελθόντας. αὐτός με ψηλαφᾶς, νῦν ἐπέγνως τὴν δόξαν μου. ἐκεῖνοι δὲ φωνῇ λόγων μοι προσκυνοῦσι. μεγάλη δὲ ἡ εὔνοια τῶν οὕτω πιστευόντων μοί. θεωροῦμαι ὡς μαθητῇ σοι, καὶ ἐκείνοις, ὡς ἄλλοις ἁγίοισ βοῶσι. Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

κα. Ὑποκινηθεὶς εὐσπλαγχνία σου, στηρίξας σῶσόν με, ὕψιστε, ἵνα ἅπτωμαι τῆς πλευρᾶς. Λαμβάνων σου τὴν χάριν, τὸ σῶμα καὶ τὸ αἷμα, λυτρῶμαι ἐκ τῶν κακῶν μου, ἵνα ἄφεσιν εὕρω τῶν παραπτωμάτων. ὁ θωμᾶς ψηλαφῶν σὲ, ἐπέγνω τὴν δόξαν σου. ἐγὼ δὲ δειλιῶ. οἶδα γάρ σου δυνάμεις. ἐπίσταμαι τὰ ἔργα μου. ταράττει συνειδός με. φεῖσαι, σωτήρ μου, φεῖσαι, οἰκτίρμων, ἵνα ἔργοις καὶ λόγοις ἐν πίστει βοῶ σοι. Κύριος ὑπάρχεις καὶ θεὸς ἡμῶν.

На Вознесеніе Господне.

β'. (2-й Кондакъ) р. 148. Ἐν τῷ ὄρει τῶν ἐλαιῶν ἁγιάσας τοὺς μαθητάς, εἰς οὐρανοὺς ἀνελήφθης, Κύριε, ἐπαγγειλάμενοσ αὐτοῖς διδασκαλίαν, καὶ βοήσας αὐτοῖς. Οὐ χωρίζωμαι ὑμῶν, ἐγώ εἰμι μεθ' ὑμῶν καὶ οὐδεὶς καθ' ὑμῶν.

ιζ. Въ Кондакаріи изд. Питрою начинается иначе: Ἀλλ' ὡς ἤκουσαν εὐθύς, τῶν λόγων τούτων....

Въ Пятдесятницу.

9-й Начинается: Ἐιστήκεισαν.....

13-й Ῥιψάτω.

Въ недѣлю всѣхъ святыхъ.

β'. (2-й Кондакъ) Ὡσ ἐλεήμων ὑπάρχων, χριστὲ ὁ θεός, τὰς τῶν μαρτύρων αἰκίσεις ἐδρόσισας, τῶν διὰ σε τυράννοις τὴν πίστιν τρανωσάντων. ἀλλ' ὡς αὐτοῖς ἐδωρήσω τὴν εὐλογίαν ὑπομονῆς ἐκ τῆς ἄνω θεογνωσίασ, καὶ ἡμῖν πᾶσι, πολυέλεε.

Въ день св. первоверховныхъ Апостоловъ Петра и Павла.

14-й Начинается: Ὥσπερ τελώνης μεῖνον, Ματθαῖε.

р. 174. ιε. Μίαν φωνὴν ἀφίημι πᾶσιν. ἵνα μὴ τὸν καθ' ἕνα ἐκδιδάσκων κοπῶ, ἅπαξ λαλῶ τοῖς ἁγίοις μου. πορευθέντεσ εἰς πάντα τον κόσμον μαθητεύσατε ἔθνη καὶ βασιλέας. πάντα γάρ μοι παρεδόθη ὑπὸ τοῦ γεννήσαντός με, τὰ ἄνω ἅμα τοῖς κάτω, ὧν καὶ πρὶν λαβεῖν σάρκα ἐδέσποζον καὶ νῦν πάντων βεβασίλευκα, καὶ ὑμᾶς ἱερὰν ἔχω σύγκλητον, ὁ μόνος γινώσκων, τὰ ἐγκάρδια.

ις. Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη. μετανοίασ τὸν σπόρον ἐμβαλόντες τῇ γῇ, διδασκαλίαις ἀρδεύσατε. Τούτων δ' ἀκούσαντες οἱ συμμύσται, πρὸς ἀλλήλους ἑώρων, κινοῦντες κάρας. Πόθεν ἡμῖν ἡ φωνὴ καὶ ἡ γλῶττα πρὸς πάνvασ λαλεῖν; ἰσχὺν δὲ τίς ἡμῖν δώσει ἀντιστῆναι λαοῖς καὶ ἔθνεσι (ἀγράμματοι καὶ ἀπαίδευτοι, ἁλιεῖς, ἀσθενεῖς) ὡς προσέταξας, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

ιζ. Νῦν μὴ ταράσσεσθε τῇ καρδίᾳ, μὴ θολώσῃ τὰς φρένας ὑμῶν ὁ δυσμενής. ὡς νήπιοι μὴ λογίζεσθε, γίνεσθε φρόνιμοι, ὡσεὶ ὄφεις. δι ὑμᾶς γὰρ ὡς ὄφις ἐγὼ ὑψώθην. μὴ ἑαυτοὺς ἐκφοβοῦντες, ἐμὸν κήρυγμα λείψατε, οὐ θέλω σθένει νικῆσαι, διὰ τῶν ἀσθενῶν περιγίνομαι. οὐ χαίρω р. 175. ταῖς πλατωνίζουσι, τὰ μωρὰ γὰρ τοῦ κόσμου ἠγάπησα, ὁ μόνοσ γινώσκων τὰ ἐγκάρδια.

ιη. Ὅμως ὑμῖν καὶ δύναμιν δώσω, δύναμιν ἐν τῷ πίπτειν ἀνιστῶσαν πολλούς, καὶ γλῶτταν δὲ τὴν σοφίζουσαν. τόμοσ ὑμῶν σοβεῖ Δημοσθένην, καὶ ἡττῶνται Ἀθηναῖοι Γαλιλαίοις, παύσει λοιπὸν (πέτροσ, ὁ πρὶν) Κηφᾶς, ἐξαγγέλλων ἐμὲ, ἀμέτρουσ λέξεισ. καὶ μύθουσ ἀμαυροῖ τὸ ῥητὸν τοῦ Μαραναθά! ἡ Ναζαρὲτ δονεῖ Κέριθνον, οἱ λαλοῦντεσ ὑμεῖσ, ὁ πείθων ἐγώ. ὁ μόνοσ γινώσκων τὰ ἐγκάρδια.

ιθ. Ὕβρεσι πάντεσ ὑμᾶς πλυνοῦσι, φυλακαῖσ ἐμβαλόντεσ καὶ δεσμοῦντεσ πικρῶσ, τοῖσ ἄρχουσι παραδώσουσιν. ἀλλ' ὀρφανοὺσ ὑμᾶσ οὐκ ἐάσω. μεθ' ὑμῶν γὰρ εἰμι μέχρι συντελείασ. ὅταν κριταῖς παραστήτε, ὑμῶν μέσον με ὄψεσθε. δεσμεῖσθε, καὶ συνδεσμοῦμαι. σὺν ἐμοὶ δι ἐμὲ πάντα πάσχετε. ὑμεῖσ τὴν γνώμην προτείνατε, ὡσ κἀγὼ δι ὑμῶν ἀγωνίζωμαι, ὁ μόνοσ γινώσκων τὰ ἐγκάρδια.

p. 176. 177. κα. Ψῆφος ὑμᾶς καλεῖ πρὸς ἀγῶνας. ὁ κανὼν τῆς ἀγάπης ἀπαιτεῖ παρ' ὑμῶν φιλίας ἔργον ἐνδείξασθαι. πάθετε ὑπὲρ ἐμοῦ, ὡς φίλοι, ὡς κἀγὼ ὑπὲρ φίλων καὶ μὴ ὀφείλων. χρέος οὐδὲν οὐχ εὑρέθη καλοῦν ἐμὲ πρὸς θάνατον. ἀλλ' ὅμως κατεδεξάμην, καὶ σταυρὸν ὡς χρεώστης ὑπέμεινα. τὸ πατρικὸν ὑμῶν δάνειον ὁ ἀνεύθυνος θέλων ἀπέδωκα, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

κβ. Ἄπιτε οὖν εἰς πάντα τὸν κόσμον. μετανοίας τὸν σπόρον ἐμβαλόντες τῇ γῇ, διδασκαλίαις ἀρδεύσατε. Βλέπετε μήτις μετανοήσας ἔξω τῆς ὑμετέρας σαγήνης μείνῃ. ὡς χαίρω γὰρ ταῖς ἐπιστρέφουσιν, οἴδατε καὶ ὑμεῖς, ὡς εἴθ' ὁ εἷς ὁ προδοὺς με εἰς ἐμὲ μετὰ πρᾶσιν ὑπέστρεφε, κἀγὼ αὐτοῦ τὸ ἁμάρτημα ἐξαλείψας, ὑμῖν τοῦτον ἥνωσα, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

κγ. Λύπην μισήσατε καὶ δειλείαν. αὐτὴ γὰρ παραπέμπει τῷ θανάτῳ πολλούς, ὡς ὁ Ἰούδας ἀπέδειξεν. οἴδατε πῶς ἀγχόνης σχοινίον ἡ ἀπόγνωσις ἔπλεξε τῷ προδότῃ. Ὅμως κενὴ καὶ ἐν τούτῳ ἡ τοῦ διαβόλου παγίς. μικρὸν γὰρ καὶ ἀποτίσει. ἀντὶ τοῦ Σκαριώτου τὸν Κίλικα, ἀντὶ δολίου τὸν δόκιμον, ἀντὶ πράτου τὸν παῦλον κομίσομαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

κδ. Μύσται μου φίλοι καὶ ἀδελφοί μου, μύστας γὰρ ὑμᾶς λέγω, οὐχὶ δούλους λοιπόν, υἱοὺς καὶ συγκληρονόμους μου. φωστῆρες τῆς οἰκουμένης ὅλης. καὶ ἐμοῦ τοῦ ἡλίου φαιδραὶ ἀκτῖνες, τῶν θησαυρῶν τῶν ἐμῶν οἱ πιστοὶ κλειδοφύλακες, μεσῖται τῶν δωρουμένων παρ' ἐμοῦ τῷ Ἀδὰμ ὑποστρέφοντι. οἱ στύλοι τῆς ἐκκλησίας μου, οὓς ἐγὼ ἐκ θαλάσσης ἀνήγαγον, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

κε. Οὕτω κηρύξατε με τῷ κόσμῳ, φανεροῦντες ὅ πέλω. καὶ μισοῦντες λοιπὸν παραβολὰς καὶ αἰνίγματα, εἴπατε ὅτι θεὸς ὑπάρχων καὶ ἀνέκφραστος, δούλου μορφὴν ἔλαβον. δείξατε πῶς τὰς πληγὰς τῆς σαρκὸς ᾠκειούμην ἑκὼν Θεὸς ὤν, καίπερ μὴ θνήσκων, σὺν τῷ σώματι ἦλθον εἰς θάνατον. καὶ ὁ ταφεὶς ὡς κατάκριτος, ἐξεπόρθουν τὸν ᾅδην, ὡς Κύριος, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

κς. Σώσατε οὖν ἐν τούτοις τὸν κόσμον βαπτίζοντες εἰς ὄνομα Πατρός τε καὶ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τούτοις τοῖς λόγοις κραταιωθέντες, οἱ ἀπόστολοι ἔλεγον πρὸς τὸν πλάστην. Σὺ εἶ θεός, ὁ προαιώνιος καὶ ἀτελεύτητος, σε ἕνα Κύριον γνόντες ἅμα τῷ σῷ Πατρὶ καὶ τῷ Πνεύματι, κηρύσσομεν, ὡς προσέταξας, σὺ γενοῦ μεθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

ά. (1-й Кондакъ.) Ὁ σοφίσας ὑπὲρ ῥήτορας τοὺς ἁλιεῖς, καὶ ἐκπέμψας ὥσπερ κήρυκας πάσῃ τῇ γῇ, τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, χριστὲ ὁ θεός, δι' αὐτῶν κραταίωσον τὴν ἐκκλησίαν σου, καὶ τοῖς πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου, ὁ μόνος....

На усѣкновеніе главы св. Іоанна предтечи 29 Августа.

Μηνὸς αὐγούστου κθ. Κοντάκιον εἰς ἀποτομὴν τοῦ προδρόμου ἦχ. πλα. (5) φέρον ἀκροστιχίδα. τοῦ ταπεινοῦ Ρωμανοῦ.

p. 178 — 185. 1-й Кондакъ. Πρέπει σοι, πρόδρομε, ἔπαινος ἄξιος, ὅτι τῆς αἰωνίου ζωῆς ὑπεραπέθανες, ὡς μισήσας τὴν πρόσκαιρον.

ς. Τί σοι γέγονεν οὖν, ὦ παιδίσκη; τί σοι συμβέβηκεν αἰφνίδιον; πῶς γὰρ ἐφείσω Ἰωάννου; καὶ τῆς μητρὸς ὑπερηγάπησας τὸν μισοῦντα τὴν ζωὴν ἡμῶν; ἀγνοεῖς δὲ μᾶλλον, τέκνον, ἃ ὑπέθετο Ἡρώδῃ ἕνεκεν ἐμοῦ; οὐκ ἔξεστι σοι, φησίν, ἔχειν τὴν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ σου, ἀπόθου αὐτήν. θέλω δὴ τὴν ἄκαιρον συντυχίαν κόψαι. ανευρῶ τὸν καιρὸν, αφελεῖν γλῶτταν αὐτοῦ, μᾶλλον δὲ καὶ τὴν κεφαλήν. Καὶ λοιπὸν οὐ λυποῦμαι. ἐγὼ γὰρ ἐν ἀσφαλεῖ τὴν ζωὴν ἀληθινήν, οὐκ ἐπίπλαστον, πρόσκαιρον.

ζ. Ἀσεβοῦμεν, μῆτερ, οὐκ εἰς ἄλλον, ἀλλ' εἰς ἡμᾶς καὶ τὴν ζωὴν ἡμῶν, ὥσπερ Ἰεζαβὲλ Ἡλίαν ὀλέσαι θέλουσα τὸν δίκαιον, καθ' αὐτῆς μᾶλλον ἐποίησεν. Ὁ Ἡλίας μὲν ἐντόνως, Ἰωάννης δὲ ἐννόμως ἤλεγξεν ἡμᾶς. Ὁ ἐρημίτης σὺν αὐστηρότητι εἶπε τῷ Ἡρώδῃ τὸ καθαρόν. Οὐκ ἔξεστί σοι! ὁ δὲ πάλαι πρεσβύτης μετὰ πραύτητος εἶρξε τῷ Ἀχαὰβ νεφέλας, οὐκ ἔβρεξε. Διὰ τοῦτο, δέσποινα μου, θλάσον τὸ σχῆμα σου νῦν, καὶ τὸ σκάμμα νεκρῶται. μὴ ποιήσῃς εἰς ἀεὶ τὴν αἰσχύνην τὴν πρόσκαιρον.

η. Παρ' ἐμοῦ διδάσκου, ἀνοσία, μὴ ἐπιχαίρειν νουθετῆσαι με, ὅτε γὰρ πάντα μάθῃς πλήρως. ταῦτα νυνὶ ἐπιλανθάνει σε, οὐ νοεῖς, οὐδὲ γὰρ δύνασαι. ἂν γὰρ οὕτως ὁ βαπτίζων ἐπιμείνῃ με ὑβρίζων, καὶ φαίνηται ζῶν, ἕκαστος αἴρει τὴν πρὸς ἐμὲ παρρησίαν, καὶ ἅπερ θέλει, ὡς θέλει, λέγει κατ' ἐμοῦ ὡς τῆς τυχούσης λοιπόν, οὐδὲ βα-

σιλίσσης, ὡς γυναικὸς ἰδίωτου, καὶ οὐχὶ γνωστοῦ. Ἀλλ' ἡσύχασον, παιδίσκη, πλέον γὰρ σου καὶ πολλῶν τὸ σύμφερον γινώσκω, οἶδα κτήσασθαι τιμὴν ἐμφανῆ, οὐχὶ πρόσκαιρον.

θ. Ἐρωτῶ σε, μῆτερ, τὸ τοιοῦτον πότε βουλέυεισ τελεσθῆναι σοι; ἐν τῷ φωτὶ ἢ ἐν τῷ σκότει; τὸ ἀσεβέσ σου γὰρ ἐνθύμημα τῆς νυκτὸς ἐστιν ἐπάξιον. τέμνεται γὰρ διὰ τίνος; τίσ μακαίρα.... τέμνει προφήτην Χριστοῦ; Σύ. Ὡσ θυγύτηρ, συνέρχου τῇ σε τεκούσῃ τοῦ ἀνελεῖν τὸν ἐχθρόν μου, καὶ γέννα καιρόν. Δέομαι, μῆτερ, μὴ δι ἐμοῦ τῆς ἀθλίασ δείξῃ τις τὴν ἀθώου τοῦ αἵματος σφαγήν. ὡς ἐσφάγη Ζαχαρίας, νῦν Ἰωάννης τμηθῇ, κἀγὼ μὴ ὑπουργήσω, μήπως λήψομαι πληγὴν αἰωνίαν, οὐ πρόσκαιρον.

ι. Ἰωάννης σοι προετιμήθη, ναί, παναθλία καὶ ταλαίπωρε, τῆς βαστασάσης σε κοιλίας; ὁ βαπτιστὴσ ἀναγκαιότεροσ κατεφάνη τῇ ἀνοίᾳ σου; οὐκ αἰσχύνῃ τοὺσ μαστούσ μου, οὓσ ἐποίησα τροφήν σου; Ὡς εἴθε γε μή! τι γὰρ ἐζήτουν κατ' ἐμαυτῆσ ἀναθρέψαι τὴν διὰ τῆς ἀπειθείας ἐχθραίνουσαν με; Τί δὲ ἠπείχθην τῷ βασιλεῖ συναφθῆναι, δια τὸ περισωθῆναι τήν θλίβουσαν με; Διὰ τοῦτο καὶ λυποῦμαι. γένηται ῥῆμα ἐμὸν, καὶ ὅ θέλω, τελῆται, καὶ μὴ θέλουσα ποιῇς τὴν βούλην μου τὴν πρόσκαιρον.

ια. Νυνὶ ἡσυχάσω. καὶ μὴ δειξω τῇ παγκακούργῳ ἅ βούλελομαι. μήποτε σκέψηται καὶ εὕρῃ τὴν ἐνθύμησιν καὶ ἀνέυρεσιν ἡ τεχθεῖσα μοι εισ κάλασιν τῶν τοιούτων ἐσκεμμένως καὶ πολλάκις εἰρημένων ὑπὸ τῆσ μητρόσ. Ἡ μὲν θυγάτηρ ἐν ἡσυχίᾳ διῆγεν, ἡ δὲ τεκοῦσα ἐνήχει τότε τῇ ἀνδρὶ, λέγουσα. Ἄνερ, τῶν γενεσίων σου ἄρα ποίησον ἡμῖν ἡμέραν φαιδρὰν ἑορτῆς. εὐφρανθῶμεν ἐν τῷ γήρει, τὴν νεότητα ἡμῶν λαβὼν ὁ ἀδελφός σου περιήρει με κακῶς εἰς τὸν βίον τὸν πρόσκαιρον.

ιβ. Ὁ Ἡρώδης οὖν ὑπὸ τῶν λόγων τῆς ἐπιβούλου βουκολούμενος, μεγάλως ἔκραξε γελάσας, καὶ ὡς ἀσύνετοσ ἐν γέλωτι τὴν φωνὴν αυτοῦ ἀνύψωσε. Κοινωνέ μου, λέγων, γύναι, καὶ ἐν τούτῳ χάριν ἔχω φιλτρῷ τῷ σῷ, ἂν οὖν τελέσω τῶν γενεσίων ἡμέραν, σὺ τί προσάγεις μοι δῶρον ἄξιον ἐμοῦ; Τί σοι προσάξω; δούλην ἐμαύτην, καὶ πάλιν τὴν ἐξ ἐμοῦ παραστήσω ὀρχήστριαν σὴν τὴν εὐφραίνουσαν σε πάνυ, καὶ φαιδρύνω ἀληθῶς γενέσεως ἡμέραν, ἣν ποιήσεις, βασιλεῦ, διὰ τέρψιν τὴν προσκαιρον,

ιγ. Ὑπεκλίθη οὖν τοῦ παρανόμου τῆς πονηρᾶς αὐτοῦ γενέσεως ἡ τρισκατάρατος ἡμέρα, ἥνπερ καὶ αὐτὸς κατηράσατο ὁ Ἰὼβ οὕτω φθεγξάμενος, ἢ ὡς εἶπε Ζαχαρίας. Ἡμέρα ἐκείνη σκότος ἐστὶ καὶ οὐ φῶς. Καὶ γὰρ ἐῤῥήθη τότε. τῆς ἡμέρας τὸ φῶς τῶν ἐν τῷ σκότει κειμένων ἦν ἐν τῷ σταυρῷ. Ἀλλὰ νῦν πρέπει καὶ τῇ Ἡρώδου ἡμέρᾳ, ὅτι ἐν ταύτῃ ἐκτάνθη φίλος τοῦ φωτὸς καὶ ὁ κτείνας μὲν οὐκ ἔστιν, ὁ δὲ κτανθεὶς καὶ ἔστι καὶ λαλεῖ. μετὰ θνῆσιν ἕλκων πάντα εἰς ζωὴν, τὴν ἀεὶ καὶ οὐ πρόσκαιρον.

ιδ. Ρίψας ταῦτα πάντα ὁ Ἡρώδης, τῶν ἑαυτοῦ λοιπὸν ἐγένετο, καὶ τῆς ἡμέρας συμφθισάσης τῶν γενεσίων, καθὼς γέγραπται, ἐν οἷς το δεῖπνον ἐποίησε μεγιστᾶσι καὶ τοῖς φιλοις, χιλιάρχοις καὶ συμβούλοις πᾶσιν ὁμαδὸν, τοῦ τε ἀρίστου μετὰ χαρᾶς τελουμένου, καὶ ἐσθιόντων ἡδέωσ τῶν ἀριστητῶν, ἄφνω ἐτράπη ἡ τραπέζα εἰς παγίδα, καὶ ἐγενήθη τὸ βρῶμα σκάνδαλον αὐτοῖς, ἐπειδὴ τὴν κεκρημμένην παγίδα τοῦ βαπτιστοῦ οὐ συνέτριψαν γνόντεσ, ἀλλ' ἀνέσχοντο ὁρᾶν διὰ τέρψιν τὴν πρόσκαιρον.

ιε. Ὡς οὖν εἶδε πάντας μεθυσθέντας, Ἡρωδιὰσ ἡ πολυμήχανος, ἥνπερ ἐζήτει εὐκαιρίαν εὑροῦσα, εἶπεν ἐν ψυχῇ αὐτῆς. ἴδε. ὃν ἐθήρευον καιρόν. οὐδεὶς ἔστιν ὁ κωλύων, οὐ γὰρ νήφοντά τιν' ἔνδον ὁρῶ. Δεῦρο οὖν, τέκνον, προσάξω σὲ τῇ δε ἡμέρᾳ, δῶρον καλὸν..... ὑπετάγη Ἡρώδης ἡμῖν. εἴσελθε, τέκνον, χαρίτωσον τῷ ποδί σου τὸν βασιλέα τε καὶ πάντας φίλους αὐτοῦ. μεταστρέψῃς τὴν καρδίαν τοῦ σεβαστοῦ πρὸς ἡμᾶς ὡς στρεβλὸν τόξον, ἄρτι κερδανοῦμεν τὴν τιμὴν αἰωνίαν, οὐ πρόσκαιρον.

ιϛ. Μετεποίησεν ἡ ἀνομία τοῖς λόγοις τούτοις τὸ κοράσιον, καὶ κοσμηθὲν περὶ τὸ πρᾶγμα τὸ ἀναιδὲς, περιεβάλετο ἀτιμίαν ὡσ ἱμάτιον. Οἱ μὲν φίλοι τοῦ Ἡρώδου τὸ μὲν κάλλος τῆς παιδίσκης ἤνεσαν πολὺ, τῆς δὲ τεκούσησ τὴν ἀδιάτρεπτον γνώμην καὶ τὸν κόσμον ἐννοοῦντες, εἶπαν, ἐν κρυφῇ. Βλέπετε γνώμην Ἡρωδιάδοσ τῆς πόρνης, πῶς καὶ ἣν ἔτεκε, θέλει δεῖξαι καθ' αὐτήν. Οὐκ ἠρκέσθη τῇ ἰδίᾳ ἀναισχυντίᾳ αὐτῆς, ἀλλὰ καὶ τὴν ἐκ σπλάγχνων ἔχρανεν ἐπ' ἡμῶν, διὰ τέρψιν τὴν πρόσκαιρον.

ιζ. Ἀψευδὴς ὁ λόγος τῆς Σοφίας. Τέκνα μοιχῶν εἰσὶν ἀτέλεστα, καὶ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται δὴ τέλεον. ὥσπερ τοῦτο τὸ κοράσιον, ὃ πρὸς ὥραν μὲν ηὐφράνθη, μετ' ὀλίγον δὲ πολλάκις χεῖρόν τι ποιεῖ. Τούτων δὲ πάντων οὐ φανερῶς λεγομένων, ἦλθε κατόπιν τῶν λόγων ἔργα πονηρά. ἡ γὰρ παιδίσκη ὀρχησαμένη ἐν μέσῳ τῶν ἀριστώντων, τὸ στόμα ἔπλησε κραυγῶν. Βασιλεῦ, φασίν, Ἡρώδη, ὡς ἐμμελὴς δή ἐστιν ἡ ὀρχήστρια αὕτη. μάλα ἔχει ἔμψυχον τὴν πορείαν, οὐ πρόσκαιρον.

ιη. Νικηθεὶς ὁ ἄναξ τοῖς ἐπαίνοις τῶν εὐφημούντων τὸ κοράσιον, ὤμοσε τότε ἐπὶ πάντων Ὃ ἂν αἰτήσῃ με, παρέχω σοι ὑπὲρ ταύτης τῆς ὀρχήσεως. Ἡ δὲ παῖς ἐξῆλθε τότε, καὶ φησὶ πρὸς τὴντεκοῦσαν. Αἰτήσομαι τί; Αἴτησαι τέκνον, τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ, ὅτι ταύτης μόνης ὑστερῶ. Οἴμοι! τεκοῦσα. Εἴθε ἐτμήθην τοὺς πόδας, καὶ μὴ ἐξέδραμον πρὸς σὲ μαθεῖν παρὰ σοῦ! Εἴθε πάλιν ἐφιμώθην, καὶ μὴ ἠρώτησα σε περὶ ὧν οὐκ ἂν ἔδει! εἴθε ἤσκησα σιγὴν αἰωνίαν οὐ πρόσκαιρον. εἴθε ἤσκησα.

ιθ. Οὕτως ἔδει λέξαι τὴν παιδίσκην, ὅμως οὐδὲν τούτων ἐλάλησεν, ἦν γὰρ ἐκ γῆς ἀκανθοφόρου ἀρᾶς κακῆς πικρὸν ζιζάνιον, νόσον ἔχουσα θανάσιμον. ἧς γευσάμενος Ἡρώδης, οὐκ ἐξέπτυσεν, ἀλλ' ἔσχεν ἔνδον ἑαυτοῦ. ὅθεν μη πέψας (sic) τοῦτο, ἠρεύξατο φόνον, καὶ τὴν τοῦ θείου προδρόμου ἤμεσε τομήν. πένοσ γέγονε τῷ ἐκτελέσαντι φόνον, καὶ τὴν τομὴν τοῖς τιμῶσι νέμουσαν τιμήν. ἠφανίσθη γὰρ ὁ κτείνας. οἱ δὲ τιμῶντες πιστοὶ εἰσὶν ἔτι καὶ ζῶσι πορίζόμενοι. ζωὴν αἰωνίαν, ὡς πρόσκαιρον.

κ. Υἱὲ τοῦ ὄντων ἱερέως, τέκνον τῆς στείρας καὶ προφήτιδος, θρέμμα ἐρήμου, Ἰωάννη, ὅτι νηστείας σου ἐμνήσθημεν, δὸς ἰσχύν, ἵνα νηστεύσωμεν. γενηθῶμεν μιμηταὶ σου, κατὰ τοῦτο ὃ ἰσχύει ἕκαστοσ ἡμῶν, μὴ γὰρ δεσπόζῃ τινὸς ἡμῶν ἡ κοιλία, ἀλλὰ ἡμεῖς τῆς κοιλίας κρατῶμεν ἀεί, κατὰ τὸν παύλον. τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ἡμεῖσ χριστοῦ, τοῦ νηστεύσαντος βουλήσει, καὶ ἀφελόντος ἡμῶν τὴν πεῖναν τὴν ἀρχαίαν, ἣν ἐπείνασεν Ἀδάμ, διὰ τέρψιν τὴν πρόσκαιρον.

17-го Декабря св. трiемъ отрокомъ въ пещи.

Акростихъ въ Кондакарiи, изданномъ Питрою болѣе; здѣсь прибавлено: ὁ ψαλμὸς οὗτος.

β'. (2-й Кондакъ). Οἱ τρεῖς τῇ τριάδι δουλεύσαντες ἐν ὁμονοίᾳ, θυμὸν βασιλέως καὶ πρόσταγμα ἀπανθρωπίας κατησχύνατε, ἅγιοι παῖδες. ἡμῖν ὑπογραμμὸν καταλείποντεσ, πρόβολοι τῆς πίστεωσ γενηθέντες Τάχυνον, ὁ οἰκτίρμων.. ...

p. 193—198. **κα.** Οὕτω λέξαντεσ τότε οἱ μεγιστᾶνεσ τοῖς νέοις, ἐνόμισαν ὅτι οὕτως, ὅπερ ἤθελον, ἐξήνυσαν. ὅμως οὖν οἱ γενναῖοι, καθάπερ βασανισθέντες, οὐ γὰρ ὡς συμβουλευθέντεσ, ἀπεκρίθησαν στερρότεροι. Τι φασί, τοῦτο, ἄνδρες; δοκεῖτε ὅτι λόγοις ἢ ἀπειλαῖς ἐκκόπτετε τὴν στερρὰν ἡμῶν πρόθεσιν; ὁ λόγος γὰρ ἡμῶν καὶ πίστις περιέσφιγξεν, οὐ γὰρ αὕτη ἡ κάμινος ἐστι. θεὸς ἐστιν ἄνω, ὃς δύναται λυτρώσασθαι τῆς καμίνου ἡμᾶς, ὁπόταν βούληται, διὰ τοῦτο κραυγάζομεν. Τάχυνον....

κβ. Ψόγον οὖν οὐκ ἐπάγει ἡμῖν τὸ οὕτως τεθνάναι ὑπὲρ θεοῦ ἀθανάτου, καὶ θνητοὺς ἀθανατίζοντος. Τοῦ Ναβουχοδονόσορ πολλάκις προκινδυνεῦσαι εἰλάμεθα καὶ σφαγῆναι, πόσω μᾶλλον τοῦ θεοῦ ἡμῶν; Τί οὖν λοιπόν, χαλδαῖοι, καὶ σύ, ὁ τούτων ἄναξ; Τί ὑμῖν ἐμποδίζει νῦν; οὐ γὰρ ἔσται ὃ θέλετε. Τοιαῦτα ἀκούσας, ὁ ἄναξ κατηπείγετο, καὶ παφλάζων ἐβόα ἐν θυμῷ. Δεσμεύσατε τούτους, καὶ δότε εἰσ κατάκαυσιν, ἵνα βρῶμα τῆσ καμίνου γενόμενοι τεφρωθέντεσ μὴ κράζωσιν. Τάχυνον....

κγ. Ἄραντες οὖν τοὺς παῖδας, οἱ ἐπὶ τούτῳ ταχθέντες, δεσμεύουσι χεῖρας καὶ πόδας, καὶ ἐκρίπτουσιν εἰσ κάμινον. Δέχεται οὖν ἐκείνη τὴν τρίκλωνον αὐτοὺς ῥίζαν, οὐκ φλέγει, ἀλλὰ φυλάττει, φοβουμένη τὸν φυλάσσοντα, ἀλλὰ εἰσ πνεῦμα δρόσου ἡ φλὸξ μεταβληθεῖσα θείωσ οὕτω διέφυγεν τὰ στελέχη τὰ ἅγια. Καὶ ἦν ἰδεῖν ξένον. τὸ πῦρ γὰρ ἐπελάθετο τῶν ἰδίων καὶ γέγονε πηγή, ἀρδεύουσα μᾶλλον ἢ καίουσα οὓς ἔβαλεν, καὶ φρουροῦσα ὥσπερ ἄμπελον τρίφορον. Οἱ γὰρ τρεῖσ οὕτωσ ἔψαλλον. Τάχυνον....

κδ. Λέλυτο παραχρῆμα ἡ δύναμισ τῆς γεέννησ. ὁ ἄγγελοσ γὰρ ἐξαίφνης οὐρανόθεν ἐπεδήμησεν, μέσον ταύτης εἰσῆλθεν, καὶ κατεπράυνεν ὅλην, καὶ ἔδεξεν τοῖς ἁγίοισ ὡσ παράδεισον τὴν κάμινον, καὶ κατεπάτουν οὗτοι τοὺς ἄνθρακασ ὡσ ῥόδα, καὶ ὥσπερ ἐπὶ ἄνθεσι τοῖς σπινθῆρσιν ἐτέρποντο. ὁ καυστηρὸς τόποσ εὐκτήριος ἐγένετο, καὶ εὑρέθη ῥοδόπατος ἡ φλόξ, θάνατον πνέουσα τοῖς κύκλω καὶ τοῖς πόρρωθεν, τῶν ἐν μέσω τὴν ζωὴν οὐκ ἐλύπησεν, φοβηθεῖσα ἃ ἔψαλλον. Τάχυνον....

κε. Μόνον γὰρ συγκατέβη τοῖς περὶ τὸν Ἀζαρίαν ὁ ἄγγελος οὐρανόθεν. πρὸς ψαλμὸν αὐτοὺς ἐξήγαγε λέγων. Ἅγιοι παῖδες, ἀκούσατε μου τὸν λόγον. ἐγὼ τελῶ ἃ ἐτάχθην, καὶ ὑμεῖς ὃ ἐδιδάχθητε. ὡς καμίνῳ τὴν φλόγα, στομώσατε τὴν γλῶσσαν ὡς ἀμαυρῶ. τὴν φλέγουσαν δειλιᾶτε τὴν μέλλουσαν, μὴ δὲ πτοηθῆτε. Τὸ πῦρ οὐκ ἐνοχλεῖ ὑμῖν, τῶν ἐχθρῶν γὰρ ὑμῶν ἐπικρατεῖ. ἐκέλευσα τοῦτο νηστεῦσαι, ὡς νηστεύετε, καὶ ἀσώτωσ τοὺσ ἀσώτους κατεδεσθαι, τοὺς ὑμῖν μὴ συμψάλλοντας. Τάχυνον....

κε. Ὅλην οὖν τὴν καρδίαν ἐκδόντες πρὸν ὑμνωδίαν, τῷ πλάσαντι τὰσ καρδίασ μελωδίαν ἐξυφάνατε. λάβετε καὶ τὴν κτίσιν πρὸς εὐφημίαν τοῦ κτίστου, καὶ πάντα ἔργα Κυρίου εὐλογήσωσι τὸν Κύριον, ὅτι τὸ πῦρ πηγάζει. καὶ κάμινοσ δροσίζει τοὺς εἰσ αὐτὸν πιστεύοντασ καὶ τῆς πλάνης ἐκφεύγοντας. ἅπαντα γὰρ δοῦλα ὑπάρχει τοῖσ δουλεύουσι τῷ Κυρίῳ ὡς πλάστη καὶ Θεῷ. Ἡλίας τῶν ἄνω καὶ τῶν κάτω ἐδέσποζεν, ὅτι μέσον τῶν ἀθέων ἱστάμενος, τὸν Θεὸν ἐλιτάνευεν. Τάχυνον....

κζ. Στήσαντες οὖν οἱ παῖδεσ χορὸν ἐν μέσῳ καμίνου, οὐρανίαν ἐκκλησίαν ἀπειργάσατο τὴν κάμινον, ψάλλοντεσ μετ' ἀγγέλου τῷ ποιητῇ τῶν ἀγγέλων, καὶ πᾶσαν τὴν ὑμνωδίαν τῶν ἀσάρκων ἐκμιμούμενοι. εἶτα ἐμφορηθέντεσ ἐκ τῆσ λατρείας τότε τοῦ παναγίου Πνεύματοσ, ἴδον ἄλλο φρικτότερον. αὐτὸσ γὰρ ἐκεῖνος, ὃν ἔβλεπον ὡσ ἄγγελον, καθεκάστην ἠλλοιοῦτο μορφὴν, καὶ ὅτε μεν Θεὸσ, ἄλλοτε δὲ ὡσ ἄγγελοσ ἑωρᾶτο, καὶ τοτὲ μὲν ἐκέλευε, τοτὲ δὲ συνικέτευεν. Τάχυνον.....

κη. Ὅθεν καταπλαγέντεσ, ἐξέστησαν τὴν καρδίαν Σέδρα, Μισὰ καὶ ὁ ἄλλοσ, καὶ ἀλλήλοισ συνελάλησαν. Τί, φασὶν, ἐστὶ τοῦτο; οὐκ ἔστιν ἄγγελοσ οὗτος, ἀλλὰ Θεὸσ τῶν ἀγγέλων. ἐν ἀγγέλῳ ἡμῖν φαίνεται, ὁ εἰς τὸν κόσμον μέλλων ἔρχεσθαι καὶ σβεννύειν τὴν τῶν εἰδώλων γέενναν, ὥσπερ ταύτην τὴν κάμινον. Αὐτὸς ἡμῖν ὤφθη, καὶ τῶν μελλόντων ἔρχεσθαι τὴν εἰκόνα ὑπέδειξεν ἡμῖν. καθάπερ ἀρτίωσ γὰρ δροσίζει τὴν κάμινον, οὕτωσ μέλλει ὥσπερ ὑετὸσ κατελθεῖν, καὶ ἀρδεύειν τοὺσ ψάλλοντασ. Τάχυνον.....

κθ. Ὕμνος οὖν τῷ εὐσπλάγχνῳ, καὶ αἶνοσ τῷ φιλανθρώπῳ, ὅτι ἠξίωσεν ἡμᾶσ μεγάλης αὐτοῦ χάριτοσ. Δεῦτε, πᾶσα ἡ κτίσις, τὸν διοικοῦντα τὴν κτίσιν καὶ συγκροτοῦντα τὴν φύσιν ἱκετεύσωμεν, κραυγάζοντεσ. Ὁ πρὸσ ἡμᾶσ καὶ ἄνω καὶ ἐν ἑκάστῳ τόπῳ ἄφθαστε καὶ κρατούμενε, χωρητὲ καὶ ἀχώρητε, ὁ ἐπὶ πτερύγων ἀνέμων ἐποχούμενοσ καὶ τέχνῃ μὴ ἐμφέρων τοῖς βροτοῖς ὁ πόλου καὶ γαίησ καὶ πόντου τὴν κατάστασιν καὶ ἀνθρώπων διοικῶν τὴν ἐπίστασιν ἀφ' ἡμῶν παρακλήθητι Τάχυνον....

λ. Τούτων οὕτως ψαλλόντων, καὶ οὕτως λιτανευόντων, ὁ ἄναξ ἐπηρώτα, πρὸς τὴν κάμινον γενόμενος. Ἦλθεν οὖν μετὰ τρίτην, ὡς ἡ γραφὴ ἐκδιδάσκει, ἐλπίζων κόνιν εὑρίσκειν οὓσ παρέδωκεν. εἰσ κάμινον. Ὅμωσ ἐματαιώθη ἡ τούτου προσδοκία, καὶ ἐξεχύθη ἄθροον, ὡς καπνὸς, ἡ ἐλπὶς αὐτοῦ. ἐμβλέψας οὖν τότε ὁ τλήμων εἰσ τὴν κάμινον, ἐθεώρει φρικτὰ καὶ θαυμαστὰ, καὶ οὓς ἐδέσμευσε, ἐκείνος ἐκλελυμένους, ἀλλομένουσ, χαίροντας καὶ σκιρτῶντασ καὶ ᾄδοντας. Τάχυνον....

λα. Ὅλωσ δὲ ἠλλοιώθη καὶ συνεχύθη τὰσ φρένας, καὶ τί τελέσαι μὴ ἔχων, τοῖς σατράπαις ἀνεβόησεν. Τρεῖσ ἐρρίψαμεν κάτω, καὶ τέσσαρας αὐτοὺς βλέπω, καὶ τοῦ τετάρτου ἡ ὄψις συντρίβει τὴν καρδίαν μου... οὔτε γὰρ οἶδα τίνι συγκρῖναι τοῦτον ἔχω. Εἴπω ὅτι βρότος ἐστιν; ἀλλ' Υἱὸς Θεοῦ πέφυκεν. Δικαίως ἐσβέσθη ἡ κάμινοσ, οὐκ ἔχει γὰρ ἐπιμεῖναι πρὸς πύρινον ἡ φλόξ, ἀξίως ἡττήθη, οὐκ ἔχει γὰρ τὴν δύναμιν. ὑποστῆναι τὴν αὐγὴν τοῦ ἀστράπτοντος, καὶ τοῖς νέοις συμψάλλοντος. Τάχυνον,....

λβ. Σέβω οὖν, κἂν μὴ θέλω, τὸν Κύριον τῶν ἑβραίων, καὶ πᾶσι τοῖς ἐν τῇ γῇ μου διατάττω συναινέσαι μοι. Δεῦτε, ἅγιοι παῖδες,, ἐξέλθετε τῆς καμίνου, ἐπείσθην γὰρ ὅτι ὄντωσ ὁ Θεὸσ ὑμῶν Θεός ἐστιν. Ταῦτα ἐν Βαβυλῶνι ἐγένετο, ὡς γράφει, ὅτε ᾐχμαλωτίσθησαν οἱ Θεὸν παροργίσαντες. Διὸ, ἀδελφοί μου, ὁρᾶτε μὴ λυπήσωμεν τὸν δεσπότην καὶ δοθῶμεν ἐχθροῖσ. λυποῦμεν γὰρ τοῦτον, ἐὰν αὐτὸν ἀφήσωμεν καὶ τὴν πίστην τὴν ὀρθὴν παρατρώσωμεν, ἧς ἐκτὸς λέγειν ἄδεκτον. Τάχυνον, ὁ οἰκτίρμων. καὶ σπεῦσον, ὁ ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

На Рождество Богородицы.

Μηνὸς σεπτεμβρίου **η.** Κονδάκιον ἰδιόμελον εἰς τὸ γενέσιον τῆς ὑπεραγίας θεοτόκου, ἦχ. **δ.** οὗ ἡ ἀκροστιχίς. Ἡ ᾠδὴ Ρωμανοῦ.

р. 199—202. **ε.** Ρεῖθρον ἐξέβλυσας ζωῆς ἡμῖν ἡ τραφῆναι δοθεῖσα εἰς ἅγιον, καὶ τὴν ἀγγέλου τροφὴν ἀπολαύσασα, ἐν τοῖς ἁγίοις ἁγία ὑπάρχουσα, ὡς ἀρίσθη καὶ ναὸσ καὶ δοχεῖον Κυρίου. Παρθένοι σὺν δᾳσὶ τὴν παρθένον προσῆγον, τὸν ἥλιον ἐκτυποῦσαι ὅνπερ προσφέρειν ἔμελλε τοῖσ πιστοῖς. ἡ στεῖρα......

ζ. Ὢ μυστικῶν τελουμένων ἐν γῇ! μετὰ τόκον ἡ Ἄννα ἐβόησε τοῦτα πρὸς τὸν προγνώστην καὶ Θεὸν ἡμῶν. Εἰσήκουσας μου, ὄντως δέσποτα, εὐχῆς ὥσπερ. Ἄννης, τοῦ Ἠλὶ μεμφομένου τὴν μέθην. Αὐτὴ τὸν Σαμουὴλ ὑπισχνεῖται τεχθέντα κυρίῳ, ἱερατεύειν. Σὺ οὖν ὡς πρώην, ἐδωρήσω κἀμοί. ἡ στεῖρα....

η. Μέγα μοι ὑπάρχει νῦν, ἀγαθὲ, ὅτι τέτοκα παῖδα τὴν τίκτουσαν τὸν πρὸ αἰώνων δεσπότην σε καὶ Θεὸν, τὸν μετὰ τὸν τόκον σώαν φυλάττοντα. τὴν μητέρα ἑαυτοῦ, ὥσπερ ἔστι, παρθένον. αὐτὴν ἐν τῷ ναῷ σοὶ προσφέρω, οἰκτίρμων, αὐτὴ καὶ πύλη σὴ ἔσται τοῦ ἐξ ὑψίστου, ὥσπερ μετὰ χαρᾶς ἡ στεῖρα....

θ. Ἆρ οὐ ποτε καὶ Σάρρα ἡ πιστὴ ἐπεθύμει γεννῆσαι στειρεύουσα, πρὶν τεχθῆναι ἰσαὰκ τὸν υἱὸν αὐτῆς; αὐτὴ μὲν τὸν Κύριον ὑπεδέξατο, ἀνθρωπίνῃ ὡς μορφῇ, σὺν δυσὶν ἀρχαγγέλοις, καὶ λόγος πρὸς αὐτήν. Κατὰ τοῦτον τὸν καιρὸν, τῇ Σάρρα ὑπάρξει τέκνον, νῦν δὲ τῷ κόσμῳ χαίρουσα ἐκβοᾷ. Ἡ στεῖρα.....

ι. Νῦν Μαριὰμ ἐκλάμπει τοῖς καιροῖς. καὶ ναὸν τὸν ἅγιον οὐκ ἔλιπεν, ἣν Ζαχαρίας θεωρῶν ἀκμάζουσαν, λαχμῷ μνηστῆρα αὐτῇ καθυπέβαλεν, Ἰωσὴφ τὸν ἐκ Θεοῦ μνηστευσάμενον ταύτην. ἐδόθη γὰρ αὐτῷ δηλωθεῖσα ἐν ῥάβδῳ ἐκ τοῦ Πνεύματος ἁγίου, δι ἣν καὶ Ἄννα χαίρουσα ἐκβοᾷ. ἡ στεῖρα....

ια. Ὅλος σεπτὸς ὁ τόκος σου, σεμνὴ, (τοῦ γὰρ κόσμου τὸ καύχημα ἔτεκες) καὶ τῶν ἀνθρώπων πρεσβεία εὐπρόσδεκτος. αὐτὴ γὰρ τεῖχοσ καὶ στήριγμα καρτερὸν τῶν ἁπάντων ἐπ' αὐτῇ πεποιθότων ὑπάρχει, ἣν πᾶς χριστιανὸς ἔχει εἰς προστασίαν καὶ σκέπην, τῆς σωτηρίας τὲ καὶ ἐλπίδα καίπερ ἐκ τῆς γαστρὸς, ἡ στεῖρα.....

ιβ. Ὕψιστε Θεὲ, πάντων πλαστουργὸς, ὁ τῷ λόγῳ ποιήσας τὰ σύμπαντα καὶ σῇ σοφίᾳ σκευάσας τὸν ἄνθρωπον, αὐτὸς φιλάνθρωπος μόνος, εἰρήνην σὴν, ὡς οἰκτίρμων, σῷ λαῷ παρασχοῦ, ἐκφυλάττων τοὺς βασιλεῖς πιστοὺς, ἅμα τε τῷ ποιμένι ἀτάραχον καὶ τὴν ποίμνην φρουρῶν σκεπῶν τε, ἵνα πιστὸς βοᾷ. Ἡ στεῖρα τίκτει τὴν θεοτόκον καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Святителю Николаю 6-го Декабря.

Μηνὶ δεκεμβρίῳ ς. (sic). Κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου, ἀκροστιχίς. Αἶνος καὶ ὁ ψαλμὸς. τοῦ Ρωμανοῦ, πρὸς τὸ ἡ παρθένος. ἦχ. γ.

p. 203—209. **ε**. Ὁ ποιμὴν ὁ καλὸς τοὺς ἄρνας καλεσάμενοσ, καὶ ζωγρήσας αὐτοὺς ἔνδον τῆς μάνδρας κέκληκεν. ἁρπάξας δὲ τούτους ἐκ τοῦ ἀλλοτρίου, στερρᾷ σφενδόνι τοῦτον κατέτρωσεν τὸν πᾶσι πολέμιον. αὐτὸς οὖν πάλιν νίκην ἀράμενος, ὥσπερ καὶ Δαυὶδ κατὰ τοῦ Γαλιὰθ, λιθοκτονίσας, καταβαλὼν τε αἵρεσιν πᾶσαν δολερὰν τοῦ Σαβελλίου τοῦ δεινοῦ, Νεστορίου, Ἀρείου, τῶν λοιπῶν αἱρεσιάρχων, ὁ μέγας....

ς. Στολισμῷ ἀρετῆς σαφῶς περιβαλλόμενος, ὥσπερ ἄλλος Μωσῆς, ὁ μέγας ἐν τῇ χάριτι, Νικόλαε πάτερ. εἰσῆλθες ἐν γνόφῳ, ἐν τοῖς ἀδύτοις ὅλως μετάρσιος διῆλθες, πανένδοξε, τῇ θεία δόξῃ καταυγαζόμενος, καὶ μετ' Ἀαρὼν, Λευὶ καὶ Σαμουὴλ τὴν τάξιν τούτων ἱερατέυων Χριστῷ τῶν πάντων λυτρωτῇ, ἱερομύστα εὐκλέες. διὰ τοῦτο ἀγγέλοις ἐν τῷ φωτὶ συναυλίζει ὁ μέγασ.....

ζ. Καιρὸς νῦν ἐξειπεῖν....... какъ 4-й.

η. Ἄλλος ὥσπερ Μωσῆς ἐδείχθης, ἱερώτατε, ἐν τῷ γνόφῳ εἰσδὺς τῶν ἀρετῶν, θεόπνευστε. ἐκεῖνος γὰρ νόμον ἐδέξατο θεῖον. αὐτὸς δὲ, πάτερ, ὅλον δεξάμενος τοῦ νόμου τὸν Κύριον, χερσὶν ἀθώοις τοῦτον ἐμέλισας πιστοῖς, μεταδοὺς θεῖα ὀψόνια, ὅσιε ῥύστα, Χριστοῦ ὑπάρχων καὶ ἐναντίον τοῦ Θεοῦ ὡς Ἀαρὼν, καὶ Σαμουὴλ, διὰ τοῦτο ελλάμπεις. καὶ φωτίζεις τοὺς ἐν πίστει, ὁ μέγας......

θ. Ἱερῶς γὰρ ἡμῖν ὁ ἀκριβὴς διδάσκαλος ἐκδιδάσκει σαφῶσ τὴν γνῶσιν θαυμάτων αὐτοῦ, τῆς ἀθεωρήτου σοφιας τὴν χάριν, αὐτὸς γὰρ πᾶσι πλοῦτον διένειμεν, ἐσκόρπισεν, ἔδωκεν, τοῖς δεομένοις ὅλως ἐπήρκεσεν, καθὼς ἐκβοᾷ θεοπάτωρ Δαυίδ. Τὸ κέρας τοῦτου ἐν δόξῃ ἔσται καὶ ὑψωθήσεται φωτὶ, ὅπως τῆς θείας λαμπρυνθῇ καταυγάσεως οὗτος πρεσβεύῃ τῷ κυρίῳ, ὁ μέγας.....

ι. Ὁ τὴν γῆν, ἀγαθὲ, ἐφ' ὕδατι πηξάμενος, στήριξον μου τὸν νοῦν εἰς τὸν φόβον σου, Κύριε, τοῦ λέγειν καὶ πράττειν τὰ συμφέροντα μοι, καὶ καταγγέλλειν βίον ἐνάρετον τοῦ Μύροισ οἰκήσαντος, καὶ μῦρον θεῖον ἐκ τῆς ψυχῆς αὐτοῦ, ὥσπερ ποταμὸν, ἀνοπηγάσαντος, μυρίζων πάντας τοὺς δυσωδίᾳ ἁμαρτημάτων χαλεπῶν νενοσηκότασ τὰς ψυχὰς, καὶ ἡδύνων τοὺς φθόγγους καὶ τοὺς τρόπους τῶν βοώντων. ὁ μέγας..

ια. Ψήφῳ προγνωστικῇ γεννήθης, ἱερώτατε, ποσὶν ἔστησ εὐθὺς ὀρθοποδῶν, Νικόλαε, δεικνύων ἐν τούτῳ ὅτι συμπατήσεις τὴν ἐπηρμένην ὀφρὺν τοῦ δράκοντος καὶ στήσεις τὴν ἄμετρον αὐτοῦ κακίαν, τοῦ μὴ προβαίνειν νῦν ἐπὶ τοὺς ἐν σοὶ πιστῶς προσφεύγοντας καὶ ἀνυμνοῦτας τὴν ἱερὰν σου καὶ φωτοφόρον ἑορτὴν, ἣν ἐμεγάλυνε Χριστὸς, ὁ καλέσας σε. πάτερ, ἱερέα καὶ ποιμένα, ὁ μέγας....

ιβ. Ἀμβακοὺμ μὲν τὸ πρὶν πρὸς προφήτην ἐστέλλετο, ἐπιφέρων τροφὰς ἐν τῷ λάκκῳ, ὡς γέγραπται. αὐτὸσ δὲ θεόφρων, ἰσόμοιρον δρόμον διατελέσας, πόλιν προέφθασας, ἐν ᾗ οἱ κατάκριτοι ἀδίκῳ ψήφῳ ὥσπερ ἐν λάκκῳ νῦν ἔνδον τῆς φρουρᾶς δεινῶς κατείχοντο, καὶ τοῦ θανάτου αὐτοὺς ἁρπάξας, ζωὴν προέθηκας αὐτοῖσ ἀντὶ βρωμάτων δαψιλῶν. διὰ τοῦτο σωθέντες παρ̕ ἐλπίδα σε ὑμνοῦμεν, ὁ μέγας...

ιγ. Λυτρωθέντες σφαγῆς ἀδικωτάτης, ἔνδοξε, οἱ τὴν σὴν φοβερὰν προστασίαν καλέσαντες, ἐδίδαξαν πάντας καλεῖν ἐν κινδύνοις τὸ ὄνομά σου καὶ ἀπαλλάττεσθαι συμφορῶν καὶ θλίψεων, ἐξ ὧν προφθάσας ῥῦσαι τοὺς δούλους σου, τοὺς ἐν τῷ ναῷ τῷ σῷ κραυγάζοντας. Μὴ ἐπιλάθῃ· ἐν σοὶ γὰρ πᾶσιν φροντίδα ψυχικὴν ἡμῶν καὶ τὴν τοῦ σώματος πιστῶς ἀνεθέμεθα, πάτερ, καὶ ὑμνοῦμεν σε ἀυτόυστως, ὁ μέγασ.,..

ιδ. Μιμητὴς τοῦ Θεοῦ κατὰ πάντα γενόμενος, τὴν ψυχήν σου, σοφὲ, ἔθηκας ὑπὲρ ποίμνης σου, ἀεὶ κινδυνέυων ὑπὲρ ταύτης, πάτερ, διὸ καὶ πάντες οἱ ποιμαινόμενοι τῇ ῥάβδῳ τῆσ γλώττης σου. φωνῆς γλυκείασ ἀκούοντεσ, αὐτὴν ἀνεγίνωσκον, καὶ ἠκολούθουν σοι, τοῦ ἀλλοτρίου ἀποχωροῦντες. καὶ πρὸς μονὰς τὰς σὰς πιστῶς, κατασκηνοῦντεσ ὁμαδὸν, μεθ' ὧν ἅπαντασ ἡμᾶς ἐπιστηρίξῃς πρεσβείαις, ὁ μέγασ....

ιε. Ὁ Θεσβίτης ποτὲ ἤγετο ἐπιδίφριοσ. σὺ δὲ πάτερ, ταῖς σαῖς ἀρεταῖς ὡς ἐν ἅρματι ἐπιβὰς, ἀνῆλθες ἔνδον τῶν ἀδύτων, μηλωτὴν ἄλλην ἐγκαταλείψας, σοῦ τὸ σῶμα τὸ ἄμωμον, ἁμαρτημάτων πέλαγος σχίζον τε καὶ τὰς ἀμοιβὰς διπλασιάζον τε τοῖσ σοῖσ οἰκέταις, ὡς ἐλισσαίῳ ἦλθεν ἡ δύναμις δισσῶς τοῦ παναγίου Πνεύματος, οὗ ὑπάρξασ δοχεῖον, ἐδειχθῆς θαυματοφόροσ, ὁ μέγασ.........

ιϛ. Σταυρωτύπως Μωσῆς τὸν Ἀμαλὲκ κατέβαλε. καὶ σὺ διὰ σταυροῦ τὸν διάβολον ἔρρηξας. διὰ καὶ τὸν παῖδα, ὃν ἔμελλεν ἄφνω ἀπονεκρῶσαι, ζῶντα παρέστησασ εὐχαῖς σου, Νικόλαε, καὶ τῇ ἰδίᾳ χώρᾳ ἀπέδωκασ. ὅνπερ οἱ λαοὶ κατανοήσαντεσ, πίστει καὶ πόθῳ προσήρχοντο σοι, εὐλογηθῆναι παρὰ σοῦ καθικετέυοντεσ θερμῶσ, ἀλλ' ὡς τούτοις παρέσχες καὶ ἡμῖν τὴν χάριν δίδου, ὁ μέγασ ....

ιζ. Τὸν σοφὸν Ἰωσὴφ μιμησάμενος, ἔνδοξε, ὡς ἐκεῖνος λαοὺς ἔτρεψας καὶ ἐχόρτασας, μεῖζον δὲ τοῦ τότε τὸ νῦν πεπραγμένον. ἐκεῖνος μὲν γὰρ σῖτον ἐσκόρπιζεν πλουσίως τοῖς χρήζουσι. σὺ δὲ θεόφρων, πάτερ Νικόλαε, τον λόγον τοῦ Χριστοῦ ἐπήγγειλας σοφῶς, εἰς τὰς καρδίας τῶν πενομένων ἐπεχορήγεις, ἐκβοῶν. Ὅτι οὐ ζήσεται βροτὸς ἐπὶ μόνῳ τῷ ἄρτῳ. ὃ πιστῶς σὲ ἀνευφήμουν, ὁ μέγας....

ιη. Ὀπαδὸς ἀψευδῶς τῶν ἀποστόλων, πάντιμε, γεγονὸσ τὴν αὐτῶν πολιτείαν ἐζήλωσας, Νικόλαε πάτερ, σοφὲ ἱεράρχα. διὸ καὶ πάντα πᾶσι γενόμενος, τοὺς πάντασ ἐκέρδησας. τοὺσ μὲν πλουσίουσ ἐν αὐστηρότητι μὴ κακοποιεῖν ἀεὶ ὠθούμενος. πτωχοὺς δὲ πάλιν παιδέυων φέρειν μετὰ χαρᾶς τοὺς πειρασμοὺς, καὶ ἀναμένειν τὸν μισθὸν, ὃν παρέχει ὁ μόνος ἐλεήμων, σὲ δοξάσας, ὁ μέγασ ....

ιθ. Ὑπὸ τῆς ὑψηλῆς ταπεινώσεως, ἅγιε, τὴν ψυχὴν δεσμευθεὶς, ὀργιζόμενος πώποτε οὐδ' ὅλως ἐφάνησ κατὰ τοῦ πλησίον, τὸν γὰρ ἑτέρως δόγμα ἀλλόφυλον τῇ πίστει συνάπτοντα ἐξουθενήσας καὶ ἀπωσάμενος, ὕστερον αὐτῷ πραέως ἔφησας. Δεῦρο, ἑταῖρε, διαλλαγῶμεν, ἵνα ὁ ἥλιος ἡμῶν μὴ ἐπιδύσῃ τῇ ὀργῇ. Διὰ τοῦτο καὶ φίλοσ ἀνεδείχθης τοῦ Κυρίου, ὁ μέγας,...

κ. Ῥύπον βίου φυγὼν τὴν ἁγνείαν ἐνδεδύσο, καὶ ὡς ψάλλει Δαυὶδ ὁ μέγας ἐν τῷ πνεύματι. ἀθῴως τὰσ χεῖρας ἐνίψω, θεόφρων, κυκλῶσαι θέλων θυσιαστήριον τὸ πᾶσιν σεβάσμιον, ἐν ᾧ ἀμέμπτως, πάτερ, θυόμενοσ τὸν ἀμνὸν Θεοῦ, ἐδείχθης πάσῃ γῇ Ἀαρὼν ἄλλος, στολὴν οὐ πλύνων, ἀλλ' ἀπαλείφων συμφορὰς τοῦ πιστοτάτου σου λαοῦ. διὸ σπεῦσον καὶ φθάσον, σῶσον ἡμᾶς σαῖς πρεσβείαις, ὁ μέγας.....

κα. Ὡς δογμάτων ὀρθῶν φύλαξ ὢν ἀκριβέστατος, τοὺσ ἑτέρως φρονεῖν ἐπιχειροῦντασ ἤλασασ ἐκ τῆσ τοῦ Κυρίου αὐλῆσ, ἱεράρχα, καὶ τῇ σφενδόνῃ τῶν σῶν ἐντεύξεων αὐτοὺς ἐθανάτωσας. διὸ καὶ κλέοσ ἄνωθεν εἴληφας, βασιλεῦσι γῆς ζῶν ἐπιφαίνεσθαι, καὶ μετὰ τέλος, ὡσ ζῶν προφθάνεις. καὶ ἀπαλλάττεις πειρασμῶν τοὺς τὸ σὸν ὄνομα πιστῶσ ἐν κινδύνοισ καλοῦντας, Νικόλαε. σὺ γὰρ πέλεις ὁ μέγασ....

κβ. Μὴ βραδύνῃς τὴν σὴν προστασίαν δωρήσασθαι τοῖσ ἐν πίστει θερμῇ αὐτὴν χρήζουσι πάντιμε, ἀεὶ γὰρ σὲ πάντεσ προστάτην καὶ ῥύστην. ἐν πειρασμοῖσ τὲ καὶ περιστάσεσιν συνήθως προβάλλομεν, πεπειραμένοι τῆσ σῆσ ταχύτητοσ καὶ τῆσ συμπαθοῦς στοργῆσ σου ἅγιε. πῶσ παρ̕ ἐλπίδα δι' ὀνειράτων ἄνδρασ ἐρρύσω τῆσ φρουρᾶσ θανατωθῆναι μέλλοντας, ἐπὶ μνήμης δὲ μόνον τὸ ὄνομα σου κεκτημένους, ὁ μέγας.

κγ. Ἀθυμία πολλὴ νῦν ἡμᾶς διεδέξατο ἐξ ἀμέτρων κακῶν, καὶ οὐκ ἔστιν ἀνάπνευσις, ἀλλὰ σὺ προφθάσας, Νικόλαε πάτερ, κεκακωμένους ἐξ ἀπογνώσεως, καὶ ᾅδῃ ἐγγίζοντας, παράσχου ῥῶσιν τῆσ ἐν σοὶ χάριτοσ, φάρμακον τιθεὶς, θεομακάριστε, τῆς μετανοίας τὸ γλυκὺ πόμα, καὶ ἀναψύχων εὐχερῶς τῇ τῆς ἐλπίδοσ ἀσφαλεῖ προσδοκίᾳ, νῦν ὅπως σωζόμενοί σε ὑμνῶμεν, ὁ μέγας.....

κδ. Νενευκότες πρὸς γῆν καὶ ψυχῇ καὶ τῷ σώματι, προσκαλούμεθα σου τὴν ὀξεῖαν ἀντίληψιν. θανάτου ῥομφαία ἡμᾶς γὰρ συνέχει, καὶ τυρανοῦσιν ἐχθροὶ ἀσώματοι, Νικόλαε ὅσιε, οὓς σὺ προφθάσας δεῖξον ἀνίσχυρον γνώμην δολερὰν, καὶ ὑψηλόφρονα ταπείνου, κέρας ὑψῶν ἐν πᾶσι τῶν εὐφημούντων σου πιστῶς τὴν παναγίαν ἑορτὴν ἐξ ἀγάπης καρδίας, καὶ καλούντων ὄνομα σου, ὁ μέγας....

κε. Ὀυδεὶς ἐν παρασμοῖς σε πότε προσεκάλεσεν, καὶ τὴν λύσιν εὐθὺς οὐκ ἐδέξατο, ἄγιε. τοὺς μὲν ἐν θαλάσσῃ. τοὺς δὲ ἐν τῇ γῇ γὰρ οὐ διαλείπεις, σώζων ἑκάστοτε, ὡς ἔχων τὸ δύνασθαι παρὰ τοῦ μόνου πάντα ποιήσαντος, καὶ νῦν τὴν ἰσχὺν δωρουμένου Θεοῦ τοῖς αὐτοῦ δούλοις, ὡς ὁ προφήτης μεγαλοφώνως ἐκβοᾷ. Τῶν φοβουμένων τὸν Θεὸν ἐκπληρώσει τὴν γνώμην, ὧν καὶ αὐτὸς εἷς ὑπάρχεις, ὁ μέγας....

κϛ. Ὑλικῶν ἀφορμῶν οὐκ ἐφίεσαι, στέφανον ἐκ χειρὸς τοῦ Θεοῦ κομισάμενος, ἔνδοξε. τὰ γέρα τῆς νίκης, Νικόλαε πάτερ, ἀλλ᾽ ὡς ὑπάρχων ἀεὶ φιλόστοργος, τὸν ὕμνον νῦν πρόσδεξαι, ὃν ἐξ απόρων χειλέων ἔπλεξα μύρω σῶν εὐχῶν τὸ τῆς καρδίας μου δυσῶδες ἅπαν καταμυρίζων, καὶ καταρδέυων μου τὸν νοῦν ὄμβροις τοῦ θείου Πνεύματος τοῦ δοξάζειν. ἀεὶ σὲ εἰς τοὺς αἰῶνας αἰώνων, ὁ μέγας μύστης τῆς τοῦ Θεοῦ χάριτος.

1-го Ноября св. Безсребренникамъ Козмѣ и Даміану.

Μηνὶ Νοεμβρίω. ά. τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ Κοντάκιον, ἤχ. β΄. φέρον ἀκροστιχίδα. ποίημα Ῥωμανοῦ.

β. 219—222. Μέγας ὁ Κύριος ὁ φωτίζων τοὺς δικαίους, καὶ πάντας ὁδηγῶν τοὺς πιστοὺς πρὸς βασιλείαν αἰώνιον. Ἐν ὁμονοίᾳ γὰρ ἐν τῷ βίῳ καὶ ὁμόψυχοι πέλοντες τῇ καρδίᾳ, τὴν εἰς χριστὸν ἐβεβαιώσαντο πίστιν φυλάξαντες, τοὺς τρόπους τοὺς φιληδόνους καὶ σωμάτων τὰ πάθη νικήσαντες, ἄφθαρτον στέφανον ἔχουσι, καὶ Χριστῷ ὑπὲρ πάντων πρεσβέυουσιν, τὸν κόσμον.

ζ. Ἄξιοι ἅγιοι τοῦ νυμφῶνος καὶ τῆς κλήσεως πάντων, οἱ τῷ κόσμῳ παντὶ παρέχοντες τὰ χαρίσματα ἔργοις καὶ λόγοις, θεοῦ προνοίᾳ, δωρεὰν καταπέμποντες τὰς ἰάσεις, τούτων ἡμᾶς ὡς ἐν βίῳ θνητῷ νῦν ποθοῦντες τυχεῖν, κἀκεῖσε τοῖς αἰωνίοις ἀγαθοῖς ἀπολαῦσαι αἰτούμενοι, ὡς κυβερνῆται κόσμου παντὸς, ἡμᾶς ῥύσασθε τῶν περιστασέων, τὸν κόσμον.....

η. Ῥήματα θεῖα καὶ πᾶσαν γνῶσιν τὴν ἐξ ὕψους λαβόντες, γραμματεῖς καὶ σοφοὺς νικήσαντες, διὰ χάριτοσ, τοῦ διαβόλου τὰς πολυπλόκους κατεβάλετε, μάρτυρες, ἐνεργείας, βίον, ὡς χρὴ, καθαρόν τε καὶ ἀκτήμονα ἔχοντες, ἀμώμως πολιτευθέντες, καὶ φιλόσαρκον βίον μισήσαντες, ἀεὶ μενόντων ἐτύχετε, ὡς φωστῆρες τοῖς θαύμασι λάμποντες, τὸν κόσμον....

θ. Ὢ τῆς ἀφάτου φιλανθρωπίας! ἀοράτως τοῖς πᾶσι φανεροῦνται πιστοῖς, δεικνύντες τὴν συγκατάβασιν πένησιν ἅμα καὶ τοῖς πλουσίοις, ἰατρείας χαρίσμασιν τοῦ σωτῆρος βρύουσι νοῦν, ὡς πηγή τις καθεστῶτες ἀδάπανος. πρεσβείαις τῶν ἀναργύρων, μέχρι τέλους τὸν βίον ἀχείμαστον κυβέρνησον ἡμῶν, Κύριε, ἵνα εὕρωμεν ἔλεος δι᾽ αὐτῶν, τὸν κόσμον....

ι. Μεγὰ, ἐξαίσιον ἦν τὸ θαῦμα, πῶς τὸ κτῆνος τοῖς ὄχλοις ἀνθρωπίνως λαλεῖ, μὴ ἀπ᾽ ἀλλήλων γωρίζεσθαι, ἀποκαλύψει καὶ γνώσει θεῖα, ὡς τὸ κτῆνος τῷ πάλαι Βαλαὰμ ἔφη. Μὴ σχίζεσθε ἀπ᾽ ἀλλήλων μηδ᾽ ὅλως. ὦ ἄνθρωποι. ἐπέμφθην ὑπὸ ἀγγέλου, ἀναγγεῖλαι ὑμῖν τὴν ἀλήθειαν, καὶ γνῶσιν δεῖξαι τοῖς ἅπασιν, ὡς ἀναίτιοι πέλουσιν ἐκλεκτοὶ, τὸ κόσμον.....

ια. Ἄπασαν ἔννοιαν ὑπερβαίνει καὶ τοῦ ὄφεως σπάσις ἐκ τῶν σπλάγχνων ἀνδρὸς ἐκβαλλομένου τῇ χάριτι. Ὄφις γὰρ δόλιος ἐνεδρέυων, ὁ τοῖς πᾶσι πολέμιος καὶ ἐχθραίνων, ἕρπει δεινῶς, καὶ εἰσῆλθεν ἐν στόματι τοῦ γεωργοῦ ὑπνοῦντος ὑπὸ τοῦ δένδρου. ἀλλ᾽ εὐθέως προσφεύγει ὁ ἄνθρωπος ἐν τῷ ναῷ ἁγίων σπουδῇ, καὶ διὸ καὶ τὸν δολιον ἤμεσε, τὸν κόσμον.

ιβ. Νῦν μέγα ἔργον τὸ τοῦ γυναίου, πῶς τῷ ὅρκῳ δεσμέυει τὸν ἀεὶ δυσμενῆ, ἐν τοῖς ἁγίοις πιστεύσασα. βόθρῳ γὰρ ταύτην βάλλειν σπουδάσας ὁ πολέμιος, βόθρῳ αὐτὸς ἐμπίπτει ὁ σοβαρὸς, ὑπὸ πόδας πεσὼν ἁγίων Χριστοῦ, καὶ κεῖται ἐν κατωτάτοις, ὅπου μένει αὐτὸν πῦρ αἰώνιον. διὸ ἡμᾶς ἐλευθέρωσον ἀπὸ τοῦ πονηροῦ, ὁ θεὸς ἡμῶν. τὸν κόσμον....

ιγ. Ὅλως οὐκ ἔλαθε τοὺς ἁγίους ἐμβαλεῖν διχονοίας ἐν αὐτοῖς ὁ δεινὸς διὰ τῶν δώρων σκεψάμενος, καὶ χωρισμὸν βουληθεὶς ποιῆσαι, διεγείρων τὸ γύναιον διὰ ὅρκων. ὅμως ὁ εἷς δι᾽ αὐτοῦ τῆς ἀκακίας δεξάμενος, μηδ᾽ ὅλως

θέλων ὠργίσθη κατὰ τῆς δωρεᾶς ἀχράντου Θεοῦ, τὸν βίον ὅλον ἐῤῥύπωσεν, οὐδὲν τῶν αἰωνίων ἐκτήσατο, τὸν κόσμον.....

ιД. Ὕμνον οὖν πάντες προσφέρομέν σοι διὰ τῶν ἀναργύρων καὶ σοφῶν ἰατρῶν, προσδέξασθαι ὡς θυμίαμα καὶ ὁλοκαύτωμα εὐωδίας ἐξαιτούμενοι, νόσοις κατασχεθέντες, Πάτερ Υἱὲ καὶ τὸ Πνεῦμα τὲ πανάγιον, σέβοντες τὸ κράτος σῆς βασιλείας, τρισαγίαν φωνὴν ἀναπέμποντες, ρυσθῶμεν πάντες ἐκ θλίψεως καὶ τῆς κρίσεως ἧς ἠπείλησας, τὸν κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

На умершихъ св. Анастасія.

р. 242. 1-й Кондакъ. Ὁ τῆς ζωῆς τῶν ἀνθρώπων καὶ τοῦ θανάτου ἐξουσιάζων μεθιστάνων δὲ πάντας σῷ προστάγματι, ὅτι θέλεις ἐλεῆσαι, καὶ τὸν μεταστάντα ἀνάπαυσον, ὡς μόνος θεὸς οἰκτίρμων.

р. 245, аГ. Ὑπομνήσκω ὑμᾶς πρὸς τὸν Κύριον, ἀδελφοί μου καὶ τέκνα καὶ φίλοι μου μή μου λάθεσθε, ὅταν προσεύχησθε, δυσωπῶ, ἱκετεύω καὶ δέομαι. μάθετε ταῦτα εἰς μνημόσυνον, καὶ θρηνήσατέ με νυκτὸς καὶ ἡμέρας. ὡς Ἰὼβ πρὸς τοὺς φίλους, ἐρῶ πρὸς ὑμᾶς. καθίσατε, καθίσατε, πάλιν εἰπεῖν τὸ ἀλληλούϊα. Въ Аѳонскомъ этотъ икосъ 14-й, а 14-й на мѣсто сего написанъ.

р. 246. ıѲ. Ἰδοὺ νῦν, ἀδελφοί, ἡσυχάσατε, τῷ κειμένῳ λοιπὸν μὴ ὀχλήσατε, ἠρεμήσατε, θορύβου λύσατε, καὶ τὸ μέγα μυστήριον βλέπετε. φοβερᾶ ὥρα σιωπήσατε, ἵνα μετ' εἰρήνης ἡ ψυχὴ ἐξέλθη. εἰς ἀγῶνα γὰρ μέγαν συνέρχεται, καὶ σὺν φόβῳ πολλῷ δυσωπεῖ τὸν Χριστὸν τῷ ἀλληλούϊα.

кѲ. Παναγία παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον, δισωπῶ, ἱκετεύω καὶ δέομαι, δυσωποῦσα μὴ παύσῃ τὸν Κύριον ὑπὲρ τοῦ κοιμηθέντος δούλου σου, ἄχραντε, ὅπως εὕρῃ ἐκεῖ ἄφεσιν πταισμάτων ἐκ ἡμέρα τῆς κρίσεως, ὡς παῤῥησίαν ἔχεις, δυσωπεῖν τὸν υἱόν σου τὸ ἀλληλούϊα,

Акаѳистъ на успеніе Божіей Матери.

Κοντάκιον, ἦχ. Д. πρὸς τὸ. Τῇ ὑπερμάχῳ, потомъ οἱ οἶκοι πρὸς τό. Ἄγγελος πρωτοστάτης.

р. 263—272. ά. Τῇ ἀθανάτῳ καὶ σεπτῇ μεταστάσει σου, πληθὺς ἀΰλων λειτουργῶν ἀνυμνῆσαί σε παρεγένετο, παρθένε, σὺν τῷ υἱῷ σου. ἐκ περάτων δὲ τοῦ κόσμου οἱ ἀπόστολοι, ἁρπαζόμενοι νεφέλαις, συνηθροίζοντο, καὶ ἐβόων σοι χαῖρε, νύμφη ἀνύμφευτε.

Οἱ ἄγγελοι.

Ἄγγελοι οὐρανόθεν τὴν σὴν κύησιν πάλαι ἀνύμνησαν παρθένε, ἀξίως. καὶ νῦν τὴν ἱερὰν καὶ σεπτὴν μεθ ἡμῶν τῶν κάτω εὐσεβῶς κοίμησιν δοξάζουσιν ἐν ᾄσμασιν, κραυγάζοντες πρὸς σὲ τοιαῦτα. Χαῖρε, χαρᾶς τῶν ἀνθρώπων βρῶσις. χαῖρε, ἀρᾶς τῶν προγόνων λύσις. χαῖρε, ἀοράτου πατρὸς νύμφη ἄφθορε. χαῖρε, συνανάρχου Υἱοῦ μῆτερ ἄνανδρε. χαῖρε, κλῖμαξ ἀναφέρουσα ἀπὸ γῆς εἰς οὐρανόν. χαῖρε, γέφυρα εἰσάγουσα εἰς παράδεισον τερπνόν. χαῖρε, ὅτι χοροί σε ἀνυμνοῦσιν οἱ ἄνω. χαῖρε, ὅτι βροτοί σε προσκυνοῦσιν οἱ κάτω. χαῖρε, ἁγνή, παρθένων τὸ καύχημα. χαῖρε σεμνή, σεμνῶν ἀγαλλίαμα. χαῖρε, δι' ἧς φάλαγξ φεύγει δαιμόνων. χαῖρε, δι' ἧς φύσις χαίρει ἀνθρώπων. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Πέτρος.

γ'. Βλέπων Πέτρος ἁγίαν, τὴν τὸν πάντων δεσπότην τεκοῦσαν, ἐπὶ κλίνης, ἐβόα. Ὦ πῶς ἡ τὴν ζωὴν ἐν γαστρὶ συλλαβοῦσα, κόρη, ὡς νεκρὰ φαίνῃ μοι; ἀλλ' ὅμως ὡς αἰτίαν σε χαρᾶς ἡμῶν δοξάσω οὕτως. Χαῖρε, κρηπὶς τῶν θεοῦ δωμάτων. χαῖρε, σφραγὶς τῶν ἐμῶν ῥημάτων. χαῖρε, τοῦ ἀδύτου φωτὸς θεῖον ὄχημα. χαῖρε, τοῦ ἀπείρου Θεοῦ ἐνδαίτημα. χαῖρε, πέλαγος ἀμέτρητον βουλευμάτων θεϊκῶν. χαῖρε, βάθος ἀκατάφθαστον τεραστίων φοβερῶν. χαῖρε, ὅτι αὐλός σε ἀποστόλων δοξάζει. χαῖρε, ὅτι χορός σε ἀσωμάτων γεραίρει. χαῖρε, σεπτὸν καὶ πάγχρυσον κύπελλον χαῖρε, τερπνὸν καὶ ἅγιον πύργωμα. χαῖρε, πρὸς ἣν μαθηταὶ ἦλθον ἄφνω. χαῖρε, πρὸς ἣν καὶ ἐγὼ ταῦτα ᾄδω. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Παῦλος.

δ'. Γλῶσσαν Πνεύματι ἔχων κινουμένην ὁ Παῦλος, ἁγνὴν Θεοῦ μητέρα ὡς εἶδεν ἐν σκίμποδι, ὡς ἄπνουν νεκράν, τοὺς ἀχράντους πόδας προσκυνῶν, ἔλεγε. Κᾀμὲ προσδέχου, πάναγνε, κραυγάζοντα σὺν Πέτρῳ οὕτως. Χαῖρε, ζωῆς ἀϊδίου ῥίζα. χαῖρε, τρυφῆς ἀκηράτου θύρα. χαῖρε, ἀληθείας Χριστοῦ μῆτερ ἄνανδρε. χαῖρε, ἀβλεψίας

ἐμῆς λύχνε ἄσβεστε. χαῖρε, στάμνε, κῆπε, τράπεζα, καὶ πανάγιε ναέ. χαῖρε, βάτε ἀκατάφλεκτε, καὶ παράδεισε τερπνέ. χαῖρε, ὅτι μεγέστης τῶν φθαρτῶν, θεοδοχε. χαῖρε, ὅτι μετέχεις τῶν τερπνῶν, θεοτόκε. χαῖρε, χορῶν παρθένων βασίλισσα. χαῖρε, ἁγνῶν στομάτων ἐκλάλημα. χαῖρε, δι ἧς Πέτρος εἶπεν ἃ εἶπεν. χαῖρε, δι ἧς σὺν αὐτῷ κἀγὼ κράζω. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Ἰωάννης.

ε. Δόξαν ἔχοντα θείαν παρθενίας, τὸν μέγαν σοφόν τε Ἰωάννην Ἀνδρέας ἱστάμενον, κατηφῆ, στυγνόν, διεγείρει μέλπειν πρὸ αὐτοῦ ἄσμασι τὴν πάναγνον, καὶ ἔκραξεν εὐθέως ὁ ἁγνὸς τοιαῦτα. χαῖρε, πηγὴ παρθενίας, κόρη. χαῖρε, σεμνὴ ἀληθείας πύλη. χαῖρε, τοῦ θεσβίτου πυρίμορφον ὄχημα. χαῖρε, τοῦ υἱοῦ σου ἐμοὶ περιήχημα. χαῖρε, δέσποινα ἀμόλυντε, καὶ ἁγνὴ περιστερά χαῖρε, ἄχραντε, πανάσπιλε, καὶ ἀκήρατε ἀμνάς. χαῖρε, ὅτι παρθένων πᾶσα γλῶττα σε μέλπει. χαῖρε, ὅτι ἁγνῶν σὲ ἅπαν στόμα λιγαίνει. χαῖρε, λαβὶς προφήτας καθαίρουσα. χαῖρε, βολὶς πιστοὺς καταυγάζουσα. χαῖρε, σεπτὴ καὶ λυχνία καὶ κλίνη. χαῖρε, ἐμὴ καὶ κυρία καὶ μῆτερ. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Ἀνδρέας.

ς. Εἶδεν ἄφνω Ἀνδρέας τὸν ἁγνὸν Ἰωάννην χαρᾶς, ὡς ᾖσε ταῦτα, πλησθέντα. καὶ ἄρας τὴν φωνὴν λιγυρῶς, καὶ Ἀνδρέας ἔφη. Ὦ σεμνή, δέχοιο σὺν πᾶσι σὲ γεραίροντα, καὶ κράζοντα θερμῶς σοι οὕτως. χαῖρε, παστὰς χρυσαυγὴς τοῦ Λόγου. χαῖρε λαμπὰς φωταυγὴς τοῦ κόσμου. χαῖρε τοῦ τεχθέντος ἐκ σοῦ οἰκητήριον. χαῖρε, τοῦ πεσόντος πρὸ σοῦ ἱλαστήριον. χαῖρε. θρόνῳ παρεδρεύουσα τοῦ υἱοῦ βασιλικᾶς. χαῖρε, κόσμῳ προστατεύουσα τῶν τιμώντων σε πιστῶς. χαῖρε, ὅτι ἀνέπτης οὐρανῶν εἰς τὰ ὕψη. χαῖρε, ὅτι προφθάνεις τῶν ἀνθρώπων τὰ γένη. χαῖρε, τερπνὴ καὶ πάγκαρπε ἄρουρα. χαῖρε, σεπτὴ καὶ πάγχρυσε τράπεζα. χαῖρε, πρὸς ἣν Γαβριὴλ εἶπε. χαῖρε. χαῖρε, πρὸς ἣν καὶ ἐγὼ οὕτως ᾄδω. χαῖρε νύμφη ἀνύμφευτε.

Ὁ Ἰάκωβος.

ζ. Ζώντων τε καὶ θανόντων τὸν ἐκ σοῦ γεννηθέντα Ἰάκωβος γινώσκων δεσπότην, ὡς εἶδε σε νεκρὰν ἐκπλαγείς, τὴν ζωῆς μητέρα, εὐμελῶς ἔλεγεν. Τοῦ μνήστορος προσδέχου με κραυγάζοντα, ἁγνή, τὸν γόνον. χαῖρε, φωτὸς ἀνεσπέρου οἶκος. χαῖρε, σεπτὸς καὶ φωσφόρος λύχνος. χαῖρε, εὐδοκίας πατρικῆς φανέρωσις. χαῖρε, ἁμαρτίας μητρικῆς διόρθωσις. χαῖρε τόπε καὶ παλάτιον τοῦ τῶν ὅλων ποιητοῦ. χαῖρε, στύλε καὶ κατάσκιον ὄρος ὄντως τοῦ Θεοῦ. χαῖρε, ὅτι ἀγγέλων σ' ἀνεμέλπει σε τάξις. χαῖρε, ὅτι ἀνθρώπων μακαρίζει σε φύσις. χαῖρε, σεπτῶν ἀνάκτων διάδημα. χαῖρε, πιστῶν ἀνθρώπων διάζωσμα, χαῖρε, σοφῶν ἀποστόλων τὸ κῦδος. χαῖρε, στερρῶν ἀθλοφόρων τὸ κλέος. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Φίλιππος.

η. Ἦχου λόγων ἀκούσας τῶν ᾀσάντων ἁγίων, ὁ φίλιππος εὐθέως ἐν φόβῳ ἐνώπιον τῆς κλίνης ἑστώς. Δειλιῶ, ἐβόα, καὶ ὁρᾶν, κόρη, σε, ἀλλ' ὅμως σὺν τοῖς ἄλλοις με κραυγάζοντα προσδέχου οὕτως. χαῖρε, Θεοῦ ἀοράτου νύμφη. χαῖρε, Υἱοῦ συνανάρχου μῆτερ. χαῖρε, οὐρανίων ἀρχῶν ἀγαλλίαμα. χαῖρε, ἐπιγείων βροτῶν ἐγκαλλώπισμα. χαῖρε, τράπεζα ἐκτρέφουσα μοριάδας δαψιλῶς. χαῖρε, πέτρα κυματίζουσα χιλιάδας νοητῶς. χαῖρε, ὅτι φωσφόρον ἀνεδείχθης δοχεῖον. χαῖρε, ὅτι πυρφόρον χρηματίζεις χωρίον. χαῖρε, ἀμνὰς ποιμένα γεννήσασα. χαῖρε, χαρᾶς τὰ πάντα πληρώσασα. χαῖρε, δι ἧς τὸν Πατέρα ἐπέγνων. χαῖρε, δι ἧς καὶ τὸν Λόγον δοξάζω. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Βαρθολομαῖος.

θ. Θρόνον ἔμψυχον μέγαν ὥσπερ ἄψυχον βλέπων σοφὸς Βαρθολομαῖος καὶ μέγας, εἰς γῆν τὸ γονὺ κλίνας πιστῶς, προσκυνῶν ἐβόα. Ἀγαθὴ δέσποινα, κἀμὲ τολμῶντα πρόσδεξαι ὑμνῆσαί σε τοιοῖς δε λόγοις. χαῖρε, σεπτῶν ἁλιέων φράσις. χαῖρε, σοφῶν ἀσυνέτων παῦσις. χαῖρε διδασκάλου ἐμοῦ μῆτερ ἄφθορε. χαῖρε, εὐεργέτου κοινοῦ θρόνε πύρινε. χαῖρε, ὄρος ἀλατόμητον ὃ ἠγάπησε Θεός. χαῖρε, τόπος ἁγίασματος, οὗ ἐσκήνωσεν αὐτός. χαῖρε, ὅτι εἰς χεῖρας τοῦ υἱοῦ ἀναπαύῃ. χαῖρε, ὅτι εἰς πύλας παραδείσου μετέρχῃ. χαῖρε, φωνῆς ἐμῆς ἰθυντήριον. χαῖρε, ψυχῆς ἐμῆς παραμύθιον, χαῖρε, δι ἧς μαθητὴς κἀγὼ ὤφθην. χαῖρε, δι ἧς προσκυνῶ μου τὸν πλάστην. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Θωμᾶς.

ι. Ἵστατο ἐν γωνίᾳ ὁ Θωμᾶς, καὶ τῶν ἄλλων ἀκούων μαθητῶν ἀνυμνούντων, ὡς ἐν δειλίᾳ ἔφη. Ἁγνή, ὡς ὁ κτίστης πάλαι, καὶ αὐτὴ πρόσδεξαι. ἐκεῖνος ψυλαφῶντα με, βοῶντα δὲ αὐτὴ σοι οὕτως. χαῖρε, ἐχθρῶν ἀοράτων ἧττα. χαῖρε, σοφῶν ἀποστόλων γλῶττα. χαῖρε παρειμένων ἐν νόσοις θεράπευσις. χαῖρε, δονουμένων ἐν φόβοις

παγιώσις. χαῖρε, κλίνη, ἣν ἑξήκοντα νῦν κυκλοῦσι δυνατοί. χαῖρε, κόρη, ἣν οὐράνιοι προκυνοῦσι λειτουργοί. χαῖρε, ὅτι ἀέρα τῇ ψυχῇ ἁγιάσεις. χαῖρε, ὅτι καὶ γαῖαν τῇ ταφῇ καταυγάσεις. χαῖρε Ἀδὰμ καὶ Εὔας ἀνάκλησις. χαῖρε, φθορᾶς καὶ πλάνης κατάλυσις. χαῖρε, δι ἧς ἀπιστίας ἐρρύσθην. χαῖρε, παρ ἧς ἐπετράπην τοῦ λέγειν. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Ματθαῖος.

ια. Κλίνας γόνυ ἐβόα ὁ Ματθαῖος. παρθένε ἱστόρησα σου κύησιν πάλαι, καὶ νῦν τὴν ἱερὰν εὐσεβῶς ἀνυμνῆσαι θέλων καὶ σεπτὴν κοίμησιν, φοβοῦμαι καὶ συστέλλομαι, ἀλλ' ὅμως ἐκβοῶ θαρρῶν σοι. χαῖρε. ἀρχὴ τῶν ἐμῶν ῥημάτων. χαῖρε, βροντὴ τῶν ἐμῶν δογμάτων. χαῖρε, σαρκωθέντος στολὴ τοῦ παντάνακτος. χαῖρε, νεκρωθέντος ζωὴ τοῦ προπάτορος. χαῖρε, θάλασσα ξηράνασα ἀθεΐας ποταμούς. χαῖρε, τράπεζα βαστάζουσα ἄρτον τρέφοντα πιστούς. χαῖρε. ὅτι ἀγγέλων παραστήκει σοι τάξις. χαῖρε, ὅτι δαιμόνων ἐκφοβεῖταί σε φύσις. χαῖρε, φωστὴρ φωτίζων τὰ σύμπαντα χαῖρε, ἀστὴρ αὐγάζων τὰ πέρατα. χαῖρε, δι ἧς μαθητὴς ὁ τελώνης. χαῖρε, δι ἧς ζωγραφεῖται ὁ κτίστης. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Λουκᾶς.

ιβ'. Λέξαντος τοῦ Ματθαίου εὐφυέστατα ταῦτα, ὁ παῦλος τῇ χειρὶ προσκαλεῖται λουκᾶν, τὸν θεηγόρον, ὑμνεῖν τὴν ἁγνὴν παρθένον. ὃς εὐθὺς προθύμως ἀνίσταται, καὶ ἵσταται ἐνώπιον τῆς κλίνης, ψάλλων. χαῖρε, πηγὴ ἀθανάτου ῥείθρου. χαῖρε λαμπτὴρ ἀειζώου λύχνου. χαῖρε, ἀκηράτου τρυφῆς ῥίζα ἄφθαρτε. χαῖρε, ἀνεσπέρου αὐγῆς θύρα ἄφραστε. χαῖρε, ἄρουρα ἐκτρέφουσα τὰς καρδίας τῶν πιστῶν. χαῖρε, ἄγκυρα βυθίζουσα τὰς χορείας τῶν ἐχθρῶν. χαῖρε, ὅτι χορεύει τῇ κυήσει σοῦ κόσμος. χαῖρε, ὅτι συγχαίρει τῇ κοιμήσει σου πόλος. χαῖρε, πιστῶν τὰ πλήθη φωτίζουσα. χαῖρε, ἐχθρῶν τὰ στίφη σκορπίζουσα. χαῖρε, δι ἧς καὶ ἡ γῆ οὐρανώθη. χαῖρε, δι ἧς καὶ ἡ φύσις ἐσώθη. χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ Μάρκος.

ιγ'. Μάρκος ἵστατο συννους, ἐξιστάμενος ποίαν ἀρχὴν τῆς εὐφημίας ἐξεύροι. ὁ Πέτρος δὲ, πινύσας αὐτὸν, διεγείρει τοῦτον ὡς υἱὸν γνήσιον. εὐθέως δὲ στηρίζεται, καὶ ἄρχεται κραυγάζειν οὕτως. χαῖρε, ἐλπὶς τῶν ἀπελπισμένων. χαῖρε, ἰσχὺς τῶν ἀπεγνωσμένων. χαῖρε, τῶν νοσούντων ταχαῖα ἐπίσκεψις. χαῖρε, τῶν πενθούντων βεβαία ἀντίληψις. χαῖρε, κάτω ἀνατείλασα τὸν τοῖς ἄνω φοβερόν. χαῖρε, ἄνω μεταβαίνουσα παραστῆναι τῷ υἱῷ. χαῖρε, ὅτι σε μῶμος οὐ μολύνει τεκοῦσαν χαῖρε, ὅτι σε τάφος οὐ κρατήσει θανοῦσαν. χαῖρε, φθορὰν, τοῦ Ἀδὰμ ἡ λύσασα. χαῖρε, φορὰν θανάτου ἡ στήσασα. χαῖρε, δι ἧς ἡ Ἐδὲμ διηνοίχθη. χαῖρε, δι ἧς ὁ Ἀδὰμ ἀνεκλήθη. χαῖρε, νύμφη ἀνύμφευτε.

Τὸ γένος ἀνθρώπων.

ιδ. Ὦ παρθένε ἁγία, ὑπεράγιον Λόγον σαρκὶ ἀποτεκοῦσα ἁγίως, ἁγίασον ἡμῶν τὰς ψυχὰς, καὶ ἁγίως δίδου ἐκβιοῦν πάντοτε ἁγίως σε γεραίροντας καὶ κράζοντας ἁγνῶς σοι οὕτως. Σῶζε ἡμᾶς, σωτηρίας πύλη. σκέπε ἡμᾶς, ἀληθείας μήτερ. φεῖσαι τῶν πιστῶν σε τιμώντων, πανάχραντε, ῥῦσαι τῶν μυρίων σφαλμάτων, πανάμωμε. σκέπε, φρούρει, περιφύλαττε τοὺς ἐλπίζοντας εἰς σὲ. ῥῦσαι πάσης περιστάσεως τοὺς προσφεύγοντας εἰς σέ. θραῦσον βέλη ἀσάρκων πονηρῶν τε δαιμόνων παῦσον πάθη ἐνσάρκων καὶ ἀχρείων ἀνθρώπων. σῶσον πιστῶς τὸν ταῦτα σοι ἄσαντα. δεῖξον αἰσχρῶν παθῶν κυριεύοντα. δίδου ἁγνῶς μακαρίζειν σε πόθῳ. δέχου θερμῶς ἐκβοῶντα σοι φόβῳ. χαῖρε, νύμφη ἀνύμφευτε.

30-го Октября св. Маркіану.

p. 273. 274. Μηνὸς ὀκτωβρίου λ. τοῦ ἁγίου Μαρκιανοῦ κονδάκιον ἦχ. β'. φέρον ἀκτοστιχίδα. Γρηγορίου (sic).

α. Ἡ φωταυγὴς καὶ κορυφαία τῶν ἀποστόλων πέτρα, ἐξ ἀνατολῶν, τοῦ ἡλίου δικαιοσύνης Χριστοῦ τοῦ Θεοῦ πρῶτόν σε ἀστέρα, τοῖς ἐν τῇ δύσει, ὡς ἀκτῖνα φαεινὴν, ἐξαπέστειλε, τὰς διανοίας πρὸς θείαν ἐπίγνωσιν καταυγάζοντα. διὸ στηρίζων ἐν πίστει, περιθάλπεις τὸ σὸν ποίμνιον, πάτερ ἱερώτατε, πρεσβεύων ἀπαύσως ὑπὲρ πάντων ἡμῶν.

Πρὸς τό. Τράνωσον.

β'. Γνῶσιν τὸ ἄρρητον κεκτημένος, καὶ τὸ ἔσχατον φθάσας ὀρεκτῶν, ἱερὲ Μαρκιανὲ πανσεβάσμιε, γνῶσιν μοι ἔμπνευσον θείων λόγων, τῇ ἁγίᾳ Τριάδι, ἣν παρεστήκης, πρέσβευε νῦν τοῦ ὑμνῆσαι τὴν θείαν σου κοίμησιν, καὶ λύσιν πάντων εὑρεῖν με τῶν ἐνύλων παθῶν καὶ δεσμεύσεων, πρὸς θείαν δὲ τρίβον ἀποδραμεῖν. ἀπαθείας γὰρ κατηξίωσαι, πάτερ ἱερώτατε, πρεσβεύων.....

γ'. Ῥάβδον δυνάμεως τοῦ Κυρίου, τὸν σταυρὸν κεκτημένος, τοῖς αὐτοῦ μαθηταῖς συνοδοιπόρος γεγένησαι· ἐν σταυρῷ προσπαγεὶς εὐεργέτης. ἀναστὰς δὲ ἐκ τάφου πατήσας ᾅδην ὡς δυνατὸς. φοιτητὰς τοὺς αὐτοῦ ἐξαπέστειλεν βαπ-

τίζειν πάντα τὰ ἔθνη ἐν Πατρὶ καὶ Υἱῷ καὶ τῷ Πνεύματι, ἐξ ὧν καὶ αὐτὸς ἐξαποσταλεὶς βαπτιστὴς ἐθνῶν ἐχρημάτισας, πάτερ ἱερώτατε, πρεσβεύων......

δ. Ἤκουσε πέτρος παρὰ Κυρίου. ἐὰν ἀναφιλῇς με καὶ θερμῶς ἀγαπᾷς, τὰ πρόβατα καὶ ἀρνία μου ποίμαινε, διδαχαῖς ἐπιστρέφων ἐξ ἀγνοίας εἰς γνῶσιν Τριάδος Θείας. Ὅθεν αὐτὸς ἐντολὴν δεδεγμένος τὴν ἔνθεον, ἐπλήρου ὁ κορυφαῖος καὶ ὁ μύστης, καὶ σοι κατεπίστευσεν τὴν νῆσον ταύτην ἡμῶν Σικελῶν, τοῦ κηρύττειν αὐτῇ σωτήρια, πάτερ ἱερώτατε, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

21-го Ноября на Введеніе пресвятыя Богородицы во храмъ.

p. 275. Μηνὶ νοεμβρίῳ κα. ὅτε προσηνέχθη ἐν τῷ ναῷ θεοτόκος τριετὴς οὖσα, κονδάκιον, ἦχ. δ. φέρον ἀκροστιχίδα. Τοῦ ταπεινοῦ Γεωργίου ὕμνος.

p. 277—281. ζ. Περὶ οὖν ταύτης ἐμφανῶς ἡ θεία προδιδάσκει γραφὴ καὶ προκηρύσσει, σημαίνουσα ἐν τύποις καὶ ἐν συμβόλοις τὰ αὐτῆς. Ταύτην ἐζωγράφει ὁ παράδεισος θεοῦ. φυτὸν τὸ πρὶν τῆς γνώσεως βλαστάνων. οὐ θανάτου τὸ πρόξενον, καθάπερ ἐκεῖνο, ὅπερ τοῦτον φύειν μέλλει, ἀλλὰ ζωῆς αἴτιον τοῖς πίστει μετέχουσιν αὐτοῦ γενήσεται τοῦτο, καὶ τῆς ὄντως ἐκ θεοῦ ἀθανασίας. ὅθεν προσκυνῶ παρθένον τὴν νῦν τεχθεῖσαν. αὐτή....

η. Ἐν τῇ προμήτορι ἡμῶν εἰκὼν προετυποῦτο, ἡνίκα ἐμορφοῦτο τῆς φύσεως τὸ εἶδος αὐτῆς παρθένου τηλαυγῶς. ὥσπερ γὰρ ἐκείνη ἐκ πλευρᾶς ἄνευ σπορᾶς προήχθη τοῦ προπάτορος, οὕτως αὐτὴ ἀσπόρως τὸν Κύριον τέξει, ὑπὲρ λόγον καὶ διάνοιαν ἀνθρώπων καὶ νόησιν πάντων ἀσωμάτων. διὸ σὲ μυστικῶς, Ἄννα, ἐκδιδάσκων προκηρύξω ἐμφανῶς τὰ τῆς παρθένου, ἵνα ἐν χαρᾷ προσφέρῃς αὐτὴν Κυρίῳ. αὐτή...

θ. Ἰδεῖν ἐστὶν ὡς ἀληθῶς τὸ θεῖον τῆς παρθένου μυστήριον καὶ ξένον τυπούμενον ἐνθέως τῇ μεταθέσει τοῦ ἐνώχ. ὥσπερ γὰρ ἐκεῖνος ἐν τῷ σώματι τελῶν, ἀσώματον διήνυσεν παράδοξον πορείαν καὶ αὖλον, οὕτως ἡ παρθένος ἐν τῷ σώματι τὸν Λόγον, τὸν τοῦ Θεοῦ μόνη δεξαμένη, ὄντως ἀσώματον τὸ πρώην τῇ φύσει, τὴν τοῦ σώματος αὐτῷ σάρκα δανείσει. ὅθεν ἐν χαρᾷ εἰσδεχομένη προσφέρεις. αὐτή...

ι. Νῶε ἡ πάλαι κιβωτὸς τὸ ταύτης προεδήλου μυστήριον. ὦ Ἄννα, τὰ γένη κυβερνῶσα καὶ διασώζουσα φθορᾶς. ταύτης γὰρ ὁ τόκος τοὺς ἀνθρώπους νοητοῦ κατακλυσμοῦ λυτρώσεται. περιστερά, ἐλαίας ἡ φέρουσα κάρφος, ταύτην ὄντως ἐξεικόνιζεν τὴν θείαν. καὶ γὰρ αὐτή, νυνὶ δεξαμένη τὸν ἔλεον Χριστόν, βαστάζουσα τοῦτον ἐν τῇ μήτρᾳ τῇ αὐτῆς, πᾶσι κηρύξει τοῖς ἁμαρτωλοῖς γαλήνην καὶ σωτηρίαν. αὐτή....

ια. Ὁ Πατριάρχης Ἀβραὰμ ἡνίκα ὡς ἀγγέλους ἐξένιζεν, ὦ Ἄννα, τὴν θείαν τῆς Τριάδος καὶ ὁμοούσιον μορφήν, πρόσωπα μὲν τρία ἐθεώρει μυστικῶς, καὶ ἓν ἑώρα πάλιν δέ, δηλῶν ὡς τῆς Τριάδος τὸ δώρημα ταύτην ἐν σκηνώσει ἀπορρήτως προεδήλου τῶν τυπικῶς τότε ὁρωμένων. Ὁ εἷς δὲ τῆς αὐτῆς ἁγίας Τριάδος, ἐνοικήσας ἐν αὐτῇ, σάρκα φορέσει, καὶ τοῖς ἐπὶ γῆς ὀφθήσεται διὰ ταύτης. Αὐτή....

ιβ. Ὑπεζωγράφει τῆς σεμνῆς τὴν γέννησιν ἡ Σάῤῥα. ἐν γήρει παρὰ φύσιν γεννήσασα, ὦ Ἄννα, τὸν πατριάρχην ἰσαάκ τοῦτο οὖν ἐδήλου ὑπὲρ φύσιν ἀληθῶς κυῆσαι τὴν πανάχραντον. Ἡ κλίμαξ δὲ Ἰακὼβ ἐσήμανεν ταύτην τὴν παρθένον, ἣν προσφέρεις τῷ Κυρίῳ, δι' ἧς νυνὶ μόνος καταβαίνει ἀνάξαι τοὺς βροτοὺς δι' αὐτῆς πρὸς ὕψος. καὶ ἡ ῥάβδος ἡ αὐτοῦ ταύτην ἐτύπου, ἥτις ἐκ Θεοῦ ποικίλεται παραδόξως αὐτή....

ιγ. Γνωστὸν ποιῶν ὁ Ἰακὼβ τὸ ξένον τῆς παρθένου μυστήριον τοῖς τέκνοις, ἐκήρυξε σημαίνων ἐν εὐλογίαις ταῖς αὐτοῦ, ὅτε τῷ Ἰούδα προφητεύων ἐξ αὐτοῦ τεχθῆναι ταύτην, ἔλεγεν. ἐξ ἧς βλαστὸς ἀνθήσει ὁ Κύριος, καὶ ὡς ἀλουργίδα ἐν τοῖς αἵμασι τοῖς ταύτης στολὴν σαρκὸς βάψει ἐθέλησας. ἡ ῥάβδος πάλιν δὲ ἐν ᾗ ἐστηρίχθη προσκυνῆσαι Ἰωσὴφ, ταύτην ἐτύπου, ἥτις εἰς Θεοῦ προσκύνησιν ὁδηγήσει. αὐτή....

ιδ. Ἐπὶ τῆς θήβης ἀκριβῶς Μωσέως προεφάνη ὁ τύπος τῆς παρθένου, ὁ ἄνω προκηρύσσων καὶ προμηνύων τὰ αὐτῆς ὥσπερ γὰρ ἐκείνη τὸν προφήτην τὸν αὐτὸν συνέχουσα διέσωσεν, καὶ τοῦτον τοῦ λαοῦ εἰς τὴν λύτρωσιν τότε διήτερει. οὕτως αὐτη τὸν σωτῆρα ἐν τῇ αὐτῆς μήτρᾳ τῇ ἀχράντῳ ἀφράστως ἐν σαρκὶ συνέξει, καὶ τοῦτον ἀποτέξει ὑπὲρ νοῦν, εἰς σωτηρίαν πάντων, τῶν αὐτῇ βοώντων ἐν παῤῥησίᾳ. Αὐτή....

ιε. Ὡς ἐκ Θεοῦ προμυηθεὶς ἐκεῖνος ὁ θεόπτης τὸ θαῦμα τῆς παρθένου κατεῖδεν ἐν τῷ ὄρει Μωσῆς, ὦ Ἄννα, τηλαυγῶς, ὅτε ἐθεώρει καιομένην ἐν πυρὶ τὴν βάτον, ὑπὲρ ἔννοιαν. ταύτην δὲ μένουσαν ἀκατάφλεκτον. οὕτως γὰρ καὶ αὐτη τῆς θεότητος τὴν φλόγα ἐν ἑαυτῇ ὅλην δεξαμένη, ἀλώβητος πάντως καὶ ἄφλεκτος μένει, ὑπὸ τούτου μυστικῶς φυλαττομένη, ἥνπερ θεωρῶν θαυμάζω καὶ μεγαλύνω, αὐτή....

ις. Ρημάτων, Ἄννα, τῶν ἐμῶν ἀκούουσα ἐν πίστει, τὸ πρᾶγμα κατανόει καὶ χαῖρε θεωροῦσα τὰ τῆς παρθένου θυγατρός. ταύτην γὰρ ἡ ῥάβδος τοῦ Μωσέως ἐμφανῶς προδιετύπου ἄνωθεν, τὰ θαύματα ποιοῦσα καὶ τέρατα

θεία δυναστεία. καὶ αὐτὴ δὲ ξένα δείξει ἐπὶ τῆς γῆς διὰ τῆς λοχείας παράδοξον ἡμῖν εἰσφέρουσα τόκον καὶ τὰσ πλάνασ τοῦ ἐχθροῦ μεταπτοιοῦσα πᾶσι τοῖς αὐτῇ βοῶσιν ἐν παρρησίᾳ. Αὐτή....

ιζ. Γνωρίσαι ἔστιν ἐμφανῶσ τὸ ξένον της Μαρίας μυστήριον, ὦ Ἄννα, τυπούμενον τὸ πάλαι ἐν τῷ θεόπτη Μωυσῇ. ὥσπερ γὰρ τῇ ῥάβδῳ, τῇ αὐτῇ θείᾳ ῥοπῇ, ἀρρήτως μετεποίησεν τὸ ὕδωρ εἰς τὸ αἷμα πηγνόμενον, οὕτω παραδόξως τῆς ζωῆς τὸ Θεῖον ὕδωρ. ὁ τοῦ Θεοῦ Λόγος, ἐνοικήσας ἐν ταύτῃ, ἀληθῶσ τὴν σάρκα φορέσει ἐξ αἱμάτων τῶν αὐτῆς, ταύτην ὑφάνας, ἄσαρκος τὸ πρὶν ὑπάρχων, ὁ ταύτην δείξας. αὐτή...

ιη. Ἰδοὺ σοί, Ἄννα, ἀψευδῶς τὸν τύπον τῆς Παρθένου δηλούμενον δεικνύω καὶ τοῦτον ἐν θαλάσσῃ κατανοεῖν τῇ ἐρυθρᾷ. ὥσπερ γὰρ ἐκείνη ἐκαινούργησέ ποτε τῷ Ἰσραὴλ διάβασιν ἀνόδευτον ὄντως τε καὶ ἄβατον, οὕτως ἡ Μαρία ξένον τόκον συνεισάγει καὶ ἄγνωστον πᾶσι τοῖς ἀγγέλοις, τὸν Κύριον αὐτὸν γεννῶσα τῷ κόσμῳ, τὸν λυτρούμενον ἡμᾶς ἐκ τῆς δουλείας πάντας τοῦ ἐχθροῦ, τοὺς ταύτῃ πίστει βοῶντας. Αὐτή....

ιθ. Ὁ ἐκ τῆς πέτρας ποταμὸς ὑπέδειξε τὸν τύπον, ὦ Ἄννα, ὅνπερ λέγω, τῇ ῥαβδῷ τοῦ προφήτου εἰς διεξόδους προελθών. ὥσπερ οὖν ἐκεῖνος ὑπὲρ φύσιν ἐξ αὐτῆς ἐρρύη θείῳ νεύματι, οὕτως καὶ ὁ κτίστης καὶ ὁ Κύριος ὄντως ὑπὲρ λόγον ἐκ Μαρίας τῆς ἀχράντου τεχθήσεται, ὡς γινώσκει μόνος, καὶ πάντας τοὺς πιστοὺς ποτίσει τὸ ὕδωρ τὸ ἀλλόμενον καὶ ζῶν, καὶ ἁγιάζον χαίροντας ἀεὶ καὶ κράζοντασ τῇ Παρθένῳ. Αὐτή....

κ. Ὑπὸ τοῦ κτίστου καὶ θεοῦ σκηνὴ προετυπώθη, ἡ πάλαι ἐν τῷ ὄρει ἐμφαίνουσα, ὦ Ἄννα, καὶ εἰκονίζουσα αὐτήν. ὄντως γὰρ καὶ ταύτης πλατυτέρα ἡ σεμνὴ ὀφθήσεται, γεννήσασα ὅνπερ ἐκείνη τύποις ἐδείξατο. στάμνοσ δὲ καὶ ῥάβδοσ καὶ λυχνία καὶ αἱ πλάκεσ καὶ κιβωτὸς ταύτην προετύπουν. ἡ τραπέζα θεοῦ καὶ τὸ θεῖον τούτου ἱλαστήριον τρανῶς ταύτησ εἰκότωσ τύπουσ ἐμφανῶσ ὑπέφαινον, ὅτι ὄντωσ αὐτή....

κα. Ὑπεσημήνατο τρανῶς τὸ θαῦμα τοῦτο, Ἄννα, τὸ μάννα ἐπομβρίσας εἰς βρῶσιν ἐν ἐρήμῳ ἐξ οὐρανοῦ τῷ Ἰσραήλ, ἄρρητον τὸν τρόπον καὶ ἀμήχανον ἡμῖν προδείξας τῆς ὑπάρξεως. ἀνήροτον γὰρ ταύτην καὶ ἄσπορον ἔχει ὑπὲρ φύσιν. οὕτως ὥρᾳ καὶ ὁ Λόγος ὁ τοῦ Θεοῦ ξένωσ καὶ ἀρρήτωσ, ὡσ οἶδεν, ἐξ αὐτῆς τεχθήσεται μόνοσ, καὶ εἰσ βρῶσιν τοῖσ πιστοῖς πᾶσιν τὴν σάρκα θείασ ἐντρυφῆς προθήσει, οὕτωσ βοῶσιν. Αὐτή....

κβ. Μεγαλοφώνωσ τὰ αὐτῆς ἐμήνυσαν, ὦ Ἄννα, προφῆται θεηγόροι ἐν Πνεύματι ἁγίῳ προμηνυθέντα ἐμφανῶσ. πύλην γὰρ ἁγίαν καὶ βασίλισσαν αὐτὴν καὶ ὄροσ προηγόρευσαν, νεφέλην καὶ καθέδραν καὶ ὄχημα, ῥάβδον βασιλείας, καὶ διάδημα καὶ σκῆπτρον, νεάνιδα θείαν καὶ Παρθένον, προφητίδα αὐτήν, παστάδα καὶ οἶκον τὸν τῆρ δόξησ τοῦ θεοῦ καὶ θυγατέρα πάλαι τὴν ἁγνὴν ἐκήρυξαν ἐκβοῶντεσ. Αὐτή....

κγ. Ναὸν προέφησαν αὐτὴν Θεοῦ ἡγιασμένον. καὶ πύλην βασιλέωσ καὶ γῆν ἁγίαν, Ἄννα. καὶ πόκον ἄνικμον φθορᾶς, κλίμακα καὶ βάσιν καὶ παλάτιον αὐτήν, καὶ ποταμὸν πληρούμενον, ῥίζαν τε καὶ λαβίδα, καὶ ὅρασιν, ἥλιον σελήνην, καὶ πηγὴν ἐσφραγισμένην, βιβλίον τε ἄγραφον καὶ τόμον, καλήν. καὶ ἐκλεκτήν, πλησίον ὡσ νύμφην παρεστῶσαν θεῷ· ἐξ ἧσ ἀνθρώποισ μέλλει μυστικῶσ πηγάζειν ἡ σωτηρία. αὐτὴ ὑπάρχει σκηνὴ ἐπουράνιοσ.

На Праведнаго Лазаря.

p. 284.—288. ά. Λάζαρον τὸν φίλον σου... β. Π.... γ.. Ὁ. δ. Ἰ... δάκρυσι κινούμενοι, ἰδόντεσ πόῤῥω τὴν τάφην αὐτοῦ, καὶ οὐ μακρὰν τοῦ τόπου Μάρθα αὐτῷ προσῆλθε, δάκρυσιν ἐκβοῶσα (Χριστέ,) εἰ ἧς ὧδε, οἰκτίρμων, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός. ὅσα οὖν βούλεσαι, δύνασαι, Λόγε Θεοῦ, καὶ θάνατον χειρώσασθαι καὶ πάντασ ἡμᾶς ῥύσασθαι.

ε. Ἤρχετο πρὸς τὸν οἰκτίρμονα ἡ Μαρία.... ἱκετεύουσα δακρύων ἐν ὀχετοῖς λέγουσα. ὡσ Θεός, δέξαι τὴν δέησιν, καὶ νεκροῦ δεῖξον ἀνάστασιν. ἤγειρασ ῥήματι παράλυτον, ἔθραυσας ἄλγη ἀθεράπευτα, εἰδὼσ.... τὸ ἀσθενὲς ἡμῶν. τὴν Ἰαείρου παῖδα νεκρὰν ἰδὼν ἐν κλίνῃ. καὶ τὸν υἱὸν τῆς χήρασ, τὸν σπαιρόμενον ἐν τάφῳ, κράξασ τῇ ἀθανάτῳ σου φωνῇ, ἤγειρας, ἔσωσας, εὔσπλαγχνε, ἐκ τῆσ φθορᾶς, ὁ ᾅδην χειρωσάμενοσ.. ..

ς. Μέγα θαῦμα ἐφανέρωσα ἐν τῇ κοιλάδι, τῷ προφήτῃ μου, ξηρὰ ὀστᾶ ὄντα ἀνθρώπινα. ἐν αὐτοῖσ σάρκα ἀνέδειξα καὶ ψυχὴν καὶ μετὰ νέκρωσιν. τοῦτο οὖν ἔπτηξεν ὁ κήρυξ μου, τὸ ἔμφοβον καὶ ἀκατάληπτον, μεγάλῳ φόβῳ συνεχόμενος, ὅτι σεισμῷ φρικώδει πάντα ἐφανεροῦτο. μετὰ τῆς ἁρμονίας τὸ μειωθὲν ὑπὸ τῶν χρόνων τότε πᾶν συνηρμοῦτο ἐν ῥοπῇ. Τοῦτο προοίμιον ἔδειξασ πάσῃ σαρκί. ὁ ᾅδην χειρωσάμενοσ....

ζ. Ἅμα ταῦτα ἐπακήκοαν τὸ ἐκ Θεοῦ δημιουργήματα, ἐξίσταντο φόβῳ θαυμάζοντες, καὶ κλαυθμῷ Μάρθα ἐπρέσβευε, σὺν Μαρίᾳ ὡς φθεγγόμεναι. Σὺ εἶ φῶς ὄντωσ καὶ ἀνάστασις. δεῖξον οὖν, ἅγιε, ὡς εὔσπλαγχνος, ὡς πρὶν καὶ νῦν, τὴν δυναστείαν σου, ὁ κατ' εἰκόνα πλάσας τὸ τῶν ἀνθρώπων γένος, τὸ ἀσθενὲς γινώσκων, ἵνα ζωοποιήσῃς τοῦτον, τὸν τετραήμερον ἤδη νεκρόν, κράζοντα. Δόξα σοι, ἄνασχε, Λόγε Θεοῦ, ὁ ᾅδην χειρωσάμενοσ....

η. Κλαίουσαι τὸν ἱκετεύουσαι αἱ περὶ Μάρθαν τὸν οἰκτίρμονα, ἐξίσταντο ἔκθαμβοι ἅπαντες, καὶ πιστῶσ πλείω ἐπρέσβευον, ὡσ εἰκὸς, ταῦτα φθεγγόμενοι. φῶς ἡμῖν ἔλαμψεν ἀπρόσιτον. (βλέποντεσ θεία καὶ παράδοξα, ὁρῶντεσ τὰ ἀνεκδιήγητα.) ὁ γὰρ τυφλοὺσ φωτίσας, καὶ τοὺς λεπροὺς καθάρας, καὶ τοῦτον νεκρωθέντα ἀνακαινίσασ εὐσπλαγχνία, ὅπωσ φανερωθῆ πάσῃ τῇ γῆ Κύριοσ ἅγιοσ, ἄναρχοσ, Λόγος Θεοῦ, ὁ ἅδην χειρωσάμενοσ....

θ. Ὕψος οὖν τὸ ἀκατάληπτον ἐνατενίσας ὁ φιλάνθρωπος, καὶ τὸν λαὸν τὸν παριστάμενον, ταῖς σοφαῖσ τότε ἐφθέγξατο, ὁ εἰδὼς πᾶσαν ἐνθύμησιν. ποῦ αὐτὸν θνήξαντα ἐθήκατε, χοῦν ἤδη ἄθροον ἐκλείψαντα. σκωλήκων τε βρῶμα γενόμενον; Ἐλεεινὸν τὸ ἄλγοσ ἀπὸ Ἀδὰμ ὑπάρχει πάσῃ σαρκὶ ἀνθρώπου, καὶ οὐκ ἐκλείψει ἕως ἥξω πάλιν ἐπὶ νεφένης οὐρανοῦ. Δόξα σοι, ἅγιε, ἄναρχε, Λόγε Θεοῦ, ὁ ἅδην χειρωσάμενοσ....

ι. Ῥεῖθρα ὄμβρων δακρυχέουσαι, σὺν τῷ Κυρίῳ ἐπορεύοντο αἱ τοῦ Χριστοῦ ὄντως μαθήτριαι, καὶ πιστῶς ταῦτα πρεσβεύουσαι. Ἴδε νῦν, εὔσπλαγχνε, σπήλαιον ἔχον τὸν Λάζαρον τὸν φίλον σου, δι' ὃν ἐνταῦθα ἐπεδήμησας, ὁ παντοχοῦ ὢν ἀκατάληπτος. ὁ οὖν εἰδὼς τὸ ἄλγος τῆς ἐν ἡμῖν καρδίασ, ἔχων τὴν ἐξουσίαν, νῦν ζωοποίησον ἐκ τάφου τοῦτον τὸν τετραήμερον νεκρόν, ὅπωσ δοξάσῃ σε, εὔσπλαγχνε, πᾶσα, πνοὴ, ὁ ἅδην χειρωσάμενοσ.....

ια. Ἴδεν τότε ὁ φιλάνθρωποσ τὸν συνελθόντα ὄχλον κλαίοντα. καὶ κινηθεὶς ἐνεβριμήσατο, καταργῶν λόγῳ τὸν θάνατον καὶ πατῶν ᾅδου τὴν δύναμιν. Τάχοσ οὖν ἤνοιξαν τὸ σπήλαιον, ὅθεν καὶ ἔπτηξαν τὴν ὀσφρησιν σκίαν τε αὐτοῦ λογισάμενοι. Τότε φωνεῖ ὁ πλάστησ. Λάζαρε, δεῦρο ἔξω, ὁ ἐν φθορᾷ θανάτου πρὸς ἀφθαρσίαν ζωηφόρου, ὅπως φανερωθῇ πάσῃ τῇ γῇ Κύριος ἅγιος, ἄναρχος, Λόγοσ Θεοῦ, ὁ ᾅδην χειρωσάμενοσ.....

ιβ. Ἄνω φωνῇ ἀπεφθέγξατο, καὶ τὸ μὲν πνεῦμα, ὅπερ δέδωκεν, ἐν τῇ σαρκὶ τάχος ἐπέστρεψεν, ἀντιστῶν τοῦτον ὁ Κύριος, καὶ φθορᾶς ᾅδου λυτρούμενος. Ἔδυ ὁ θάνατος, θεώμενος Λάζαρον τρέχοντα ἐκ μνήματος, ὁμοίωσ ᾅδης κατεπλήττετο, ὅτι ταφῇ φθαρέντι καὶ τῶν νεύρων λυθεῖσα πᾶσα ἡ ἁρμονία ἀνεκαινίσθη. ὡς ἐκ μήτρασ, οὕτως ἐν τῷ μνημείῳ ἐκβοῶν. Δόξα σοι, ἅγιε, ἄναρχε, Λόγε Θεοῦ, ὁ ἅδην χειρωσάμενοσ....

ιγ. Κράξας φωνῇ παντοδύναμος τὸν νεκρωθέντα ἀνεζώωσε, καὶ προσελθὼν ἔφη ὁ Λάζαρος. Ἱκετεύω, δέσποτα, δέξαι τοῦ Ἀδὰμ ταύτην δέησιν. Ἔλιπεν τῶν χειρῶν τὸ ποίημα, πταίσαντα ᾅδῃ με κατέκρινασ. γενοῦ ἵλεωσ, ἀναμάρτητε. Τι ἀπελάθου, κτίστα, ἔργου τῶν σῶν δακτύλων, ὄντος σου κατ' εἰκόνα, Ἀλλὰ ἐξάγαγέ με ᾅδου τάχος τῆσ αἰωνίου φυλακῆς, ὅπωσ βοήσω σοι. Ἄναρχε, Λόγε Θεοῦ, ὁ ἅδην χειρωσάμενος ...

ιδ. Ὅτε ταῦτα ἐπακήκοε, τῶν ἀπ' αἰώνων ἐμνημόνευσε. Νεκροὺς μὲν πάλαι ἐξανέστησα, Ἰωνᾶ δὲ προετύπωσα τὴν ἐμὴν τότε ἀνάστασιν. μέλλων γὰρ ἔθνεσιν ἐκδίδοσθαι, ἄφεσιν ἅπασιν δωρούμενος. σταυρῷ καὶ λόγχῃ ἀναιρούμενος, ἄγξω ἐν τῇ σαρκί μου δράκοντα ἐν ἀγκίστρῳ, κατὰ τὸ γεγραμμένον, καὶ ἀναιρήσω τῷ σταυρῷ μου τότε τὸν ὀλετῆρα τοῦ Ἀδάμ, ὅπως βοήσῃ μοι. Ἄναρχε, Λόγε Θεοῦ, ὁ ᾅδην χειρωσάμενοσ....

ιε. Ὑψόθεν τότε ἐπέβλεψε και τοῦ ᾅδη ἐπακήκοε τὴν δέησιν, λέγων ὁ Κύριος. Δι' Ἀδὰμ σάρκα ἐφόρεσα, δι' αὐτὸν θνήσκειν ἐλήλυθα. τούτου οὖν θραύσω τὸ παράπτωμα, σχίσας τὸ χρέοσ τὸ βαρύτατον, ὃ τότε ὄφις ὑπηγόρευσε. τοῦ ἐν Ἀδὰμ πραχθέντοσ παρακοῇ καὶ μόνῃ, τούτου ἐλευθερώσω, καὶ ἀποπλύνω σου τὰς κόρας ῥείθροις τοῦ ἰωρδάνου ποταμοῦ. Δόξα σοι, ἅγιε, ἄναρχε, Λόγε Θεοῦ, ὁ ᾅδην χειρωσάμενοσ.

7-го Октября Св. Сергію и Вакху.

p. 289. Μηνὶ ὀκτωβρ. ζ. Τῶν ἁγίων Σεργίου καὶ Βάκχου, κονδάκιον εἰς τοὺς αὐτοὺς ἁγίους, ἦχ. δ. φέρον ἀκροστιχίδα: Ἡλιού. Πρὸσ τὸ. Δυνάμει θεϊκῇ.

α. Σεργίου τε και Βάκχου της δυαδικῆς πληρούμενοι χαρᾶς, ἀνακρόζωμεν, πιστοί. Δόξα τῷ ποιοῦντι ἐν τοῖσ ἁγίοις φοβερὰ καὶ παράδοξα.

β. Ἡ χάρις σου ἐπισκιάζῃ ὑπεραρρήτως δούλῳ τῷ σῷ, παντουργέτα Χριστὲ, ἐκκαθαίρουσα πάντα τὰ φαῦλά μου λόγῳ καὶ ἔργῳ, ὅπως ὀφθῶ σοι εὐάρεστος ὁ τάλας· πολλῆς γὰρ γέμω ἀκολασίας,...... ἀλλὰ προσδέχου ὡς. λάτριν σου, ἵνα βοῶ σοι εἰλικρινῶς. Δόξα.....

γ. Λαμπρύνθητε ἐν τῇ ἐνδόξῳ μνήμῃ τῶν ἀθλοφόρων, λαοί. ὑπ' αὐτοῦ τοῦ Θεοῦ, ὡς ἐβόα προφήτης, ἀνήφθησαν διὰ βασάνων ἄνθρακες Θεῖοι, φωτίζοντες τὸν κόσμον τῇ αἴγλῃ ὄντως τῶν θαυμασίων, φλέγοντες ἐχθρούς. δεῦτε, αὐτοῖς κοινωνήσωμεν ταῖς ἀρεταῖς, ὡς ἐν πήγμασιν, ἀναβοῶντες τῷ ποιητῇ. Δόξα....

δ. Ἰσχύσατε χριστομιμήτως ὡς ἀθλοφόρσι νῦν ἐπ' ἐμοί, τῷ νοσοῦντι δεινῶς κατὰ πνεῦμα ἐπηρείᾳ ὄφεως, καὶ ὥσπερ σφύρᾳ, τῇ διανοίας τὸ χαῦνον στερεοῦντες τὰς βάσεις ὄντως τῇ πρὸς τὸ κρεῖττον σφίγξατε ῥοπῇ, ὡς δωροδόται ὑπάρχοντες ὑγιεινότατοι ἅπασι τοῖς ἐκβοῶσι περιχαρῶς. Δόξα,...

ε̄. Οὐκ ἔθελξε Σέργιον πόθος τοῦ τῇ δε κόσμου διὰ Χριστὸν, οὐδὲ Βάχχοσ ζωὴ παροικίας προσκαίρου ἀνόνητος, ἀλλ' ἑνωθέντες ἀδελφοτρόπως συνδέσμω τῆς ἀγάπης, εὐτόλμως ἔκραζον τῷ τυράννῳ. Ὅρα ἐν δυσὶν μίαν ψυχὴν καὶ προαίρεσιν, μίαν βουλὴν καὶ εὐθύτητα. Ἆιρε βοῶντας θεοπρεπῶς. Δόξα....

ς̄. Ὑπέκρυψε δολιοτρόπως τοῖς εὐεργέταις τὰς ἀμοιβὰς ὁ θρασὺς δικαστής. καὶ προσνέμει τῆς χλαίνης τὸ ἄτιμον. Ὦ παρανοίας, ὦ ἀφροσύνης ἀγνώμονος ἀνθρόπου! ἀνθ' ὧν γὰρ οὕτως εὐηργετήθη, λήθῃ προσρύεις, ὤφθη τοῖς φίλοις ἐπίβουλος, ὡς ὁ Ἰούδας τῷ κτίστῃ μου. ὅμως ἐβόων οἱ ἀθληταί. Δόξα τῷ ποιοῦντι ἐν τοῖς ἁγίοις φοβερὰ καὶ παράδοξα.

17-го Декабря св. Пророку Даниілу.

p. 291. 292. Μηνὶ δεκεμβρίω. ιζ̄. τοῦ προφήτου Δανιήλ. Κονδ. ἦχ. δ̄. Πρὸς τὸ. Δυνάμει θεϊκῃ.

ᾱ. Ἐκ λάκκου τῶν λεόντων ὁ ἀναγαγὼν ἀνόδυνον, Χριστὲ, Δανιὴλ τὸν θαυμαστὸν, Ῥῦσαι τὸν λαόν σου ἐκ τῶν τῆς Ἄγαρ, καὶ συμμάχησον τῷ ἄνακτι.

β̄. Ηλλοίωσε πρεσβυτῶν φρένας τῶν ἀκολάστων Πνεῦμα Θεοῦ εἰσδεχθεὶς Δανιὴλ καὶ διέσωσε ποινῶν τὴν σώφρονα. εὗρε γὰρ τοῦτον εὔχρηστον σκεῦος, δεδείχθη προφήτης προβλέπειν ὄντως καὶ κεκρυμμένα λέγειν προφανῶς ἐκ τῆς τοῦ Πνεύματος χάριτος. πνεῖ γὰρ οἷς θέλει καὶ βούλεται. οὗτος αἰτούμενος κράζει Θεῷ. Ῥῦσαι τὸν λαόν σου ἐκ τῶν τῆς Ἄγαρ καὶ συμμάχησον τῷ ἄνακτι.

γ̄. Λυμαίνεται τῶν Ἀσσυρίων ὁ βασιλεύων πόλιν Θεοῦ, τὴν Ἱερουσαλὴμ, καὶ λαμβάνει τὸ θρέμμα αἰχμαλωτόν. ὅπερ ἐκτρέφειν, ὁ ἀρχισάτραψ διώριστο πρὸς τέρψιν, ὡς ὄντως ὄντος ἐκλελεγμένους, ποικίλαις τρυφαῖς, ἃς Δανιὴλ οὐ προσέψαυσεν, ἀλλὰ νηστεύων ἐξήστραπτεν, ἅμα τοῖς σύμφροσι κράζων Θεῷ Ῥῦσαι....

20-го Іюля св. Пророку Иліи.

p. 293 — 296. Ἕτερον Κονδάκιον τοῦ προφήτου Ἠλία ἦχ. β̄. ὁ ψαλμός.

ᾱ. Ἠλίαν τὸν Θεσβίτην ὁ ἀναλαβὼν ἐν ἅρματι πυρὸς ἀπὸ γῆς πρὸς οὐρανὸν, δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

β̄. Οὐκ ἔθλιψε πεῖνα τὴν χήραν ἐν Σαρεφθία, οὔτε λιμὸς, ἀλλ' ὁ παῖς ὁ θανών. δι ἐκεῖνον Ἠλίαν ἐμέμφετο. Οἴμοι, βοῶσα, τί σε καλέσω; τροφέα ἢ φονέα, ζωῆς δοτῆρα ἢ τοῦ θανάτου πρόξενον ἐμοί; πρώην τοῖς ἄρτοις με ἔθρεψας. δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

γ̄. Ψυχήν μου ἀλγήνεις, ὦ γύναι, ἀποθρηνοῦσα σοῦ τὸν υἱόν. συνοδύρομαί σοι, καὶ νομίζεις, ἐγὼ τοῦτον ἔκτεινα. πάσχεις, συμπάσχω, σοῦ θρηνῳδούσης, καὶ στένω, σου βοώσης, ὅτι σου τέκνον πρὶν ὁ ἐκθρέψας, ἔκτεινα νυνί. Οἴμοι, λιμῷ ὑμᾶς ἔθρεψα, πῶς οὖν θανάτῳ παρέδωκα. Παῦσαι βοῶσα, μὴ κράζε ἐμοι! Δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

δ̄. Ἀνάγκη πολλή μοι ὑπάρχει, ὅτι στεροῦμαι τοῦ μου παιδός. θανόντος, λοιπὸν ἐγὼ ζῶσα οὐ ζήσω, ὦ δοῦλε Θεοῦ. Πέπαυται τοῦτο, παύσωμαι ἅμα. τοῦ ἄστρου γὰρ σβεσθέντος, σβεσθῇ σελήνη. μὴ ὄντος ὄρθρου, μὴ ἡμέρα ᾖ. ῥίζης ἐμῆς κλῆμα ἔτεμες, τέμε κἀμὲ σὺν τῷ κλήματι, κτεῖνον, ὡς παύσωμαι κράζουσά σοι Δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

ε̄. Λαθοῦσα, ὦ γύναι, τῶν πρώην δεδωρημένων σοι ὑπ' ἐμοῦ, ἀτιμάζεις ἐμὲ, καὶ ὀλέσαντα λέγεις τὸν θρέψαντα. μνήσθητι ὅτι ἀγεωργήτως, καὶ μάλα ἀκαμάτως, ἡ δρὰξ παρεῖχε τροφὴν πλουσίως τῷ σῷ. ὥσπερ δὲ πρέμνον ἀειφόρον ἄγγος τὸ ἔλαιον ἔβρυσε. τούτων λαθοῦσα νῦν κράζεις ἐμοί. Δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

ς̄. Μὴ γάρ σου τὰς χάριτας λήθῃ ἐγὼ παρέδων, δοῦλε Θεοῦ, ἀλλὰ μνήσθητι σὺ ὅτι τούτων οὐ μόνη ἀπέλαυσα. πρῶτος γὰρ ἦσθα ἄρτους ἐσθίων, εἶθ' οὕτως τε ἡ τλήμων ἐγὼ, καὶ τέκνον, ὡς κύων, ἦσθον περισσείαν σου. ἦρχες αὐτὸς ὧν παρεῖχες μοι, ξένος ὢν, πάντων ἐδέσποζες. καὶ ἀντημείψω μοι. σπλάγχνου πληγήν. Δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

ζ̄. Ὁ λόγῳ ἐμοῦ τὰς νεφέλας στήσας δροσίζειν, καὶ οὐρανὸν ὑετίζειν συσχὼν, ὑπὸ χήρας νῦν, οἴμοι! συνέχομαι. Τῆς Ἰεζάβελ θυμοῦ ἐρρύσθην, μαχαίρας στόμα φεύγων. νῦν δὲ ἐφεῦρον τῆς χήρας γλῶτταν ξίφος δίστομον. ἄνασσαν οὐκ ἐδειλίασα, καὶ τῆς πτωχῆς ὁρμὴν δέδοικα. βρύχει, ταράττει με, κράζουσα μοι. Δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

ῆ. Σιγῆσαι με οὐκ ἐᾷ ἄλγος τὸ τοῦ μου πένθους, οὔτ' ἠρεμεῖν. θεωρῶ γὰρ νεκρὰν τὴν ἐλπίτα μου, καὶ ὄντως πλήττομαι. σὺ τάχα τούτων οὐκ ἔσχες πεῖραν. πατὴρ οὐ γέγονάς πω. διὸ σοι τέκνων τὸ πένθος τοῦτο παίγνιόν ἐστιν. εἴπερ ἐγέννησας, ἔγνως ἄν. νῦν τῆς πληγῆς πέλεις ἄμοιρος. μόνη δὲ μόνον ζητοῦσα βοῶ. Δός μοι τῆς ψυχῆς μου τὸ παραμύθιον καὶ τοῦ γήρως μου τὸ στήριγμα.

Другой составъ Кондака съ Икосами св. Пророку Иліи въ Аѳонскомъ Кондакаріи есть. Здѣсь есть еще 4-й икосъ, начинающійся: Ἰδοὺ τύπος....

27-го Іюля св. Великомученику Пантелеимому.

p. 298. 299. Μηνὶ ἰουλίῳ κζ. Κοντάκιον. τοῦ ἁγίου Παντελεήμονος, ἦχ. β'. πρὸς τὸ. Τὴν ἐν πρεσβείαις.

α. Τὸν ἐν τοῖς ἄθλοις ἀήττητον ἀθλοφόρον, και ἐν κινδύνοις ἀμετάθετον προστάτην, πάντες τοῖς ᾄσμασι στεφανώσωμεν. ὥσπερ ὁπλίτης χαίρων, ἐν οὐρανοῖς αὐλίζεται, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

β'. Ὁ δὲ ἡμᾶς τὴν σάρκα φορέσας καὶ τεχθεὶς ἐκ παρθένου καὶ σταυρὸν καὶ ταφὴν βουλήσει καταδεξάμενος, Θεὸς ὁ διδοὺς γνῶσιν σοφίας ἐν ἀνοίξει χειλέων τοῖς σε αἰτοῦσι, δώρησαι μοι, τῷ πτωχῷ καὶ ἀπόρῳ καὶ τάλανι, εὐρύθμως ἐγκωμιάσαι τοῦ σοφοῦ ἀθλητοῦ τὰ τεράστια, παντελεήμονος τὰ θαύματα, ἃ πιστῶς ἐναθλῶν ἐξετέλεσεν, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

γ. Ῥέοντος πλούτου καταφρονήσας, καὶ μητρὸς φιλοχρίστου εὐσεβῶς καὶ θερμῶς τὴν πίστιν περιφραξάμενοσ, ἔστης γενναίως πρὸς τοὺς ἀγῶνας, τῶν εἰδώλων τε πλάνην ἐκστηλιτεύων, καὶ τοῦ πατρὸς ἀσέβειαν αὖθις διορθούμενος, μεγάλως τῇ καρτερίᾳ τοὺς ἐχθροὺς θριαμβεύων ἐκραύγαζες. οὐδὲν χωρίσει με, παράνομοι, τοῦ Χριστοῦ καὶ Θεοῦ, ᾧ πεπίστευκα, πρεσβεύων....

δ. Ἔλαβεν οὖν ἐντεῦθεν τὴν χάριν, καὶ θερμῶς προσεδρεύων Ερμολάῳ τινί, τῷ τότε ἱερατεύοντι, προς τὴν πίστιν τὴν ἡμῶν τοῖς τούτου λόγοις μετεκεντρίσθης και νουθεσίαις, καὶ τῇ ὁδῷ ερριμένον παῖδα εὑρὼν θνήσκοντα, ἐχίδνης τοῦτον πνιξάσης, προσευχῇ σου τὸν παῖδα ἀνέστησας, τὸ δὲ θηρίον πρὶν ἀπέκτεινας. διὸ πάντες βοῶμεν σοι. ἅγιε, πρεσβεύων....

ε. Σὺ πτερωθεὶς τῷ θείῳ σου ζήλῳ, ἦλθες δρόμῳ σπουδαιως, καὶ λαμβάνεις θερμῶς τὸ βάπτισμα τὸ πανάγιον. ἔνθεν ἀρξάμενος τῶν θαυμάτων, τὸν τυφλὸν ἀναβλέψαι, καὶ ἐπιστρέψαι πεποιηκώς, ὑπὸ φθόνου καὶ ζήλου μηνῦσαι σὺ τοῖς τότε ἀρχιερεῦσι, μετὰ ταῦτα δὲ πάλιν τῷ ἄνακτι Μαξιμιανῷ τῷ ἀλάστορι, τῷ σε καὶ συλλφθῆναι προστάξαντι,πρεσβεύοντα θερμῶς ὑπὲρ πάντων ἡμῶν.

Св. Саввѣ Младшему.

p. 300 — 302. Πρὸς τό. ὑπερμάχῳ. α. Ἐι καὶ τὸ σῶμα τὸ ἁγνὸν λίθος ἐκάλυψε, ἀλλ' οὐ συνέσχε τὰ φαιδρὰ σοῦ κατορθώματα. ὡς γὰρ ἥλιος ἐκλάμποντα, καταυγάζει τὰς ψυχὰς τῶν φοιτητῶν σου, ἐφελκόμενα πρὸς ἴσην ἀγωγὴν αὐτοὺς καὶ ἄσκησιν, σοι κραυγάζοντας. χαῖρε, Σάβα μακάριε.

β. Ἄγγελοι κατιδόντες τοὺς μακροὺς σου ἀγῶνας, ἐκρότησαν, ἀοίδομε πάτερ. καὶ ἡμεῖς δὲ νῦν οἱ γηγενεῖς, φωναῖς ἀσμάτων, τὴν σεπτὴν μνήμην σου γεραίροντες, πανεύφημε, βοῶμεν εὐσεβῶς σοι ταῦτα. χαῖρε, ποιμὴν λογικῶν προβάτων. χαῖρε, φωστὴρ τῶν ἐσκοτισμένων. χαῖρε, τῶν πεινώντων τροφὴ καὶ ἀνάψυξις. χαῖρε, τῶν πιπτόντων ταχεῖα ἀνόρθωσις. χαῖρε, κλέος καὶ ἀγλάϊσμα τῶν ἁγίων μοναστῶν, χαῖρε, δόξαν ἀτελεύτητον ὁ λαβὼν παρὰ Θεοῦ. χαῖρε, ὅτι καθεῖλες τὴν ὀφρὺν τῶν δαιμόνων. χαῖρε, ὅτι βραβείοις ἐκοσμήθης ἀφθάρτοις. χαῖρε, φωτὸς ἀδύτου πληρούμενος. χαῖρε, συνὼν ἀγγέλων στρατεύμασι. χαῖρε, τρυφῆς ἀπολαύων ἀρρεύστου. χαῖρε, ὁρῶν τὸν δεσπότην ἀμέσως. χαῖρε, Σαβα μακάριε.

γ'. Βίον καθηγισμένον μετελθών, θεηγάρε, καὶ σάρκα ἐγκρατείᾳ νεκρώσας, ἀγρυπνίαις τε καὶ προσευχαῖς τῆς ψυχῆς τὸ ὄμμα καθαρθείς, ὅσιε, ἐδέξω θείαν ἔλλαμψιν, καὶ ἔψαλες ἐν εὐφροσύνῃ. Ἀλληλούϊα.

δ. Γένος, τρυφὴν καὶ πλοῦτον νουνεχῶς ἀπεσείσω, καὶ μόνον τὸ ἐράσμιον κάλλος ἐκ καρδίας ποθῶν τοῦ Χριστοῦ, ἐν συντόμῳ δρόμῳ πρὸς αὐτὸν ἔφθασας. διόπερ, πανσεβάσμιε, κραυγάζομεν πρὸς σὲ τοιαῦτα. χαῖρε, ζωῆς ὁ πηγάζων λόγους. χαῖρε, ψυχὰς ὁ φωτίζων, πάτερ. χαῖρε, τῶν δακρύων πηγὴ ἡ ἀέναος. χαῖρε. χαρισμάτων τερπνὸν καταγώγιον. χαῖρε, θαυμάτων παράδοξα ἐνεργῶν καινοπρεπῶς. χαῖρε, πάντων ἐκλυτρούμενος παθημάτων τουσ βροτούς. χαῖρε, ὅτι ἐρήμων οἰκιστὴς ἀνεδείχθης. χαῖρε, ὅτι ὡράθης ἀρετῶν στήλη ἔμπνους. χαῖρε, καρποὺς τῶν πόνων δρεπόμενος. χαῖρε, Θεοῦ τὸ κάλλος θεώμενος. χαῖρε, σκηναῖς κατοικῶν ἐν αὐλοις. χαῖρε, λαμπρᾶς ἀξιούμενος δόξης. χαῖρε, Σάβα μακάριε.

20-го Декабря св. Макарію Младшему.

p. 305. 306. Μηνὶ δεκεμβρίῳ κ. ἡ κοίμησις τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ νέου τοῦ ἐν Σαλερίνῳ. Κονδάκιον ἦχ. β. πρὸς τό. Ἡλίου ἐμιμήσω.

α. Τῷ Θεῷ ἀπὸ μήτρας ἐκλελεγμένος, ἠκολούθησας χαίρων ἐν τῇ ἀσκήσει, τὴν οἰκουμένην λαμπρύνας τοῖσ θαύμασιν, καὶ τὰς ἐρήμους πυκνώσας τοῖς πλήθεσι, τερατουργὲ Μακάριε. διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β. Τράνωσον τὴν γλῶτταν, παμμάκαρ, πρὸς τὴν σὴν ὑμνωδίαν ἀνυμνῆσαι πιστῶς τοὺς ἄθλους καὶ τοὺσ ἀγῶνάς σου τὴν στάσιν τὴν πάννυχον διόλου, ὁλονύκτοις εὐχαῖς τε προσκάρτεροῦντα. τοῖς φοιτηταῖς ὑποδείξας τὴν ὁδὸν τοῦ πορέυεσθαι ἀμεταστρέπτῳ πορείᾳ, ὁδηγῶν εἰς λιμένα σωτήριον, ὡς τέκνα τούτους ἐδίδαξας, ἐκπαιδεύσας τοῦ κραζειν ἀλήκτῳ φωνῇ διὸ ὑπὲρ.....

γ. Ἄνωθεν ἔχων τὴν θείαν χάριν καὶ οὐράνιον δόξαν τὴν δοθεῖσαν αὐτῷ ἀπὸ κοιλίας μητρὸς αὐτοῦ, οὗτοσ ἀκμάσας τῇ ἡλικίᾳ, ἐκαρτέρει ἀπαύστως τῇ ἐκκλησίᾳ. πίστει δεκτῇ ὑπακούσας εὐρύθμως τῷ θείῳ Σάβα. ἀπέμπτῳ διδασκαλίᾳ. ἐξ αὐτοῦ ὁ σοφὸς κυβερνώμενος ὁδῷ εὐθείᾳ πορέυεσθαι, καὶ λιμένα γαλήνης κατέλαβε, διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

25-го Ноября св. Клименту и Петру Александрійскимъ, а у Питры 24. Ноября. Кондакъ и два икоса есть и въ Аѳонскомъ Кондакаріи.

p. 315. δ. Σοφὸς ποιμὴν καθεστηκὼς Ἀλεξανδρέων Πέτρος τὸ αἷμα υπὲρ πάντων ἐξέχεε προθύμως, καὶ τὴν ψυχὴν προτεθεικώς, ἔδειξεν ὡς ὄντως ἀπλανὴς πέλων ποιμήν, οὐ μισθωτὸς ἀδόκιμος, ἔστερξε διωγμοῖς τε καὶ θλίψεσι καὶ φρουραῖς τὰ πλήθη. ουκ ἀπέσχε τοῦ κηρύττειν ἀνένδοτος πίστεωσ τὸ σέβας. διὸ ἐπὶ χριστῷ τῇ πέτρᾳ ἀτρέμας ἐφεστώς, τοὺς εὐμενῶς τοῦτον τιμῶντας φύλαττε ἀεὶ καὶ σῶζε τοὺς ἐκβοῶντος. Ὑμῶν πρεσβείαις φρουρεῖτε τοὺς ἅπαντας.

25-го Апрѣля св. Евангелисту Марку.

p. 317. 318. Μηνὶ ἀπριλλίῳ κε. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου Κονδάκιον ἦχ. δ. Πρὸς τό. Ἐκ λάκκη.

α. Ἀπόστολε Κυρίου, εὐαγγελιστά, ὦ Μάρκε ἀθλητά, πρεσβείαν ποίει Χριστῷ σῶσαι τοὺς τὴν μνήμην σοῦ ἐκτελοῦντας ἀπὸ πάσης περιστάσεως.

Πρὸς τό. Ἐννόησον φόβῳ. β. Ὡς ἄριστος πέλων θεράπων Κυρίου, γέγονας τῆς αὐτοῦ παρουσίας, ὡς φῶς. ὑφηγήτως, ὦ Μάρκε πανάριστε. ἃ ἐμυήθης παρὰ τοῦ Πετροῦ τοῦ ὄντως κορυφαίου. αὐτῷ γὰρ γράφεις καὶ ἐκδιδάσκεις πάντας τοὺς λαούς. πρῶτον Κυρήνην ἐφώτισας, ἔπειτα Αἴγυπτον ἅπασαν. ὅθεν σοι ἅπας κόσμος βοᾷ. Σῶσον τοὺς τὴν μνήμην σοῦ ἐκτελοῦντας ἀπὸ πάσης περιστάσεως.

γ. Διήλεγξας εἰδώλων πλάνην ταῖς διδαχαῖς σου, Μάρκε σοφέ. τὸν δὲ Ἀνιανὸν φωταυγείας ἐμπλήσας τοῦ Πνεύματος, τοῦτον ποιμένα τῆς ἐκκλησίας τελεῖς τῆς σεπτοτάτης λαοῦ φωστῆρα καὶ οἰκουμένης πάσης ὁδηγόν. Ὡς οὖν ἐκεῖνον ἐφώτισας, οὕτω καὶ πάντας διάσωσον σοὶ τοὺς κραυγάζοντας πίστει ἡμᾶς. Σῶσον τοὺς τὴν μνήμην σοῦ ἐκτελοῦντας ἀπὸ πάσης περιστάσεως.

δ. Ἠγώνισαι Μάρκε θεοφόρε, μεχρὶ θανάτου ὑπὲρ Χριστοῦ, αἰκισμοὺς ὑποστὰς καὶ βασάνους ποικίλας καὶ μάστιγας. τέλος σὸν αἷμα ἔσπεισας τούτῳ. τὸ σῶμα δὲ πυρώσας δεκτὴ ἐγένου θυσία, μάκαρ. ὅθεν δυσωπῶ σε, ἀποστόλων ὁμότιμε, ταῖς ἱκεσίαις σου σῶσον με, ἅμα τοῖς κράζουσι πίστει πρὸς σέ. Σῶσον τοὺς τὴν μνήμην σοῦ ἐκτελοῦντας. ἀπὸ περιστάσεως.

12-го Мая св. Филиппу Аргирійскому.

p. 319. Τῇ αὐτῇ (12 мая) ἡμέρα κονδάκιον τοῦ ἀποστόλου καὶ μονάχου Φίλιππος τοῦ Αργυρίου ἦχ. β. Πρὸς τό. Τὴν ἐν πρεσβείαις.

ς. Τὸν ἐν πρεσβείαις ἀήττητον ἱερέα, καὶ τοῖς νοσοῦσι ταχύτατον ὑπήκοον, Φίλιππον ἅπαντες εὐφημήσωμεν, ὡς τῷ Κυρίῳ πρεσβέυοντα ὑπὲρ ἡμῶν, τῶν βοώντων πιστῶς. Ὁ θαύμασι φαιδρυνασ τὰ ἑσπέρια.

κ. Ἄνωθεν μὲν Χριστὸν ἐκδυσώπει, ὦ ἱερὰ κορυφή, ἱερέων Χριστοῦ θεόπνευστον ἐγκαλλώπισμα, ἐν χάριτι θεία τετειχισμένος, καὶ ἐν δόξῃ ἀΰλῳ νῦν ἀπολάυων. Σὺ γὰρ ἀεὶ τὰς δεήσεις προσδέχῃ τῶν ὑμνώντων σε; συ οὖν τῷ θεῷ πρεσβέυων, ἐξιλέωσαι τῶν πίστει καὶ πόθῳ ὑμνούντων σε, ὦ Φίλιππε μάκαρ, (εἰς τοὺς αἰῶνας αἰώνων ἅπαντας) ὁ θαύμασι φαιδρύνας τὰ ἑσπέρια.

24 Іюня Рождеству св. Іоанна Предтечи.

p. 320. 323—327. Μηνὸς Ἰουνίου κδ. Κονδάκιον εἰς γενέθλιον τοῦ προδρόμου, φέρον ἀκροστιχίδα. εἰς τὸν πρόδρομον Δομετίου. Πρὸς τό. Ἡ Παρθένος σήμερον.

p. 323. ι. Ῥαψωδίας οὐκοῦν λόγους μοι νῦν ἀπήγγειλας. τί γάρ μοι ὄφελος, ἢ καὶ τῷ κόσμῳ ἔσομαι, ἂν τέκνον γεννήσω ἐν γήρα τοιούτω; πατὴρ ἐθνῶν γὰρ ποίων γενήσομαι, ὡς οὗτος ὁ δίκαιος; ἢ τί ἐντεῦθεν ἄρα καρπώσομαι, μᾶλλον δὲ πολλῶν γέλως γενήσομαι. οὐ γὰρ πρεσβύταις, ἀλλὰ τοῖς νέοις τὸ τίκτειν ἐστὶν ἀγαθὸν κα χαριέστατον ἀεί, ὅθεν λόγον οὐχ ἔχω ὡς ἔσεται υἱός μου προφήτης.....

ια. Οὐ πιστεύω ἐγώ, ὅτι υἱὸν γεννήσομαι. εἰ γὰρ καὶ ἐξ ἐμοῦ ἡ σὺν ἐμοὶ συλλήψεται, τὸ κέρδος μοι ποῖον ἂν μὴ ἐπιζήσω; ὅτι ἐκάμφθην ὑπὸ τοῦ γήρως μου ἰσχυς δέ μου ἔλιπεν, καὶ ἐπὶ θύραις ἔστιν ὁ θάνατος, ὡς τῆσ τελευτῆς κατεπειγούσης με. εἰ δὲ ὡς ταῦτα λέγεις ἀρτίως, νομίσει τις οὖν ἀληθῶς. ὅτι γεννήσω υἱόν; ἀμφιβάλλω γὰρ τοῦτο. ὡς ἔσεται, υἱός μου προφήτης.

ιβ. Δειλιάσαντα οὖν ἅμα καὶ ἀπιστήσαντα εἰς τοσοῦτον ἰδὼν τὸν γηραιὸν ὁ ἄγγελος, σπουδάζει, θαρσύνει ἅμα καὶ διδάσκει. φησὶ γὰρ τούτῳ. Σύνες, καὶ ἄκουσον, πρεσβύτα, τι λέγω σοι. Τῷ πατριάρχῃ πάλαι, ὡς ἔφησας, ὤφθη ὁ Θεὸς ὁ ἀπερίγραπτος. ἀλλὰ ἐκεῖνα ὑπῆρχε τύπος, ὧν πράττειν ἔμελλε Θεός, συγκαταβαίνων τοῖς θνητοῖς, οὗ γενήσεται οὗτος ὁ υἱός σου Ἰωάννης προφήτης....

ιγ. Ῥαψῳδίαι οὐκ οὖν λόγοι μου, οὓς προήγγειλα, ἀληθείας δὲ σοὶ ῥήματα. πεμφθεὶς ἄνωθεν ἐκ τοῦ φιλανθρώπου ἐγὼ ὁ λαλῶν σοι, ἐγὼ ἀγγέλων ὁ ἀρχιστράτηγος ὑπάρχω, πρεσβύτατε. τῷ φοβερῷ δὲ θρόνω τοῦ κτίσαντος γῆν καὶ οὐρανὸν, τρέμων παρίσταμαι. παρ οὗ ἐπέμφθην διακονῆσαι καὶ προμηνῦσαι σοι χαρὰν, καὶ διὰ σοῦ πάσῃ τῇ γῇ. ὃ γενήσεται οὗτος ὁ υἱός σου Ἰωάννης προφήτης.....

ιδ. Ὁ οὖν πέμψας με σοι Λόγος ἐστὶ προάναρχος καὶ υἱὸς τοῦ Θεοῦ ἅμα τε καὶ Θεὸς ἡμῶν, ὃς ἔρχεσθαι μέλλει. νῦν δι εὐσπλαγχνίαν, καὶ δι ἀνθρώπους ἄνθρωπος γίνεται, ἀνθρώπους λυτρούμενοσ. καὶ ἐκ Παρθένου μήτρας προέρχεται πρᾶγμα φοβερὸν καὶ δυσπαράδεκτον, ὅπερ θαυμάζει πᾶσα ἡ κτίσις, ὅτι ἀθάνατος Θεὸς συμπολιτέυεται θνητοῖς. ἀλλὰ τοῦ μυστηρίου γενήσεται ὁ υἱός σου προφήτης.....

ιε. Μὴ θαυμάσῃς οὐκοῦν ὅτι ἡ στεῖρα τέξεται, καὶ γὰρ ἔχεις ἰδεῖν καὶ τὴν παρθένον τίκτουσαν εἰς ἔκπληξιν τότε ἄλλην μεθιστάναι. ἐκ παραδόξου παραδοξότερον θεάσῃ, πρεσβύτατε, καὶ ἐκ τῶν πρώτων τὰ τελευταῖα σοὶ καὶ τοῖς μετὰ σὲ πάντα δειχθήσεται ἐνταῦθα μέντοι σοὶ κατὰ φύσιν, τῇ συνηθείᾳ τῇ πρὸς σέ, ἡ στεῖρα τίκτει υἱὸν, ἀλλὰ τοῦ ὑπὲρ φύσιν ἔσεται ὁ Ἰωάννης προφήτης....

ιϛ. Ὁδηγήσω σε νῦν, καὶ τὴν Γραφην διδάξω σε. Ἡσαΐας ποτὲ προφητικῶς ἐκήρυξε περὶ τοῦ υἱοῦ σου. ὃν τίκτει ἡ στεῖρα, φωνὴν βοῶντος τοῦτον ἐκάλεσε, φωνὴ καὶ κληθήσεται. φωνὴ τοῦ Λόγου. πάντων ἡγήσεται, τοῦ Ἐμμανουὴλ πρῶτος ἐλεύσεται, τοῦ βασιλέως ὁ στρατιώτης, καὶ τοῦ δεσπότου ὁ πιστὸς προτρέχει δοῦλος ἐπὶ γῆς, τὴν ὁδὸν ἑτοιμάζων, καὶ καλούμενος ἐν κόσμω προφήτης....

ιζ. Νῦν μὲν ὁ Γαβριὴλ τούτοις τοῖς λόγοις κέχρηται, ἀλλὰ ὁ ἱερεὺς καθ' ἑαυτὸν λογίζεται. Τοῦτο που τὸ σέβας καὶ τοῦ προλαλοῦντος ναὸς ὑπάρχει τοῦ παντοκράτορος, σεπτὸς καὶ πανάγιος, παστὰς ἀγγέλοις καὶ ταῖς δυνάμεσι, καὶ τοῖς χερουβεὶμ τοῖς λειτουργοῖς αὐτοῦ. ἀπαρτὶ οὗτος οὐκ ἂν ἐνταῦθα ποτὲ ἐθάρρησεν ἐλθεῖν, καὶ ἀπατῆσαι τοὺς πιστούς, ἀλλ' οὐχ οὕτως πιστεύω ὡς ἔσεται υἱός μου προφήτης....

ιη. Δριμυχθεὶς οὐ μικρὸν ὁ Γαβριὴλ ὀργίζεται, καὶ φησὶ πρὸς αὐτόν. Ἔδει σε, ὦ πρεσβύτατε, μὴ ἀμφισβητῆσαι πρὸς τοῖς λαληθεῖσιν. ἀλλ' ἐπειδήπερ σὺ οὐκ ἐπίστευσας τοῖς λόγοις οἷς εἶπόν σοι, οὐ μὴ λαλήσεις, ἕως οὗ γένηται ἔργοις καὶ καιροῖς ἅπερ λελάληκα. τὴν γὰρ σφαλεῖσαν φωνὴν ἐγὼ νῦν ἐπέχω, ὡς ἀπιστηθείς, καὶ σωφρονίζω πρὸς καιρὸν. ἕως ὅτε τεχθῇ σοι ἡ φωνὴ φωνὴν σοι δοῦσα προφήτης.

ιθ. Ὁ ἀσώματος μὲν ταῦτα εἰπὼν ἀπέρχεται· ὁ λαὸς δὲ ἐκτὸς τὸν ἱερέα ἔμενε, θαυμαζων καὶ λέγων. Τίνος ἄρα χάριν τοσοῦτον χρόνον ἔσω ἐβράδυνε νυνὶ ὁ πρεσβύτατος; οὐδέποτε γὰρ τοῦτο ἐγένετο. Πᾶς οὖν ὁ λαὸς τότε ἐξίστατο. ἀλλ' ὁ πρεσβύτης ἐξῆλθε μόνος, καὶ διανεύων τῷ λαῷ, ἐγνώσθη πᾶσι μὴ λαλῶν, καὶ λοιπὸν ἐσιώπα ἕως ὅτε ἐγεννήθη προφήτης... .

κ. Μετὰ τὴν σιώπην ἔβλεπεν ὁ πρεσβύτατος ἐν τοῖς ἔργοις αὐτοῦ τὰ τοῦ ἀγγέλου ῥήματα, τὴν ἄκαρπον πρώην νῦν καρποφοροῦσαν. ἧς μετὰ χρόνον πάλιν τεθέαται παρθένον ἐγκύμονα, Ἡ στεῖρα, λέγων, ἤδη συνέλαβε. μήτερ δὲ φωνῆς πάντων γενήσεται. ἐγὼ φωνῆς μὲν ἀπεστερήθην. ὁ πρώην εὔλαλος ἀεί, εὑρέθην ἄλαλος νυνί, ἀλλὰ πάλιν φωνὴν μοι προξενήσει ὁ ἐκ στείρας προφήτης....

κα. Ἰωάννην οὐκοῦν ὁ ζαχαρίας ἔμενεν, ἡ σιγὴ τὴν φωνὴν τίκτεσθαι ἐξεδέχετο. ὁ γέρων τὸν νέον τὸν ἐξ Ἐλισαβέτ. Ὁ πρόδρομος δὲ τότε κραυτύμενος δέσμοις τῆς φύσεως καὶ ἐν τῇ μήτρᾳ ἔτι κρυπτόμενος, κράζει, οὐ φωνῇ, ἀλλὰ σκιρτήμασι, τὴν κτίσιν. Οὔπω ἐγὼ κατεῖδον, καὶ προμηνύω σοὶ τὸν σὸν δημιουργὸν καὶ λυτρωπὴν, πρὸ γεννήσεως σπεύδω τῆς τοῦ Λόγου τοῦ ἀνάρχου προφήτης.

κβ. Τῇ τῶν λόγων φωνῇ προφητικῶς προήγγελλε σαρκωθέντα αὐτόν. προθεωρῶν ὡς ἄγγελος, τὸν κόσμον οὐκ εἶδε, καὶ κόσμῳ δὲ συγχαίρει. τὸ φῶς μὴ βλέπων, εἶδε τὸν ἥλιον τὸν πάντας φωτίζοντα, δεσπότην βλέπων, παραγενόμενον χρόνον τοκετοῦ οὐ περιέμενον, ἀλλὰ καὶ φεύγειν ἐφιλονείκει, πρὸ τῆς γεννήσεως αὐτοῦ, τὰ τῆς γαστρὸς αὐτὸν δεσμὰ κατασχόντα, καὶ λέγων ὅτι ἦλθεν οὗ ὑπάρχω προφήτης....

κγ. Ἰωάννης μὲν οὖν ἐξ Ἐλισάβετ τίκτεται. ὁ πατὴρ δὲ αὐτοῦ ἐκ παραδόξου φθέγγεται τὴν προσηγορίαν τοῦ νέου, συγγράφων, ἐπερωτηθεὶς τίνα καλέσωμεν τεχθὲν τὸ παιδάριον; Αἰτήσας δέλτον, γράφει τὸ ὄνομα, ὅπερ πρὸς αὐτὸν εἶπεν ὁ ἄγγελος ἀγράφοις λόγοις. ὁ μὴ πιστεύσας, ἐγγράφως ἄρτι τοῦ υἱοῦ κηρύττει ὄνομα, εἰπών. Ἰωάννης καλεῖσθω ὁ τεχθείς, καὶ ὁ ὑπάρχων προφήτης.....

κδ. Ὁ ἀκούσας τὸ πρίν, καὶ μὴ πιστεύσας ῥήμασι, τῇ φωνῇ ἑαυτοῦ τοῦτο ἐνομοθέτησε, καὶ ἡ δεξιὰ μὲν ἔσπευδε τοῦ γραφεῖν. ἀλλὰ προφθάσαι ταύτην ἠπείγετο ἡ γλῶσσα τοῦ γέροντος καὶ πρὶν προγράφῃ ὅλον τὸ ὄνομα, λύεται δεσμὸς ὁ τῆς φωνῆς αὐτοῦ. τὸ γράμμα οὔπω οὐκ ἀνεγνώσθη, ὡς δὲ ἐξέκραγε βοῶν, καὶ εὐλογῶν τὸν λυτρωτήν. Ἰωάννης καλείσθω ὁ τεχθεὶς καὶ ὁ ὑπάρχων προφήτης......

κε. Υἱὲ τοῦ Θεοῦ. σὺ εἶ Θεὸς προάναρχος, τοῦ ἀνάρχου Πατρὸς σύνθρονος καὶ τοῦ Πνεύματος, ἀρρήτως, ἀφράστως τεχθεὶς ἐκ παρθένου, ὁ δὶ ἀνθρώπους ἄνθρωπος τέλειος ἀτρέπτως γενόμενος, παράσχου πᾶσι δόξαν καὶ ἄφεσιν καὶ ἐπιστροφὴν τοῖς προσιοῦσί σοι. καὶ σῶσον πάντας ταῖς ἱκεσίαις τῆς παναμώμου σου μητρὸς καὶ τοῦ ἐνδόξου Βαπτιστοῦ, καὶ αὐτὸς γὰρ πρεσβεύει ὑπὲρ πάντων ὢν ὑπάρχει προφήτης, κήρυξ, ὁμοῦ καὶ πρόδρομος.

8-го Іюля св. Прокопію.

р. 328. Μηνὶ ἰουλίῳ η. Κοντακ. τοῦ ἁγίου Προκοπίου ἦχ. β. πρὸς τό. Τὰ ἄνω ζητῶν потомъ πρὸς τό. Τράνωσον. Въ Аѳонскомъ Кондакаріи 3-й икосъ начинается: Ἔργοις καὶ πράξεσιν.... Здѣсь по счету Питры 4-й.

р. 329. δ. Ἔαρ ἡμῖν ἐπέστη τὸ θεῖον, ἡ παγκόσμιος ταύτη ἑορτῶν ἑορτή, πανήγυρις πανηγύρεων, συνεπομένη αὐτῇ τῇ τάξει τοῦ μεγάλου φωστῆρος τῆς οἰκουμένης. πάντες σπουδῇ φιλομάρτυρες, δεῦτε καὶ χερσὶ κροτεῖτε, την τοῦ προφήτου ἐκπληροῦντες φωνὴν μελωδήσασαν. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, ὁ Θεὸς ὁ διδοὺς τὰ χαρίσματα τῇ πίστει.....

ε. Φῶς οὐρανόθεν σοι περιλάμψαν ὥσπερ πάλαι τῷ Παύλῳ, τῶν αὐτῶν ἐντολῶν εἰργάσατό σε συμμέτοχον. πίστει, ἐλπίδι καὶ ἀγάπῃ τὴν ψυχήν σου τειχίσας, ὦ ἀθλοφόρε, πᾶσαν ὁμοῦ τῶν εἰδώλων τὴν πλάνην κατέβαλες, κηρύττων ἐν παῤῥησίᾳ τὸν Υἱὸν τῷ Πατρὶ ὁμοούσιον καὶ τῷ παναγιωτάτῳ Πνεύματι, ἐξ οὗ πᾶσι πηγάζεις ἰάματα, τῇ πίστει.....

ϛ. Νὺξ με καλύπτει τῆς ἁμαρτίας καὶ πρὸς σὲ καταφεύγω, ἀθλοφόρε Χριστοῦ, Προκόπιε πανασίδιμε, λάμψον μοι τὸ φῶς τῆς σῆς πρεσβείας, καὶ τον ζόφον ἀπέλασον τῆς ψυχῆς μου. τοῦ δὲ πυρὸς ἐξελοῦ με ἐν ὥρᾳ τῆς κρίσεως, ὡς ἔχων πρὸς τὸν σωτῆρα παρρησίαν, δὶ ὧν ὑπερήθλησας, καὶ συμπαράττουσαν ἔχων σαφῶς τὴν τεκοῦσάν σε, ἅγιε, δέομαι, τῇ πίστει προκόπτων καὶ φωτίζων ἡμᾶς.

12-го Августа св. мучен. Фотію и Аникитѣ.

р. 330. Въ Аѳонскомъ γ΄. Ἀδελφιδοῦν... нѣтъ, а здѣсь нѣтъ по счету Питры, 4-го Ἡπλώτο πλάνη. По Кондакарію Питры акростихъ выходитъ: Γαρ..... и по Аѳонскому: Γρη.... и 2-й икосъ въ Аѳонскомъ начинается: Ρεύματος πλάνης.......

р. 331. γ. Ἀδελφιδοῦν ὁμόφρονα ἔχων ἑαυτοῦ, ὁ γενναῖος κατ' ἀξίαν σοφός, τῷ τρόπῳ τὴν κλῆσιν ἔδειξεν, τὸν γὰρ νοῦν ἔχων πεφωτισμένον, φώτιος τῷ ὀνόματι ἐκαλεῖτο. οὗτος Χριστοῦ τὴν ἐλπίδα ὡς θώρακα προβαλών, εἰς μέσον εὐθαρσὴς ἔστη, τηνικαῦτα βοῶν πρὸς τὸν τύραννον. Ἰδοὺ καγὼ τῷ πατρί μου νῦν κατὰ τῶν σῶν εἰδώλων συμπαράττομαι. οὓς ὕμνοις....

2-го Августа св. первомученику Стефану.

p. 332. 333. Κονδάκιον ἐις ἐπάνοδον τοῦ λειψανου τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου.. ἠχ. πλβ. (8.) τὰ κουκούλου ἰδιομελον. Въ Аѳонскомъ есть.

Въ недѣлю православія.

p. 334. 335. Τῇ κυριακῇ τῆς ὀρθοδοξίας, ποιημα ταρασίου πατρίαρχου ἦχ. πλδ̄. (8.)

γ̄. Σὺ ἐι ὁ χερσὶ σου ποιήσας τὸν ἄνθρωπον, ὡς ἔφη προφήτης μελῳδήσας, χοῦν ἐκ γῆς, Χριστὲ, λαβὼν, θεοειδέα ἐμόρφωσας, καὶ καλέσας εἰκόνα καὶ δέξαν σου, γνῶσιν τὴν θείαν ἐν αὐτῷ ἐνέθης (ἀλλ᾽ ἐπάτησε παραβὰς τὸ πρόσταγσα) καὶ τὴν σὴν συγκατάβασιν, ἢ ἀνάκλησιν, δἰ ἧς, σῶτερ, ἀναπέπλασται τοῦτο μᾶλλον μίμημα θείου κάλλους τοῦ πρὶν θεοειδέστερον. ἀλλ᾽ ὁμολογοῦντες τὴν σωτηρίαν ἔργω καὶ λόγω, ταύτην ἀνιστορῶμεν.

6-го Ноября св. Павлу Исповѣднику.

p. 336 — 338. Μηνὶ Νοεμβρίῳ ς̄. τοῦ ἁγίου Πάυλου ὁμολογητοῦ κονδάκιον. ἦχ. β̄. φέρον ἀκροστιχίδα Τοῦ Στουδίτου.

ᾱ. Πιστευθεὶς θεία ψήφῳ τὴν ἐκκλησίαν, ἐναθλεῖς ὑπὲρ ταύτης μέχρι θανάτου, τὸ τῆς τριάδος τρανώσας ὁμόθεον καὶ ἀμαυρώσας Ἀρείου τὸ βλάσφημον, ὁμολογητὰ μακάριε, ἀεὶ ὑπὲρ ἡμῶν τὸ Θεῖον ἱλέωσαι.

β̄. Τὸν λαμπτῆρα γνωρισθέντα ἀπλανῶσ τῆς οἰκουμένης, τῆς ἐκλογῆς τὸ σκεῦος, τὸν ἰσοκλεῆ καὶ ὁμώνυμον Πάυλῳ, ἅπαντες τὸ σοφὸν ὑμνήσωμεν, ὥσπερ ἀπόστολον, ὅτι καὶ αὐτὸς ὄνομα μέγα βεβάστακεν, κηρύξας Ὑιὸν τω Γεννήτορι ὁμόδοξον, ἐπὶ ἐθνῶν βασιλέων τε, ὦ ᾄδουσι τὰ πέρατα. διὸ ὑπὲρ ἡμῶν τὸ Θεῖον ἱλέωσαι.

γ̄. Ὁ παμμάκαρ, ἐκ σπαργάνων ἔθαλες φυτὸν ὡραῖον, ὡς ἐκ τοῦ παραδείσου τῆς ἀσκήσεως. σὺ ἀνέτειλας βρίθων Πνεύματος τοῖς καρποῖς τοῦ παναγίου ποικιλώτατα. τὴν πίστιν ὀρθὴν ὡσ ὑπὲρ μύρον διέπνευσας. τὰ ἔργα τερπνὰ, ὡς ἐκ λειμῶνος, ἐκύπρισαν, ὧ ὀσφρησάμενοι μυστικῶς βοῶμεν σοι ἐπάδοντες. διὸ ὑπὲρ....

δ̄. Ὑπαστράπτων, ὡς φωσφόρος ὁ σοφὸς, τὸν θεῖον βίον, ἐις τὸ τῆς προεδρίας ἐκ προγνώσεως ὕψος ἄνεισι. ἔνθα ἅπασι φρυκτωρεὶ τὴν εὐσεβῆ πίστιν ὀρθόδοξον, μονάδα τρισὶν ὑποστάσεσιν ἐκλάμπουσαν, τριάδα μιᾷ τῇ θεότητι ὑπάρχουσαν, ἣν προσκυνοῦντες εἰλικρινῶς βοήσωμεν ἐπάδοντες. διὸ ὑπὲρ....

ε̄. Συ τῇ λάμψει τῶν δογμάτων δαδοῦχων ἐν ἐκκλησία, τὸ τῆς θεολογίας ὁμοούσιον καὶ τρισήλιον φέγγος ἤστραψας, ἐν αὐτῇ κατέλαμψας πάντα τὰ πέρατα, ἀρειανικὴν σκοτομήνιον δυσσέβειαν σφοδρῶς ἤλασας ταῖς θείαις αὔραις τοῦ Πνεύματος, ὡς ἐν ἡμέρα περιπατεῖν τοὺς ὀρθοδόξως ᾄδοντας. διὸ ὑπὲρ.....

ζ̄ Ὀρθοδόξως τὴν Τριάδα συμφυῆ θεολογήσας, καὶ θηριομαχήσας ὁ ἀήττητος, ταύτης ἕνεκα, δύο δράκοντας ἀσεβεῖς ἀπέκτεινας ξίφει δογμάτων σου. τὸν ἐις τὸν Ὑιὸν κτισμολατρεία λυπήσαντα, τὸν ἐις τὸ σεπτὸν ἅγιον Πνεῦμα ὑβρίσαντα. σὺν γὰρ Ἀρείῳ καὶ κατήργησας ἅμα Μακεδόνιον. Διὸ ὑπὲρ...

20-го Генваря св. Евѳимію.

p. 338—340. Μηνὶ ἰανουάρ. κ̄. τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐφημίου κονδάκιον. ἠχ. β̄. φέρον ἀκροστιχίδα ἑωσφόρῳ.

ᾱ. Τῷ θεῷ ἀπὸ μήτρας ἐκλελεγμένος, Σαμουὴλ τῇ προβλέψει ἀνηγορεύθης, τὴν οἰκουμένην λαμπρύνας τοῖς θαύμασι, καὶ τὰς ἐρήμους πυκνώσας τοῖς πλήθεσι, τερατουργὲ Εὐθύμιε. διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β̄. Εὐθυμείτω φερωνύμως ἡ Σιὼν ἐπιτελοῦσα τὸν τῆς θείας μνήμης σου πανηγυρισμόν. τῷ γὰρ τόκῳ σου εὗρεν λύτρωσιν τῶν δεινῶν, Εὐθύμιε θεοπλούτιστε. ὡς κρῖνον ἀνθοῦν ἐν τῇ ἐρήμῳ τὰ ὅσια, πληροῖς τῆς ὀσμῆς τῶν θαυμάτων σου τὰ πέρατα, ἧς ὀσφραινόμενοι ψυχικῶς ρωννύμεθα ἐπάδοντες. Διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

γ̄. Ὦ γονέων ευτυχίας τῶν ἐσθλῶν, ὅτι τοιοῦτον διὰ ἰκετήρια ἀνεβλάστησαν καρπὸν ὅσιον, ὅνπερ ὥσπερ οἶν τῷ Θεῷ, ὡς Σαμουὴλ ἡ γεννήσασα, ὁ μέγας αὐτὸς ἀφιέρωσεν Ὀτρέϊος. τὸ Πνεῦμα αὐτὸν τὸ πανάγιον ἠγάπησε, πρὸς ὃν βοήσωμεν ἐκτενῶς καὶ εἴπωμεν ἐπάδοντες. Διὸ ὑπὲρ...

δ̄. Συ προῆλθες, ὡς ἐκ σίμβλων, τῆς γαστρὸς ὁ φιλεργάτης, ἀρετῶν τοῖς ἄνθεσιν ἐφιπτάμενος καθὰ μελιττα, μέλι ἅγιον ἑαυτῷ τῶν ἐντολῶν ἐργασάμενος καὶ τοῦτο Θεῷ προσφερόμενος, εὐφροσύνῃ γλυκαίνων ἡμῖν τῆς ἀσκήσεωσ τὸ ἔμπικρον, δἰ οὗ ἡδύνοντες τὰς ψυχὰς, κραυγάζομεν ἐπᾴδοντες. Διὸ ὑπὲρ.....

ε̅. Φιλοθέου ξυνωρίδος καὶ στοργῆς! ψυχὴ γὰρ μία ἐν δυσὶ τοῖς σώμασι ἐγνωρίζετο ὑμῖν. ἅγιοι, ὤμοις φέροντες τὸν σταυρὸν, εὐθύμιε καὶ θεόκτιστε. τὴν ἔρημον γὰρ ἐνεώσατε, θειότατοι, δεικνύντες αὐτὴν ὡς παράδεισον πυκάζουσαν. πρὸς οὓσ κραυγάζομεν ἐν χαρᾷ, καὶ ψάλλομεν ἐπάδοντες. Διὸ ὑπὲρ....

ς̅. Οἱ Αἰπόλοι ἐν τῷ ἄντρῳ τοὺς σοφοὺς ἑωρακότες, μέγαν φόβον ἔλαβον, αἰσθανόμενοι τὸ δυσβάτευτον. ὅθεν βαίνοντες πρὸς αὐτοὺς ἐθαύμαζον τὴν ζωὴν αὐτῶν. βοτάναι αὐτοῖς ὄψον ἥδιστον γεγόνασιν, ὡς ἐν οὐρανῷ οἱ μακάριοι διέτριβον, πρὸς οὓς συνήρχοντο οἱ λαοὶ, κραυγάζοντες καὶ ᾄδουντες. Διὸ ὑπὲρ....

ζ̅. Ριζωθέντες ὁμοψύχως τῷ θεῷ καρποφοροῦσιν τῶν ἀποτασσομένων τὴν διάδοσιν οἱ φαιδρόψυχοι. λάμπων μείζοσιν ἀρεταῖς τοῦ ἑτέρου ὁ εὐθύμιος. μονίαν ὁ μὲν ὡς φιλέρημος ἀσπάζεται. ὁ δὲ εὐπειθῶς τὸ κοινόβιον προσδέχεται. ἀλλήλοις διδοῦσι τοὺς μισθοὺς, καὶ ᾄδουσιν οἱ σωζόμενοι. Διὸ ὑπὲρ....

η̅. Ὥσπερ χρεὼν, δεῦτε πάντες, μονασταὶ σὺν τοῖς μιγάσιν, ἱερεῖς σὺν ἄναξιν, καὶ πᾶς ὁ λαὸς, νῦν αἰνέσωμεν, ὅνπερ δέδωκεν ὁ θεὸς ἐν τῷ κόσμῳ δῶρον μέγιστον, τὴν πόλιν θεοῦ ἐν τῇ ἐρήμῳ συστήσαντα, τὸν ἐν ἀρεταῖς τὴν οἰκουμένην ἀστράψαντα, τὸν μέγαν ὄντως τῶν μοναστῶν φωστῆρα, πρὸς ὃν κράζομεν. Διὸ ὑπὲρ....

28-го Генваря св. Ефрему Сурину.

p. 340—342. Μηνὸς ιανουαρ. κη̅. Κονδάκιον εἰς τὸν ὅσιον Ἐφραίμ. ἦχ. β̅.

p. 341. δ̅. Ὑπεδείχθης θεορρήμων, ἑαυτῷ ἐν ὀπτασίᾳ ὡς μεγάλη ἄμπελος, τὴν ὑπ᾽ οὐρανὸν ἐκπληρώσασα θείοις ῥήμασιν ὡς καρποῖς, ἐπαρκοῦσα πᾶσι τοῖς πέρασιν. ἡ γλῶσσα γάρ σου τὰ μελίρρυτα διδάγματα ὑπὲρ τὴν πηγὴν τοῦ παραδείσου ἐκβλύσασα, ἀρδεύει πάντας ψυχωφελῶς τοὺς πίστει σοι ἐπάδοντας. Διὸ ὑπὲρ...

ε̅. Τῆς σοφίας ἐντρυφήσας τῇ πηγῇ κραυγάζεις, πάτερ. Ἄνες σου τὰ κύματα τὰ τῆς χάριτος, μόνε Κύριε. Ὅθεν ἔβλυσας ποταμοὺς, τὰ διδάγματά σου φωτίζοντα. ἐντεῦθεν λοιπὸν ὡς μαργαρίτας τὰ δογματα ἐκ βάθουσ τῆς σῆς θεογνωσίας ἀνείλκυσε, ἐν οἷς κοσμεῖται θεοπρεπῶς, ἡ ἐκκλησία ᾄδουσα. Διὸ ὑπὲρ...

ζ̅. Ὁ λειμών σου τῶν ποικίλων διδαχῶν εὐωδιάζων, ἅπασαν οἰκουμένην ἀνεπλήρωσεν ὀσμῇ γνώσεως. ὅθεν ἅπαντες ψυχικῶς οἱ ἡδύπνοοι χρηματίζομεν, τὸ ἐκ τῶν παθῶν δυσῶδες νέφος ἐλαύνοντα, ὡς ἄνθη τερπνὰ, τὰ σὰ λόγια δρεπόμενοι, ἐν οἷς στεφάνους ὑμνωδικοὺς προσφέροντες σοι ἄδομεν. Διὸ ὑπὲρ....

η̅. Ὑπὲρ πάντας τοὺς ὁσίους θρηνητὴς τοῦ βίου ὤφθης, προδεικνὺς τὸ ἔμφοβον τῆς κολάσεως, τρισμακάριστε. ἄλλος γέγονας προφητῶν ἱερεμίας πολυθρήνητος, τὴν ὑπὸ παθῶν αἰχμαλωσίαν θρηνούμενος, καὶ ὑποδηλῶν τῆσ μετανοίας τὴν ἄνοδον, δι᾽ ἧς ἐλπίζοντες εἰς Χριστὸν, βοῶμεν σοι ἐπάδοντες. Διὸ ὑπὲρ...

θ̅. Ὑμνῳδήσας τὸν σὸν βίον, ἐκ μικροῦ ἐκλιπαρῶ σε ἀπὸ τῶν χαρίτων σου, παμμακάριστε, κἀμοὶ δώρησαι χάριν, ἔλεος καὶ ἰσχὺν, τὸν τοῦ βίου πλοῦν περαιώσασθαι. τὸ μοναδικὸν ἐπιστηρίζεις πολίτευμα. τὸ μιγαδικὸν ἐκδιασώζεις βιώσιμον, τοὺς ἱεράρχας τε και βασιλεῖς, καὶ πάντας τοὺς συμψάλλοντας. Διὸ ὑπὲρ....

22-го Апрѣля св. Өеодору Сикеоту.

p. 342. 343. Μηνὸς ἀπριλλίου. ἦχ. β̅. ποίημα Στουδίτου.

p. 343. δ̅. Ὑπεδείχθης ἀπὸ βρέφους ἱερῶς τῆς ἐγκρατείας τὴν μακαριότητα ἀσπασάτενος, θεοδίδακτε. πνεῦμα ἔλαβες ἐκπυροῦν τὴν ψυχήν σου πρὸς πάντα ὅσια, μητρῴας στοργῆς ὑπεράνωθεν γενόμενος, ἐξ ὅλης ψυχῆς ἀνακείμενος κτίστῃ σου, πρὸς ὃν ἐλπίζειν ἐν ἅπαντι ἐδίδασκες τοὺς ἄδοντας. Διὸ ὑπὲρ....

18-го Іюля св. Емеліану.

p. 343—345. Μηνὶ ἰουλίῳ ιη̅. Κονδάκιον τοῦ ἁγίου Αἰμιλιανοῦ. ἦχ. β̅. φέρον ἀκροστιχίδα. τοῦ ἀσώτου, на полѣ, Στουδίδου.

α̅. Κρατυνθεὶς ὑπερτάτως παρὰ Κυρίου, εὐκλεῶς ἐτροπώσω τοὺς τυραννοῦντας, καὶ τῶν θαυμάτων τὴν χάριν δεξάμενος, τοῖς ἐν ἀνάγκαις ἀρρήτως προΐστασαι. Αἰμιλιανὲ πανόλβιε. διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β̅. Τὸν προστάτην τῶν πλεόντων, καὶ φρουρὸν τῶν ἐν ἀνάγκαις, τὸν στερρὸν ἀδάμαντα, Αἰμιλιανὸν, πιστοὶ, σήμερον δεῦτε, στέψωμεν ἐν ᾠδαῖς, τῷ Πνεύματι ἐπαγαλλόμενοι. αὐτὸς τὸν σταυρὸν ἐπὶ τοῖς ὤμοις ἀράμενος, ὀπίσω χριστοῦ ἀκολουθῆσαι κατέσπευσεν. αὐτῷ τὸν ὕμνον ἀθλοπρεπῶς προσειπωμεν ἐπάδοντες. Διὸ ὑπὲρ....

г. Οὐρανίαις συμπολέυων στρατιαῖς, μεγαλομάρτυς, ἐνωτίζου τὰς ἠχοὺς ὑμνῳδιῶν φωνῆς λόγων μου, ἐξ ὀργάνου γλώττησ σαθροῦ καὶ στόματος ἐκπεμπομένων σοι, διδοὺσ φωτισμόν. ἁγιασμόν μοι καὶ κάθαρσιν ψυχῆς καὶ σαρκὸς ἐπιφοιτήσει τοῦ Πνεύματοσ. τὰ σὰ προσφέρω σοι ἐκ τῶν σῶν, ὁ ἄσωτος κραυγάζων σοι. Διὸ ὑπὲρ....

д. Ὑψηγόρῳ διανοίᾳ τὰ τῆς γῆς ἐγκαταλείψας, πρὸς τυράννου βήματι Αἰμιλιανὸς δεσμοῖς ἄγεται, ἔχων τρόπαιον τὸν σταυρὸν καὶ θώρακα τὸ θεῖον βάπτισμα, σκοπῶν εἰς τὸ φῶς τὸ τῆς μελλούσης γλυκύτητος, ἰδεῖν τὸ τερπνὸν τοῦ παραδείσου γλιχόμενος, ἐξ οὗ εὐφραίνει πνευματικῶς τοὺς μέλποντας ἐπάξιον. Διὸ ὑπὲρ ...

є. Ἀλιτηρὸν θεομάχον τοῖς ποσὶ καταπατήσας, ὡς στεῤῥὸς τῆς πίστεως, Αἰμιλιανὲ σοφέ, πρόμαχος, πᾶσιν ἔδειξας προφανῶς τὸν Κύριον συμπολεμοῦντα σοι, ἰσχὺν πανσθενῆ ἐν ταῖς βασάνοις δωρούμενον, ζωὴν ἀπαθῆ διὰ θανάτου βραβεύοντα, μεθ' οὗ αὐλίζῃ ἐν οὐρανοῖς, ἰώμενοσ τοὺς κράζοντας. Διὸ ὑπὲρ....

ѕ. Σταυροτύπῳ ἐνεργείᾳ ἐν χθονὶ ἀπολικμήσασ τῶν ἐθνῶν τὰ εἴδωλα, Αἰμιλιανέ, Θεὸν ᾔνεσας τοῦτο μόνον μεμαθηκὼς προσφέρεσθαι ὕμνον τρισάγιον, δι' ὃν τῆς σαρκὸς τὴν εὐζωΐαν ἐξήρνησαι, δεκτὴ προσφορὰ διὰ βασάνων γενόμενος, μεθ' οὗ αὐλίζῃ ἐν οὐρανοῖς, ἰώμενος τοὺς κράζοντας. Διὸ ὑπὲρ....

з. Ὡς ξοάνων καθαιρέτην ὁ δεινὸσ Καπετωλῖνοσ τότε τὸν ἀήττητον Αἰμιλιανὸν εὑρεῖν ᾤχετο, στείλασ σύμφρονασ ὑπουργοὺσ τοῦ μάρτυρος εἰς ἀναζήτησιν. διὸ ἐξ ἀγροῦ ἐπανιόντα δεσμήσαντεσ οἱ σκότους μεστοὶ ἕτερον ἄνδρα ἀνεύθυνον, κατέλειψαν τὸν ζητούμενον ἀδάμαντα, ὦ κράζομεν. Διὸ ὑπὲρ...

и. Τὸν ἀγρότην ὁ στεῤῥόφρων συμπαθῶς ἀπολυτροῦται. Ὃν ζητεῖτε, ἔκραζεν, ἐγώ εἰμι, τοῦτον ἀφίετε. Ἕνα Θεὸν ὁμολογῶ, ταῖς μάστιξι καὶ χαίρων πρόσειμι. οὐ φρίττω τὸ πῦρ τὸ διαφόρως σβεννύμενον, οὐ ξίφουσ τομήν, τὴν πρὸς ὀλίγον δυσιάτον. παρέστη χαίρων τῷ δικαστῇ ὁ ἅγιοσ ὦ κράζομεν. Διὸ ὑπὲρ....

ѳ. Ἀπορήσας κατ' ἀξίαν ἐξειπεῖν ὁ ὑμνωδός σου τὰς ἀνδραγαθίας σου, Αἰμιλιανέ, βοῶ. Σύγγνωθι, δέξαι πόθῳ τὸ πρόθυμον, ἀντιδιδοὺς τὰ τελειότατα, τὸ κέρας ὕψῶν τῶν βασιλέων πρεσβείαις σου, ἰσχὺν τῷ στρατῷ κατὰ βαρβάρων δωρούμενος, τὰς ἐκκλησίας ἅπτων εἰς ἕν, εἰρηνεύων ἐπᾴδοντασ. Διὸ ὑπὲρ...

1-го Генваря св. Василію Великому.

р. 346—348. Μηνὸς ἰανουαρ. α. ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου. ἦχ. а Τοῦ Στουδίτου.

а. Τὰ θεόβρυτα τῆς λογικῆς σου κρήνησ ῥεῖθρα, ὥσπερ ἄβυσσοσ, ἐκ λογισμῶν βαθέων χέων, τοὺς ἀσεβοῦντας κατεπόντισας, Βασίλειε, καὶ στῦλος πυρὸς ὀρθοδοξίας λάμπων, μετάγεις ἡμᾶσ ἐκ τῆσ πλάνης Ἀρείου, ἱεράρχα, ὁ πολυκαρτερώτατος. ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

в. Τέρπεται σήμερον ἅπασα ἡ ἐκκλησία, τὴν σὴν σεπτὴν καὶ ἁγίαν μνήμην τελοῦσα, Βασίλειε σοφέ. σὲ γὰρ ὡς διάδημα περιβέβληται βασίλειον, εὐπρεπές, ἔχον τιμίους λίθουσ ἀστράπτοντασ, μαργαρίτασ τοὺς τῶν ἀρετῶν, λυχνίτασ θεολογίασ φαιδρούσ, καὶ τὰσ ὡσ σμαράγδουσ ποικιλτικὰς ὁμιλίας σου. διὸ βοῶ σοι περιχαρῶς. Μὴ ἐπιλάθῃ τοῦ σου λαοῦ. ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀδιαλείπτωσ ἱκέτευε.

г. Ὅνπερ κατέστεψαν στόματα τῶν θεολόγων τοῖς ἐγκωμίοις, πῶς ἐγὼ αἰνεῖν τολμήσω; Θεόν σε φαραὼ εἴπω, καὶ βασίλειον ἱεράτευμα; λειμῶνα πνευματικόν, στῦλον τῆσ ἐκκλησίας καὶ ἕδρασμα, καὶ λαμπτῆρα τῆσ ὑπ' οὐρανόν; καὶ τίς σου ἐξαριθμήσει, σοφέ, πάσασ τὰς αἰνέσεις; ὁ ἐποπτέυων ἐξ οὐρανοῦ, ὡς ἔφησαν οἱ βοῶντεσ σοι, μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ, ἀλλὰ....

д. Ὑπὸ τοὺς πόδας σου οἷον ἱκέτης, προσπίπτω, ἀναβοῶν σοι. Δέξαι κἀμοῦ τὸ δῶρον, Βασίλειε σοφέ, τόδε το πενέστατον ἐγκωμίδιον. Σὺ ἔφυς ἐξ εὐκλεουσ ῥίζης φωστήρων δύο, ὡς ἥλιος, ταῖσ ἀκτῖσί σου ταῖς λογικαῖς φαιδρύνας ἐξ οὐρανιοῦ νοὸς ἅπαντα τὸν κόσμον. ὃς καὶ χαρᾷ ἀναμέλπει σοι. ὁ ἐπιβλέπων ἐξ οὐρανοῦ μὴ...

є. Σὺ ἐκ νεότητος Πνεύματος πλησθεὶς ἁγίου, ἱεροφάντωρ, εἰς ἄνδρα τέλειον φθάνεις. σοφίασ γὰρ ἐρῶν, ἄνθη ὥσπερ μέλιττα ἐκλεγόμενος τῆς γνώσεως τὰ τερπνά, ὄντως εἰς τὰ τῶν λόγων μαθήματα καὶ τὰ σύμβολα σου νοητὰ πληρώσας, καταγλυκαίνεις ἡμᾶς ταῖς μελισταγέσι τῶν διδαχῶν ὁμιλίαις σου. διὸ βοῶμεν σοι ἐκτενῶς. Μὴ....

ѕ. Τίς ὦ Βασίλειε, φθάσει σου ἐγκωμάσαι τὰ ἐν Ἀθήναις πρακτικὰ τῶν μαθημάτων; Γρηγόριον ἐκεῖ εὗρες, τὸν πολύσοφον ὁμογνώμονα. ἐν σώμασι γὰρ δυσὶ μία ψυχὴ ἐκράθη ἀμφοῖν ὑμῖν. τοὺς συμπράκτοράς σου ἐπιστάς, αὐτίκα ἀποξενίζεις νικῶν ταῖσ (γνώσεωσ) ὑψηγορίαις διδάσκαλος γνωριζόμενος. Μὴ......

з. Ὄντως γενόμενοσ ἔμπλεως πάσησ παιδείας ἐν ἐπιστήμῃ τελείας φιλοσοφίας, κινεῖς ἐξ Ἀθηνῶν, ἥκεις εἰσ Καισάρειαν τὴν περίδοξον, λαμβάνει σε οἰκιστὴν αὐτὴ καὶ πολιοῦχον ἐπάξιον, ἀπαστράπτοντα ταῖς ἀρεταῖς, καὶ πάσῃ τῇ οἰκουμένῃ λαμπρῶς δι' αὐτῶν τῶν λόγων πυρσεύοντα. ὦ Βασίλειε, διὸ βοῶμεν σοι περιχαρῶς. Μὴ....

ῆ. Ὑπὸ τῆς ἄνωθεν χάριτος ἐκλελεγμένοσ, τῆς ἐκκλησίας τὸ κράτος θείως διέπεις, Βασίλειε σοφὲ, στήσας τὰ τῆς νίκης σου θεῖα τρόπαια. Ὀυσλεντα γὰρ πικρὸν τρέψας τοῖς λογικοῖς σου τοξέυμασι, καὶ ἔθνος ἅπαν αἱρετικὸν ὅπλοις ὀρθοδοξίας ἑλὼν, ταύτην ἐν εἰρήνῃ ἐποίμανας ἐκβοῶσαν σοι. Μὴ....

ῦ. Ἆσμα προσοίσωμεν ἅπαντες ἀξιοχρέως οἱ ἱεράρχαι αἰνοῦντες τὸν ἱεράρχην, τὸν πάνσοφον σοφοὶ, πόλεις τὸν κοσμήτορα πασῶν πόλεων, τὸν μάρτυρα ἀθληταὶ, πάντες τὸν ἅπασι διαλάμψαντα. συνᾴδουσι καὶ αἱ οὐρανῶν δυνάμεις ἐπὶ τῇ μνήμῃ αὐτοῦ, ὅτι τοῦ Κυρίου φίλος πιστὸς κεχρημάτικεν, ἀλλὰ βοήσωμεν πρὸς αὐτόν. Μὴ....

18-го Генваря св. Аѳанасію Александрійскому.

р. 349—351. Μηνὸς ἰανουαρ. ιῆ. Κονδάκιον τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀθανασίου. ἦχ. ᾱ. ᾆσμα Στουδίτου.

ᾱ. Τὰ θεόφθογγα τῆς ἐμμελοῦς σου γλώττης ρεῖθρα πλουσιώτερα τοῦ χρυσορρόα Νείλου βλύζων, τὴν ἐκκλησίαν, Ἀθανάσιε, καταρδεύσας, καὶ δείξας αὐτὴν ὡς παράδεισον ἄλλον, καθεῖλες αὐτῆς τὰς τριβόλους, αἱρέσεις, ἱεράρχα ὁ πολυκαρτερώτατος. ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

β῀. Ἄλλον σε ἥλιον ἔσχηκεν ἡ ἐκκλησία τὸν ἐκ παστοῦ ὡς νυμφίον ἐκπορευθέντα τῶν θείων ἀρετῶν, ὅλον ὡραιότατον ἐν τῶ Πνεύματι. ὡσ γίγασ συ γὰρ δραμὼν, ἔαρ τῆς εὐσεβείας ἐτέλεσας, γαληνῇ τε τοῖς ὑπ' ουρανοὺσ ἡμέραν ὀρθοδοξίας ἡμῖν ταῖς σου δαδουχίαις κατέλαμψας, Ἀθανάσιε. διὸ βοῶ σοι εἰλικρινῶς. Μὴ ἐπιλαθῇ τοῦ σου λαοῦ, ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

γ̄. Σὲ ἀφιέρωσε Κύριος παιδίον ὄντα. ἱερουργὸς γὰρ ἐδείχθης νεάζων ἔτι χρισθεὶς ὑπὸ Θεοῦ ὥσπερ προδεδήλωκεν ὁ ἐκθρέξας σε Ἀλέξανδροσ ὁ κλεινὸς, μέγαν τῆς ἐκκλησίας ὑπέρμαχον. Ἀθανάσιε θαυματουργὲ, ὀρθόθρον, τῆς ἐκκλησίας κανὼν, ἀγγελικὲ τρόπον, πιστέυουσιν μαρτυρόστεφε. διὸ χορέυων ἐν οὐρανοῖς, μὴ....

δ῀. Μύστην προέφηνεν ἄριστον Χριστὸς, παμμάκαρ, τῶ εὐσεβεῖ Νικαέων συλλόγω. πρῶτον ἐν πρώτοις γὰρ ἐκεῖ ἔλαμψας, τῆς χάριτος ὡς διάκονοσ. ἐντεῦθέν σοι τὸ σεπτὸν κράτοσ τῆς ἐκκλησίασ πεπίστευται. σὺ διώδευσας γὰρ τὸν πρὸ σοῦ ἀστέρα, ὡς ἑωσφόρος λαμπτὴρ, τῇ τοῦ βίου αἴγλῃ καταλάμπων τὴν ὑφήλιον. διὸ βοῶ σοι ἀσματικῶσ. Μὴ......

ε̄. Ἄλλον ἀπόστολον Παῦλον σὲ ὑμνοῦμεν, μάκαρ. ὑπὲρ Χριστοῦ γὰρ ὡσάυτως παρρησιάζῃ ἀγῶνας ἀνατλὰς, πόνους, περιστάσεις τε καὶ ἀθλήματα, κινδύνους καὶ διωγμοὺς, δόλους ἐκ ψευδαδέλφων καὶ ἔνεδρα ἐξ ἀνάκτων τε καὶ τῶν ἐθνῶν, βαστάζων τὴν θείαν κλῆσιν αὐτοῦ καὶ προκινουνέυων τῆς πίστεως, Ἀθανάσιε. διὸ βοῶ σοι ἀσματικῶς. Μὴ.....

ς̄. Σὺ κέρας ἤγειρας πίστεως ταῖς ἐκκλησίαις τοῖς πολυάθλοις ἱδρῶσι τῶν σῶν ἀγώνων, τὸν Ἀριανισμοῦ θραύσας, δυσμαχώτατε, μέγαν πόλεμον. σὺ ξίφος γὰρ γέγονασ ὀρθοδοξίας, κόπτων τὴν αἵρεσιν. σὺ ἐγνώρισαι πῦρ νοερὸν, πυρίζον ἄκανθαν πλάνης, σοφὲ, ἐμφυτέυσας πίστιν εὐσεβείασ ἐν τοῖς πέρασιν. διὸ βοῶ σοι....

ζ̄. Τρεῖς ἐκ τῆς ποίμνης σου πέπονθας τὰσ ἐξορίας, ὑπὲρ Τριάδος πρεσβέυων, ὅσιε πάτερ, καὶ τρὶς ἐπιδημῶν, πάλιν ἐν τῇ ποίμνῃ σου πεφανέρωσαι νυμφίος ὑπερκαλλής. αὐτὴ ποθεινοτέρως ὁρωσα σε. καὶ προπέμπουσα σε παγγενεὶ ἐν ὕμνοις καὶ λιτανίαις πολλαῖς, καὶ εὐφραινομένη περιχαρῶς ἀνεκραύγαζεν. Διὸ βοῶ σοι ᾀσματικῶς. Μὴ....

ῆ. Ὑπὲρ τῆς πίστεως δράμάτα συ καθυπέστης τῇ νεᾳ χήρᾳ ἐκείνη κατηγορηθεὶς τὸ μῦσος τὸ αἰσχρόν. ἀλλὰ ὅσα ἔδειξαν ψευδεπίπλαστα ἠσχύνθησαν δικασταὶ, πᾶσιν ἀποδειχθέντες ῥιψάσπιδες. καὶ ὑπέδυσ, ὥσπερ ὁ Χριστὸσ ἐκ μέσου τῶν λιθαζόντων αὐτὸν ἀβλαβὴσ, παμμάκαρ, λύσασ κἀυτὸσ τοὺς σε βάλλοντασ. διὸ βοῶ σοι...

ῦ. Τίς τοὺς ἀγῶνασ σου ἅπαντας ἐξαριθμήσει; ὅλος ἐγένου ψυχῇ σου στερρὸς ὡς λέων. φωνή σου, ὡσ βροντῆ, ἤχει ἐν τοῖς πέρασι δογματίζουσα, ἣν ἔφριξαν ἀληθῶς θῆρεσ αἱρετιζόντων ἀκούοντες. τὴν Τριάδα γὰρ φύσει μιᾷ τρανώσας δοξάζεις ἕνα Θεὸν ἐν τρισὶ προσώποις, Πατρὸς, Υἱοῦ καὶ τοῦ Πνεύματος. διὸ.....

ῑ. Ὑπὲρ τὸν ἥλιον ἔλαμψας ἐν βίω, Πάτερ, καταφαιδρύνας τὸν κόσμον ταῖς ἀρεταῖς σου. διὸ σοι πᾶς βροτὸσ ᾄδει ἑορτάζων σου τὸ μνημόσυνον. χορεῖαι ἱεραρχῶν, στέφη τῶν μοναζόντων, ἡ σύναξις ὀρθοδόξων καὶ ἅπας χορὸς στεφάνους ἀνατίφενται τῇ σῇ ἱερωτάτῃ μνήμῃ, ἀγγελόφρον Ἀθανάσιε. διὸ χορέυων ἐν οὐρανοῖς μὴ ἐπιλάθῃ....

25. Генваря св. Григорію Богослову.

р. 351—354. Μηνὸς ἰανουάρ. κε̄. Κονδ. τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου. ᾆσμα Στουδίτου. ἦχ. ᾱ. πρὸς τὸ. τὰ θεόβρ..

ᾱ. Τὰ σοφώτατα τῆς φλογερῆς σου γλώττης ἔπη, ἀστραπτόμενα ἐκ τοῦ ἀρρήτου φάους, λάμπων, τὴν οἰκουμένην κατελάμπρυνας, Γρηγόριε, βροντίσας φρικτῶς τῆς Τριάδοσ τὸ δόγμα, καὶ πάσας ὑπρὶξ τὰσ αἱρέσεις μαράνας, ἱεραρχῶν ὁ θεολογικώτατος. ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

β῾. Ἅπασα γλῶττά σε σήμερον ἐγκωμιάζει, ὡς ἐν σοφίᾳ ἁπάντων ὑπερτεροῦντα, Γρηγόριε σοφὲ, ῥῆτορ ὡραιότατε τῆς θεότητος., ὁ πύρινος ποταμὸς φλέγων πάσας αἱρέσεισ τοῖς δόγμασι, νοημάτων τε ἡ ἀστραπὴ, ὁ γνώμων τῶν ὀρθοδόξων φωνῶν, ἡ βροντῶσα σάλπιγξ ἐν τῷ κόσμῳ τὰ τῆσ χάριτος, διὸ βοῶμέν σοι, πᾶσ ὁ λαόσ. Μὴ ἐπιλάθῃ τοῦ σου λαοῦ. ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδιαλείπτωσ ἱκέτευε.

γ῾. Σὺ ἐξανέτειλασ ἥλιοσ ὡσ ἐκ φωστήρων, τῶν εὐκλεῶν σου γονέων, ἱεροφάντορ, ἐκ παίδων παρευθὺ λάμψας ἐν τοῖσ ἤθεσι καὶ παιδεύμασι. σοφίασ γὰρ ἐραστὴσ ἄφθησ καὶ εὐσεβείασ ὑπέρτεροσ. ἐν ἀμφοτέραισ ἀποδειχθεὶσ ὁ μέγασ τῆσ ἐκκλησίασ φωστὴρ, κατηγλαϊσμένοσ ἐν τῷ κάλλει τῶν φθεγμάτων σου, διὸ βοῶμέν σοι....

δ῾. Μάλα τὴν παίδευσιν ἤσκηκασ ἐν ταῖσ Ἀθήναισ. ἐξ ὧν ὑπάρχων ἔμπλεοσ πάσησ σοφίασ, ᾕρησαι τὸν τερπνὸν βίον τὸν ἰσάγγελον καὶ ἀπράγμονα. ἐντεῦθεν οὖν καθαρθεὶσ χρίῃ ἱερωσύνησ τῷ χρίσματι, καὶ ἐξανοίξασ τὴν λογικὴν πηγήν σου ἐσφραγισμένην Θεῷ, τὰ τῆσ ἐκκλησίασ ἄρδεισ φυτὰ ἐκβοῶντα σοι. Μὴ ἐπιλάθῃ τῶν σῶν οἰκετῶν ὁ ἐπιβλέπων ἐξ οὐρανοῦ, ἀλλὰ....

ε῾. Ἄλλον Μωσέα σε ἔγνωμεν, ἱεροφάντορ, ἐπὶ τὸ ὄροσ τῆς σεπτῆσ θεολογίασ προβάντα εὐσεβῶσ. ἔνθα θεασάμενοσ τὰ ἀπόρρητα, τὰσ πλάκασ τὰσ νοερὰσ κεχαραγμένασ τοῖσ δόγμασι, τὸ μυστήριον ὡσ ἀληθῶσ τῆσ μιᾶσ τρισυποστάτου μορφῆσ καθυποδηλούσασ, ἣν ὡσ Θεὸν ἕνα σέβοντεσ ἀναβοῶμέν σοι ᾀσματικῶσ. Μὴ....

ϛ῾. Στῦλοσ πυρὸς ἡμῖν πέφηνασ ὀρθοδοξίασ τοῖσ ἐν ἐρήμῳ τοῦ βίου διερχομένοισ. δι᾽ οὗ τῆσ σκοτεινῆς πλάνης φρυκτωρούμενοι ἐκλυτρούμεθα, Γρηγόριε ἱερὲ, πέτρα τῆς εὐσεβείασ ἀκρότομε, ἐξ ἧσ ἔβλυσαν ῥεῖθρα ζωῆσ, εἰσ κόρον τοῦ ὀρθοδόξου λαοῦ, τῶν αἱρετιζόντων τοὺσ χειμάρρουσ κατακλύσαντα, διὸ βοῶμέν σοι πᾶσ ὁ λαόσ. Μὴ ἐπιλάθῃ σκέπων ὑμᾶς, ἀλλὰ...

ζ῾. Τίσ, ὦ Γρηγόριε, ἄβυσσον ἐξαριθμήσει, ἧσ ἀπηρεύξω σοφίασ ἐκ τῆσ σῆσ γνώττησ; πληροῖσ γὰρ ἀληθῶσ πᾶσαν τὴν ὑφήλιον ἐν τοῖσ δόγμασιν. βαθὺσ σου ὁ ποταμὸσ ὄντωσ τῶν νοημάτων καθέστηκεν, καὶ δυσπέρατος πάσῃ πνοῇ, τούσ νόας ὑποβρυχίους ποιῶν τῶν αἱρετιζόντων, τοῖσ πιστοῖσ δὲ ἡδυνόμενος. διὸ βοῶμέν σοι ᾀσματικῶς. Μὴ...

η῾. Ὄργανον δέδεικται Πνεύματος τοῦ παναγίου τὸ θεόλογον σου στόμα, οὐρανοφάντορ, Γρηγόριε κλεινὲ, πλήκτρῳ τῷ τοῦ Πνεύματοσ καταυλούμενον. δι᾽ οὗ ἡμῖν τοῖς πιστοῖς ἦχοσ ὡραϊσμένοσ διήκουσται, μελουργήμασι δογματικοῖσ εὐφραίνων ἡμῶν τὰσ (.....) τῆσ ψυχῆσ δυνάμεισ πρὸσ ἔρωτα τῆσ θεότητοσ. διὸ βοῶμεν σοι ᾀσματικῶσ Μὴ..

θ῾. Δῆλοσ ἐν ἅπασι γέγονασ ἐν κόσμῳ τούτῳ ὡσ ἐπὶ γνωστικοῦ ὄρουσ ἀνηνεγμένοσ, Γρηγόριε τερπνὲ ἄγαν, ὁ πολύσοφοσ καὶ γλυκύφωνοσ. θαυμάζεται γὰρ τὰ σὰ μεῖζον Ἀριστοτέλουσ καὶ Πλάτωνοσ, οὕσπερ ἕλληνεσ οἱ παιδικοὶ θρυλλοῦσιν ἐπὶ σοφίᾳ πολλῇ, ὅτι καὶ σὺ ταύτην ἐξήσκησας ὑπὲρ ἄνθρωπον. διὸ βοῶμέν σοι ᾀσματικῶσ. Μὴ..

ι῾. Ὕμνον ὃν ᾖσα σοι, ὅσιε, πόθῳ καὶ φόβῳ, ὡσ μικρὸν δῶρον δεξίου τοῦ σου οἰκέτου. Θεῷ τε γὰρ καὶ σοὶ, φίλος ὥσπερ, λέλακα τὸ εἰς δύναμιν. τὰς θείας σου προσευχὰς δός μοι εἰς σωτηρίας ἀπόλαυσιν, τὴν οἰκουμένην κατευλογῶν, κράτυνον τὴν βασιλείαν ἡμῶν σὺν τοῖς ἱερεῦσιν, ἵνα πάντες σοι ἀνακράζωμεν. Μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ, ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδελείπτως ἱκέτευε.

12-го Мая св. Епифанiю.

p. 354. 355. Μηνὶ μαΐῳ ιβ. Κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν ἐπιφανίου ἐπισκόπου Κύπρων.

α῾. Τὰ φανότατα τῆς λιγυρᾶς σου γλώττης ἔπη, ἐκβλαστάνοντα ἐκ θησαυρῶν ἐνθέων, πᾶσαν τὴν οἰκουμένην κατελάμπρυνεν, ἐπιφάνιε. στῦλος φωτὸς τῆς ἐκκλησίας, πάτερ, ἐδείχθης ἀεὶ ἐκ θεϊκῶν βολίδων, ἱεραρχῶν λύχνος περιφανέστατος. ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

β῾. Ἆσμα ᾀσμάτων σοι ἔξεστιν ἐπικροτῆσαι. ἀγγελικῶς γὰρ ἐν βίῳ ἐπολιτεύσω, ἀείφωτε λαμπτὴρ, ῥῆτορ ἐπιφάνιε ἱερώτατε. ἀλλ᾽ ὅμως τοὺς ἐκ ψυχῆς δέχου σοι προσιόντας καὶ πίστεως, τοὺς ἐγχειρίζειν πρὸς τὸ ὑμνεῖν τολμῶντας τὴν ἀξέρασιτόν σου τὴν μυροδοτοῦσαν τὰς ἰάσεις τοῖς αἰτοῦσί σε. μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ σε ἐξαιτοῦντος εἰλικρινῶς, ἀλλὰ τὸν Κύριον ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

γ῾. Σὺ ἐξανέτειλας ἥλιος πρὸ ἑωσφόρου, καταφωτίζων ἀκτῖσι τῶν μαθημάτων τὴν σύμπασαν ἀεὶ λόγοις τοῖσ πανσόφοις σου, ἐπιφάνιε. Νεάζων γὰρ ἀληθῶς ὤφθης ἐν φιλοσόφοις φιλόσοφος, μῦρα βρύουσι δὲ καὶ ἡμῖν ὄντως, κατὰ θεϊκὴν τὴν φωνὴν, τίμια σου χείλη, ἀεννάως νᾶμα πότιμον, οὗ πεπωκότες ἡμεῖς γηγενεῖς, ἀναβοῶμεν περιχαρῶς. ἀλλὰ.....

δ. Μέγα προπύργιον ἔχει σε ἡ ἐκκλησία, νικητικὸν γὰρ ὁπλίτην τροπαιοφόρον, αἱρέσεις ἐκσοβῶν λόγοις τοῖς πανσόφοις σου Ἐπιφάνιε. ἐν ταύτῃ γὰρ οἰκισθεὶς πρῶτον ὡς θηκοφύλαξ διάκονος μετ᾽ οὐ πολὺ δὲ προχειρισθεὶς ἐκ θείας ἐπιφανείας αὐτῇ ἀρχιερατεύεις, καθὰ φησί σοι, καὶ ἔπρεπε. διὸ βοῶμέν σοι ἐκτενῶς. μὴ, διαλείπῃς ὑπὲρ λαοῦ, ἀλλὰ....

6-го Декабря св. Николаю Чюдотворцу.

Ἕτερον Κονδάκιον τοῦ ἁγίου Νικολάου. ἦχ. πλδ. φέρον ἀκροστιχίδα. τοῦ Στουδίτου.

p. 355—358. Τῷ φαεινῷ σου βίῳ ἀστράψας ὡς ἥλιος, περιφανὴς τῷ κόσμῳ ἐδείχθης τοῖς θαύμασιν, Νικόλαε ἱερομάκαρ, ὁ τοῦ Χριστοῦ θεράπων πιστότατος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἑορταζόντων προστάτα θερμότατε.

β΄. Τὸν θείῳ μύρῳ χρισθέντα, τῶν Μύρων ἀρχιερέα, ὁ τὰ μύρα σου τερπνῶς ὀσφραινόμενος τῶν θαυμάτων, πῶς σε ὑμνήσω ἁμαρτίαις δυσωδῶν, ἅγιε Νικόλαε, Ἀλλὰ νάρδῳ προσευχῶν μύρισόν μου τοὺς τρόπους, ἥδυνόν μου τοὺς φθόγγους εἰς ὀσμὴν εὐωδίας νοητῆς, πρὸς τὸ ὑμνεῖν σε ἀξίως, τῶν ἑορταζόντων προστάτα θερμότατε.

γ. Ὁ κόσμος ὅλος, ὡς ἄλλου φωστῆρος φωτοβολοῦντος, ἐν τῇ μνήμῃ σου, σοφὲ, φαιδρυνόμενος ἑορτάζει, χαίρει, δοξάζει, ἀναβλέπων νοερῶς ἀθαύματα πανάγαστα. ἀλλὰ δεῦρο καὶ ἡμῖν φοίτησον οὐρανόθεν, ταῖς εὐχαῖς σου ἀστράψας, τῶν παθῶν σκεδαννύων τὴν ἀχλὺν, τῶν σε ἀξίως ὑμνούντων, τῶν ἑορταζόντων.....

δ. Ὑμνεῖται ὄντως ἀξίως ἐν πᾶσι τὸ ὄνομά σου. ὅτι χάριν ἐκ Θεοῦ ταῖς ἀρεταῖς σου κατεκτήσω. πάντασ προφθάνεις τοὺς ἐν πίστει ἐκτενῶς αἰτοῦντας παρεῖναί σε. καὶ γὰρ λύεις πειρασμοὺς, ἀδικοῦντας ἐλέγχεις, κτεινομένουσ λυτροῦσαι θαυμαστῶς μεταβάλλων τὰς ὀργὰς, ἱεροφάντορ παμμάκαρ, τῶν ἑορταζόντων....

ε. Σὺ τοὺς δεσμώτας ἐρρύσω θανάτου τοῦ πικροτάτου, φοβερὸς τῷ βασιλεῖ ἐποφθεὶς αὐτῷ ἐν ὀνείρῳ. πῶσ γὰρ οὐκ εἶχεν ἐπακοῦσαι σου φωνῆς, ἅγιε Νικόλαε; σὺ γὰρ ἔχεις ἐκ θεοῦ δύναμιν τηλικαύτην πειρασμῶν ἀπαλλάττειν τοὺς πιστῶς ἐξαιτοῦντας πρὸς Θεὸν πρεσβευτὴν κινδυνευόντων, τῶν ἑορταζόντων.....

ς. Τίς οὕτως ἄλλος ἐπώφθη ἐν θλίψεσι προασπίζων τοὺς ἁλόντας πειρασμοῖς, ὥσπερ σύ ποτε, θεομάκαρ; σὲ γὰρ ὑμνοῦσιν ἀπαχθέντες εἰς σφαγὴν ἄδικον τρεῖς ἄρνες σου. ἄλλος ἄριστος ποιμὴν ἀφηρπάσω τοὺς ἄνδρας, ὡσ ἐκ στόματος λύκων, φοβερὸς κατ᾽ αὐτῶν, θαυμαστωθεὶσ ἐν τοῖς τῶν ἀνθρώπων, τῶν ἑορταζόντων....

ζ. Οὐκ ἔστιν ἐν λύπῃ οὐ προσφεύγει τῇ σῇ σκέπῃ, τῶν κακῶν ἀπαλλαγὴν ἐξαιτούμενος ἀνευρέσθαι. σὺ δὲ εὐθέως ὑπακούεις συμπαθῶς, ἅγιε Νικόλαε, διασείεις τὰ δεινὰ, καταλλάττεις τὰς ἔχθρας, ἀναφέρεις ἐκ βάθουσ ἀθυμίας τῶν περιστάσεων εἰς τὸ ὑμνεῖν σε ἀξίωσ, τῶν ἑορταζόντων.....

η. Ὑπὲρ τὰ ἄνθη κυπρίζει ἡ λάρναξ τῶν σῶν λειψάνων, νοητῶς μυροδοτεῖς, προστατεύων ταῖς εὐωδίαις. τίσ γὰρ ἐν πίστει προσφοιτήσας οὐκ εὐθὺς εὕρατο ὃ ᾔτησεν; Ἀλλὰ δίδου καὶ ἡμῖν ὀσφραίνεσθαι ἐμψύχως πόρρωθεν οὖσι ταύτης, τῶν χαρίτων εἰς ρῶσιν νοητῶς, πρὸς τὸ ὁμνεῖν σε ἀξίως, τῶν....

θ. Δωρεῖσαι ὄντως ποικίλως θεόθεν εὐεργεσίας. ἂν εἰκόνι γὰρ γραφῆς παρεδρέυῃ σοί τις ἐν πίστει, ἔχει ὃ θέλει. ἡ γὰρ χάρις σου πολλὴ, ἅγιε Νικόλαε. Ἀλλὰ νέμεις καὶ ἡμῖν ἅπερ σε ἐξαιτοῦμεν, χάριτι πρεσβειῶν σου πρὸς τὸν ὄντως σου ἐραστὴν Χριστὸν, εἰς τὸ ὑμνεῖν σε ἀξίως, τῶν....

ι. Ἱκετηρίαν λαμβάνων οὐ βραδύνεις ὑπακοῦσαι, ὁ ἀκοίμητος φωστὴρ, τοῦ ἐξάπτοντός σοι κανδήλας, μέχρι γὰρ τούτου ἐπιδίδως ἑαυτὸν τοῖς θερμῶς ζητοῦσί σε. κραταιά σου ἡ ῥοπὴ, εὐμενὴς σου ἡ κλῆσις. φίλοσ γὰρ χρηματίζεις τοῦ δεσπότου τῶν πάντων καὶ τῶν σὲ, Νικόλαε χριστομάκαρ, νῦν ἑορταζόντων.....

ια. Τὴν χάριν ταύτην ἰδίως ὑπὲρ πάντας τοὺς ἁγίους σοι δεδώρηται Χριστὸς προστατεύειν τῶν ἐν κινδύνοισ. ὅθεν σε ἅπας ἀντιλήπτορα ζητεῖ, ἅγιε Νικόλαε, ὁ ἐν λύπαις ἐμπαρῶν, τληπαθῶν ἐξορίαις, ἀπαχθεὶς τοῦ τεθνάναι. ἐπὶ πᾶσι γὰρ βοηθεῖς θερμῶς εἰς τὸ ὑμνεῖν σε ἀξίως, τῶν ἑορταζόντων,...

ιβ. Ὁ δὲ ἡμῶν σὺ πρεσβέυων, ἐκ βαθέων ἀνακράζω, ἀντιλῆπτορ ἀγαθὲ, κινδυνεύοντα πρόφθασόν με, χεῖρα ὀρέξας βοηθείας κραταιᾶς, ἅγιε Νικόλαε, καὶ ἐξάρας τῶν δεινῶν, δεῖξον ὅσα ἰσχύεις τοῖς υἱοῖς τῶν ἀνθρώπων, ἵνα πάντες ὑμνῶσι διὰ σοῦ νῦν τὴν ἐμὴν σωτηρίαν, τῶν ἑορταζόντων.....

ιγ. Ὑπερκοσμίως ὑπάρχων, καὶ χαίρων σὺν τοῖς ἀγγέλοις, μνήσθητί μου πρὸς Θεὸν, ἀναξίου τοῦ ὑμνῳδοῦ σου δίδου τὴν χάριν ὁμοῦ πᾶσι τοῖς τὸ σὸν τελοῦσι μνημόσυνον, τῆς εἰρήνης βραβευτὰ, ἔκδικε τῶν ἐν λύπαις, πρεσβευτὰ τῶν ἐν κόσμῳ, ἱερέων ἐγκαλλώπισμα σεπτὸν, βασιλέων συμμαχία, τῶν ἑορταζόντων προστάτα θερμότατε.

13-го Ноября св. Іоанну Златоустому.

р. 358—361. Ἕτερον Κονδάκιον τοῦ Χρυσοστόμου. ἦχ. πλδ. φέρον ἀκροστιχίδα, Τοῦ ἀσώτου ᾆσμα.

α. Τῇ χρυσοῤῥείθρῳ αἴγλῃ τῶν θείων δογμάτων σου τῆς ἐκκλησίας, πάτερ, τοὺς θῆρας ἀπήλασας, Χρυσόστομε ἱεροφάντορ. ὡς ἀγαθὸς ποιμὴν θεαυγέστατος, πρέσβευε ὑπὲρ ἡμῶν, ὡς τῆς μετανοίας προστάτης θερμότατος.

β. Τὸν ῥεῖθρα πᾶσι πλουσίως ἀναβλύζοντα σοφίας, χρυσοφθόγγῳ διδαχῇ, τῇ τοῦ Πνεύματος αἴγλῃ, πῶς σε ὑμνήσω ἐπαξίως, ἀπορῶ, τίμιε Χρυσόστομε, ἀλλ' ὡς ὄντως τὸν ἐμὸν ἐπιστάμενος πόθον σύγγνωθί μοι καὶ δίδου λόγον, ἵν' εὐφημήσω σὲ ᾠδαῖς καὶ ἀνυμνήσω ἀξίως, ὡς τῆς μετανοίας προστάτην θερμότατον.

γ. Ὁ θεῖος ὄντως χειμάῤῥους πανσόφων τῶν σου λογίων, ἀποστάζων κρουνηδὸν ἀεννάως, εὐφραίνει πάντας τοὺς πίστει προσιόντας τῷ Χριστῷ, ἅγιε Χρυσόστομε. συ γὰρ πέλεις ἀληθῶς μετανοίας ὁ κλήτωρ καὶ τῶν ἁμαρτανόντων ἐπανόρθωσις ἄῤῥητος, διὸ ὁμόφρονές σε τιμῶμεν, ὡς τῆς μετανοίας προστάτην θερμότατον.

δ. Ὑλώδους πάσης κακίας ἀμέτοχος, θεοφάντορ, καὶ παθῶν σωματικῶν γεγονὼς ἀληθείᾳ ἔξω τοῦ κόσμου καὶ σαρκὸς ἀναδειχθεὶς ὄλβιε Χρυσόστομε, ποιμενάρχης ἀληθῶς ἐχρημάτιζες θεῖος, τὸν λαὸν ἐκπαιδεύων διδαχῇ χρυσοφθόγγῳ τὸν Χριστοῦ. διό σε πάντες τιμῶμεν, ὡς τῆς....

ε. Ἀνέτειλεν ὡς φωσφόρος ἐν τῇ οἰκουμένῃ ἡ εὐφροσύνη νυνί. μνήμη τῶν σῶν ἀγώνων πάντας φαιδρύνει ἀγλαΐζουσα πιστούς, τίμιε Χρυσόστομε, κοσμοπόθητε φωστὴρ, ἱερέων τὸ κλέος, ποιμεναρχῶν τὸ φάος. διδασκάλων μελίῤῥυτε ἀρχηγὲ, χρυσόῤῥημον ποιμενάρχα, ὡς τῆς μετανοίας.....

ς. Συναγελάζῃ, θεόφρον, χορείαις τῶν ἀσωμάτων καὶ αὐλίζῃ ἐν φωτὶ τῷ ἀδύτῳ Τριάδος, αἶνον προσφέρων, ἱερώτατε φωστὴρ, ἅγιε Χρυσόστομε. ἀλλὰ δεῦρο, καὶ ἡμῖν φοίτησον οὐρανόθεν, ταῖς εὐχαῖς σου ἀστράψας, καὶ παθῶν ἐλευθέρωσον ἡμᾶς τοὺς σε πιστῶς ἀνυμνοῦντας, ὡς τῆς.....

ζ. Ὦ πόλις ὄντως ἁγία, ὡς μέγιστον ἱερέα δεδεγμένη ἐκ Θεοῦ ποιμενάρχην φωσφόρον. σοῦ γὰρ τὸ κλέος καὶ τὸ φάος ἀτρεκῶς πέλει ὁ Χρυσόστομος καὶ τοῦ κόσμου δὲ παντός. ἀλλὰ σὺ μακαρία, ὅτι εἴληφας, ὅνπερ ἐσυλήθης ἐκ φθόνου θησαυρὸν, τὸν πάνσοφον ποιμενάρχην, ὡς τῆς μετανοίας προστάτην....

η. Τὸ ὄμμα ὄντως ὡς ἔχων ὑλώδους ἐξ ἐμπαθείας καθαρώτατον ἀεὶ, τὸν τῇ πλάνῃ παρέντα ἔγνως, τρισμάκαρ, τῷ γυναίῳ ἐμπαθεῖ βλέψει ἀτενίζοντα. διὸ τοῦτον παρευθὺ ἐκκαθάρας ἰάσω διδαχαῖς σου, θεόφρον, καὶ τοῦ πτώματος ἤγειρας ταχὺ, θεοφάντορ ποιμενάρχα, ὡς....

θ. Ὁ πάλαι ὄφις τὴν Εὔαν ἀπάτῃ ἰσοθεΐας διὰ βρώσεως καρποῦ παραδείσου συλήσας, οὗτος τὴν ὄντως ἀβασίλευτον δεινῶς βρώσει ἐδελέασεν δι' ἀμπέλου εὐμαρῶς, ἵνα σοι προξενήσει ἐξορίας τὸ κόνδυ. οὐκ ἠνέσχου τὴν ἄδικον ὁρμὴν, διὸ καὶ ταύτην ἐλέγχεις, ὡς.....

ι. Ὑμνῶ σου, πάτερ, τὰ θεῖα παθήματα, ἃ ὑπέστης τοῦ δικαίου προεστὼς, καὶ δοξάζω τὴν χάριν δόντα Θεόν σοι, ἐκκλησίας ὁ φωστὴρ, ὄλβιε Χρυσόστομε.... ποιμεναρχῶν τὸ κλέος, οἰκουμένης τὸ φάος, καὶ τῶν προσκεκρουκότων τῷ Θεῷ διαλλακτὰ πλουτοφόρε, ὡς τῆς μετ.....

ια. Ἀσμάτων ἆσμα, θεόφρον, προσφέρει ἡ ἐκκλησία, συγχορεύουσα νυνὶ τῶν ἀγγέλων χορείαις, καὶ συσκιρτῶσα εὐφροσύνῳ χαρμονῇ, γήθει καὶ ἀγάλλεται καὶ δοξάζει τὸν θεὸν, ἐντρυφῶσα τῷ κάλλει τῶν σεπτῶν διδαχῶν σου καὶ ὑμνεῖ σε ποιμένα ἑαυτῆς καὶ διδάσκαλον θεῖον, ως.....

ιβ. Σὺ τοὺς ἀσπλάγχνους εὐσπλάγχνους ἐνθέῳ σου νουθεσίᾳ ἀπειργάσω, ὦ σοφὲ, παραινῶν μεταδοῦναι πᾶσιν ἀφθόνως τοῖς αἰτοῦσι συμπαθῶς, τίμιε Χρυσόστομε, μετανοίας ὁδηγὲ καὶ ἐλεημοσύνης παναρμόνιε λύρα, ποιμενάρχα φαεινὲ τῶν γηγενῶν, χρυσόῤῥημόν τε παμμάκαρ, ὡς.....

ιγ. Μὴ διαλείπῃς, τρισμάκαρ, πρεσβεύειν ὑπὲρ τοῦ κόσμου καθαρώτερον, νυνὶ παρεστὼς τῇ Τριάδι, ὅπως τε πάντες ἐκβιοῦντες εὐσεβῶς μνήμην ἐκτελοῦμεν σοι. ἐξελοῦ τῶν πειρασμῶν, περιστάσεως ῥῦσαι, μετανοίᾳ τὸν βίον διανύσαι ἀξίωσον ἡμᾶς τοὺς σε πιστῶς ἀνυμνοῦντας, ὡς.....

ιδ. Ἀσμάτων αἶνον προσφέρω ὁ ὑμνῳδὸς ὁ πτωχός σου, ἐξαιτούμενος εὑρεῖν λύσιν τῶν ὀφλημάτων. βρίθω γαρ ὄντως ἁμαρτάδων τῷ ἐσμῷ, τίμιε Χρυσόστομε, τῇ ἀχλύϊ τῶν παθῶν ἐζοφώθην ὁ τλήμων. ἀλλὰ δίδου καιρὸν μοι μετανοίας, ὡς ποιμὴν φωταυγὴς, καὶ τῆς γεέννης με ῥυσαι, ὡς τῆς μετανοίας προστάτης θερμότατος.

8-го [1]) Іюня св. Великомученику Θеодору Стратилату.

р. 361. 365. Μηνὸς φεβρουαρ. ζ. Κονδάκιον τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου ἦχ. β΄. φέρον ἀκροστιχίδα. Τοῦ Στουδίτου.

Кондакъ и 1-й икосъ въ Аѳонскомъ Кондакаріи есть.

γ. Ὄντως φρικτὸν τὸ πρώτιστον δρᾶμα, ὅτε πίστει ἑδραία ἐν τῇ λόγχῃ αὐτοῦ τὸν δράκοντα ἐθανάτωσεν, ὄφιν ἐν τούτῳ ἄλλον νικήσας, τὸν εἰσδύσαντα πρώην ἐν παραδείσῳ, τόν τε Ἀδὰμ δελεάσαντα θανάτῳ, βέλει φθορᾶς, νυνὶ δὲ τῇ

[1]) У Питры 7-го Февраля.

ἀθλοφόρου ἐκκρουσθεὶς ἐν ἀνδρεία νενήκηται. πρὸς ταῦτα οὖν πέλει τοῦ κόσμου χαρὰ, καὶ αἰωνία χαίρει ὁ ἔνδοξος, πρεσβέυων.

δ. Ὑπεισελθὼν τοῖς σκάμμασι, μάρτυς, ἔστης ὅλος ἀτρέμας, ὡς ὁπλίτης Χριστοῦ Θεόδωρε ἀνδρειότατε. φόβον θανάτου σάρκὸς. μὴ πτήξας, Χριστὸν μόνον δὲ τρέμων τὸν βασιλέα, ὥσπερ Θεὸν, τούτων πάντων ἐκήρυξας τὸν ποιητὴν, αἰσχύνεις τε Μαξιμίνου βδελυρὰ τῶν εἰδώλων σεβάσματα, ρωννύμενος θεία ἀγάπη τὸν νοῦν, τὸ σὸν σῶμα κολάσει ἐκδέδωκασ, πρεσβέυων....

ε. Σὺ πτερωθεὶς τῷ θείω σου ζήλῳ, ἦλθες, ἧκες εὐθύμως, καὶ ἐμπρίζεις θεᾶς τέμενος, τὸ μητροείδωλον. οὐδὲ γὰρ φέρεις Χριστοῦ τὴν δόξαν μετατίθεσθαι βλέπων ἐν τοῖς εἰδώλοις. ὅθεν ποινὰς ὑπομείνας βασάνων ἐν τη σου σαρκὶ, κραυγάζεις. Ὀυδὲν χωρίσει ἀλγεινὸν τῆς Χριστοῦ με φιλήσεως. ἐν τούτοις συμπάσχω αὐτίκα αὐτῷ, καὶ συντεύξομαι δόξης τῆς ἐν οὐρανῷ, πρεσβέυων....

ς. Ταῦτα παθὼν, πανεύφημε μάρτυς, χαίρων οὕτως εἰσῆλθες ἐν ζοφώδει εἱρκτῇ ὠμότητι τοῦ δικάζοντος. Νύκτωρ τὸ φῶς ὁ Χριστὸς ὀφθεὶς σοι. Σὺ, Θεόδωρε, ἔφη, χαρᾷ ἀγάλλου, ἐν οὐρανῷ μετ' ἐμοῦ γὰρ χορέυσεις ζῶν εἰς ἀεὶ, ἀνθ' ὧν με οὐκ ἐξηρνήσω ἐπὶ τοῦ παρανόμως δικάζοντος, ἀνθρώπους τε πάντας κινήσω ᾠδαῖσ τοῦ γεραίρειν σε πάντοτε μὴ ἐκκακεῖν, πρεσβέυοντα.....

ζ. Ὄντως ἐκστὰς πρὸς Κύριον μάρτυς, ὥσπερ ἄλλου ἀθλοῦντος, τὰς βασάνους στερρῶς ὑπέφερες τῶν τυπτόντων σε. ὅθεν πολλαῖς σὺν ἄλλαις αἰκίαις, καὶ τὴν πάνδεινον ξέσιν καθυπομένεις, ἕως αὐτῶν τῶν ὀστέων ἐμφανῆναι τῶν σῶν πλευρῶν. Ὦ θαῦμα! ὢ ξένον δρᾶμα! πῶς οὐδὲν τῶν βασάνων μεθῆκέ σε τῆς θείας ἀγάπης τοῦ πάντων Θεοῦ, τῷ καὶ δόντος σοι χάριν ἀέννασν πρεσβέυων...

η. Ὑπὲρ τὸ πῦρ θερμότεροσ πέλων, ἔστης μέσον ἀνδρείως τῆς ἀφθείσης φλογὸς, καιόμενος καρτερώτατα, ὁπως αὐτή σε ἡ φλὸξ ἠδέσθη, καμαροῦσα γὰρ εἶχεν. ὡς πῦρ χρυσίον, σοῦ τὴν ψυχὴν προσαγαγὼν, ὥσπερ θῦμα ἑκούσιον, ἀνῆλθες πρὸς ὃν ἐπόθεις, μετασχὼν οὐρανίου λαμπρότητος. ἐν τούτοις γὰρ φθάσας εὐφραίνῃ ἀεὶ. ἀλλὰ ἄνωθεν τὸν κόσμον εἰρήνευε. πρεσβέυων....

θ. Διὰ Χριστὸν, πολύαθλε μάρτυς, ταῦτα πάντα τελέσας, τῶν θαυμάτων πηγὴ γεγνώρισαι, Θεοδώρητε. μάρτυς ἐκεῖνος ὁ παῖς σὺν ἄλλοις, ὃν αἰχμάλωτον εὗρες καὶ πεπραμένον, καὶ χρηστευθεὶς συνεπέφερεσ εὐθὺς τῷ ἵπτω λευκῷ, ἀλόγῳ, ὥσπερ ἐδρέψω, παραδοὺς τῷ οἰκείῳ γεννήτορι. ἐν τούτοις γὰρ ὤφθης μηδέπω ἐῶν τοὺς πιστοὺς σε αἰτοῦντας ἐπικουρεῖν, πρεσβέυων.....

ι. Ἴσος οὐδεὶς σοι τάχιον, μάρτυς, δεῖξαι δρόμουσ φευγόντων, καὶ κλεπτόντων ὁρμὰς, ἡνίκα τις ἐν εὐχῇ λάβῃ σε. ἄλλο γὰρ δρέπανον σὺ ἐπάφθης, ὃ ἑώρακε πάλαι. ὁ Ζαχαρίας κατὰ κλεπτῶν. ἀπειλαῖς γὰρ ἀρρήτοις τούτους ἐκφοβῶν, ἐφάνης ἐν ἀμφοτέροις, συμπαθὴς καὶ προστάτης θερμότατος, παρέχων τὰ πάντα τοῖς πᾶσιν ἁπλῶσ ὡς ἀξίωσ, καὶ ἔχων τὸ ἄξιον, πρεσβέυων....

ια. Τίς ἱκανὸς θαῦμα πᾶν σου φράσαι; πλὴν γε λέξω ὀλίγα, πῶς ὁ ὄρνιν φαγὼν ἀπώλεσεν ἵππον κάλλιστον, ὅμως δὲ μάρτυς Χριστοῦ ὑπάρχων, πῶλον ἕτερον διδως τῷ στρατιώτῃ, ἵνα δειχθῇς ἀμφοτέροις ἰσχύων, ὡσ φίλοσ Χριστοῦ. Σὺν τούτοις ἐρῶ τὸν δίσκον, ὃν ὁ κλέψασ κυρίῳ ἀπέδοτο. αὐτὸν γνωρίζεις, μάκαρ, στερρῶς, καὶ δεικνύῃ προστάτης εὐήκοος, πρεσβέυων.....

ιβ. Ὅλα εἰπεῖν οὐκ ἔστιν ἃ ἔδρασ. ἓν δὲ φράσας ἢ δύο, ἀπολείπων σιγῇ τὰ ἕτερα, ἀναμνήσομαι. τερπνὴν μάχαιραν εὗρε κειμένην καὶ ποθῆσαν παιδίον αὐτὴν, ὡσ εἶδεν, εἶτα εὐθὺς ἐξηράνθη τὴν χεῖρα, καὶ ἀμηχανῶν, ἐβόα πρὸς σε. ὦ μάρτυς, παιδικῶς πάλαι ἦρα τὴν μάχαιραν! ὡσ δὲ πατὴρ φιλόπαις αὐτῷ ἀπέδωκασ διόλου τὸ ἴδιον, πρεσβέυων.......

ιγ. Ὕστατον φόβον τῆς πυρκαίας, ὅπου ὤφθης συντρέχων, καὶ σβεννύων αὐτὴν τῷ πίστει σε προσκαλέσαντι. οὕτω παρέχεις πάντοτε πᾶσι σὲ τὸν μάρτυρα θερμῶς ἐπιβοῶσιν. ἀλλὰ τὴν σὴν προστασίαν παράσχου ἑκάστῳ ἡμῶν ἐν οἶσπερ ἐπικαλοῦμεν, εὐλογῶν τοὺσ τιμῶντασ τὴν μνήμην σου. σὺν τούτοισ οὖν ἅμα φύλαττε ἐμὲ τὸν ᾠδὴν σοι ἐπάξιον ᾄσαντα. πρεσβέυων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

15-го Іюля свв. Кирику и Улитѣ.

р. 366. Μηνὶ ἰουλίου ιε. τοῦ ἁγίου Κηρύκου καὶ Ἰουλίττης κονδάκιον ἦχ. β. φέρον ἀκροστιχίδα. ᾠδὴ. ποίημα Θεοδώρου.

α. Ὁ τῷ κράτει τῆς ἰσχύος σου τὴν τοῦ ἐχθροῦ καταλύσας ἐπικράτειαν, καὶ κατ' αὐτοῦ ἐνισχύσας τὸ ἀνθρώπινον, Χριστὲ ὁ Θεὸς, καὶ γυναῖκας ἔδειξας, ὑπεραθλούσας σου, καὶ νηπίων στόματα εὐλογοῦντα, σε τὸν μόνον ἐν ἁγίοις ἀναπαυόμενον.

β. Ὦ ἱερᾶς μητρὸς καὶ γενναίας, ὢ πιστῆς καὶ κοσμίας, καὶ αὐτὴν Ἀβραὰμ ἱερουργίαν τὴν ἄθυτον ἐκνικησάσης τῇ καρτερίᾳ! ἐν καιρῷ γὰρ ἀγώνων ἡ Ἰουλίττα τὸν ἑαυτῆς ὁρωμένη υἱὸν νηπιάζοντα, ἐχώρει ἐν τῷ σταδίῳ καὶ πυρὸς καὶ ξιφῶν μὴ φροντίσασα, ἑαυτὴν καὶ τὸν παῖδα κατέθυσε, τὸν Χριστὸν ἀντὶ πάντων ποθήσασα, τὸν μόνον..

γ. Διὰ Χριστὸν ὁ Κήρυκος βλέπων τὴν μητέρα γενναίως καρτεροῦσαν πληγαῖς, καὶ τὸ σωτήριον ὄνομα ὁμολογοῦσαν ἐν παῤῥησίᾳ, μιμηλὴν καὶ αὐτὸς τὴν φωνὴν ἠφίει, ριστιανὸν ἑαυτὸν ὀνομάζων ὁ ἅγιος, δεικνύων τοῖς παρανόμοις ὡς καὶ φύσις νηπίων ψελλίζουσα τὸν Χριστὸν καταγγέλλειν βιάζεται ποιητὴν καὶ Θεὸν καὶ Υἱὸν Θεοῦ, τὸν μόνον ἐν ἁγίοις ἀναπαυόμενον.....

24-го Февраля на обрѣтеніе честныя главы св. Іоанна Предтечи.

p. 367—369. Μηνὸς Φεβρουαρ. κδ. κονδάκιον εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου ἦχ. δ. Στουδίτου.

α. Ἐκ τῆς γῆς σου προφανεῖσα ἡ κάρα, τοῦ ἡλίου ὑπερλάμπει τὸ φέγγος, τὰς ἀκτῖνας φωτοβολοῦσα τῆς δικαιοσύνης τοῖς πίστει σε τιμῶσι καὶ κραυγάζουσιν. Ἡ φωνὴ τῆς πυρίνης σου γλώττης καταφλέγει τὴν ἁμαρτίαν, ἐν προφήταις ὁ πρώταθλος.

β. Στέφανον ἐκ συμπλοκῆς ἱερῶν ᾀσμάτων προσαγάγωμεν τῇ κάρᾳ τοῦ Προδρόμου ἐπαξίως, ἐκ τῆς γῆς λαμψάσῃ σήμερον. και γὰρ αὕτη νῖκος κατὰ τῆς πλάνης ἤρατο, τὴν Ἡρωδικὴν παράνοιαν δικασαμένη. ὑπὲρ δὲ νομίμου θεσμοῦ τιμωρητικῇ ἐτμήθη αἰχμῇ, ἵνα σωζόμενοι ἐκ ψυχῆς πρὸς αὐτὸν ἀνακράξωμεν. Ἡ φωνὴ τῆς πυρίνης σου γλώττης καταφλέγει τὴν ἁμαρτίαν, ἐν προφήταις ὁ πρώταθλος.

γ. Τίς αὕτη ἡ ἱερὰ κεφαλή σου, μάκαρ, ἧς οἱ βόστρυχοι ψεκάδες ἀποστάζουσι θαυμάτων τοῖς πιστῶς τούτους ἀσπάζουσι; Τὸ ῥυέν σου αἷμα εἰς μύρου χοὴν ἤλλακται, καὶ ὡς ἐκ πηγῆς, ἐπαναβλύζει ἐν τῷ κόσμῳ, καὶ συναγελάζει λαὸν εὐχαριστικῶς δοξάζειν Θεὸν τὸν σε τιμήσαντα, καὶ προτρέπει ἡμᾶς ἀνακράζειν σοι. Ἡ φωνή.....

δ. Ὅμοιοι περιστεραῖς ὀφθαλμοί σου, μάκαρ, ὡς τὸ ᾆσμα ἀνεπᾴδει, καθαροὶ τῇ ἀπαθείᾳ, εὔωποι, ἄριστα ἔχοντες. τὸ γὰρ θεῖον Πνεῦμα αὐτοὶ κατεῖδον, ἄνωθεν ἐπὶ Ἰησοῦν τὸν λυτρωτὴν ἐγκαταβαῖνον, ὡσεὶ περιστερὰν, τρανῶς τὴν τριαδικὴν μονάδα δηλοῦν. διὸ τιμῶντες σε ἐκτενῶς ταῖς ᾠδαῖς ἀνακράζομεν. Ἡ φωνή....

ε. Ὕμνον σοι πᾶς ὁ λαὸς, Βαπτιστὰ, προσφέροι τῇ τῆς κάρας σου εὑρέσει, ὅτι εὗρε σωτηρίας θησαυροὺς κόσμον πλουτίζοντας, τοῦ χρυσίου μᾶλλον τιμαλφεστέρους, φαίνοντας τὰς θαυμαστικὰς αὐτῶν (σου λόγων) λαμπηδόνας ἐν τῇ ὑπ' οὐρανὸν σαφῶς, καὶ δαιμονικὰς μειοῦντας ἀχλῦς ἣν ἀσπαζόμενοι πρὸς ψυχῆς φωτισμὸν ἀνακράζομεν. Ἡ φωνή......

ς. Δευτέρον, ὁ Βαπτιστής, τοῖς ἐν τῇ ἐπώφθης τῇ τῆς κάρας σου εὑρέσει, ἀκουτίζων τοῖς ἀνθρώποις νοητῶς θεῖα διδάγματα. Ὡς ὡραῖα ὄντως ἡ λαλία σου ἤχει ἐν τῇ ὑπ' οὐρανὸν, νυμφευομένη θεοπνεύστως τὴν ἐκκλησίαν αὐτῷ τῷ ἀληθινῷ νυμφίῳ Χριστῷ. διὸ αἰνοῦντες σε πρὸς ψυχῆς φωτισμὸν ἀνακράζομεν. Ἡ φωνή....

ζ. Ἴωμεν κατὰ σπουδὴν νοητῶς προσβλέψαι τὸ πανάγαστον κρανίον τοῦ Προδρόμου, ὃ ἀνίσχον ἐκ τῆς γῆς, ὡς φέγγος ἄδυτον. ἀναβλύζει νάρδον, σμύρναν καὶ κρόκον, ἅπαντα τὰ νοητικὰ τῆς εὐπραξίας θεῖα μύρα, ὑπὲρ ἀρωμάτω πολλῶν. τῶν τε θετικῶν ἐν κόσμῳ φθαρτῶν, ἃ εὐφραινόμενοι πρὸς ψυχῆς ἡδυσμὸν ἀνακράζομεν. Ἡ φωνή...

10-го Генваря святому Григорію Нисскому.

p. 369. 370. Μηνὸς Ἰανουαρ. ι. Κονδάκιον τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου νύσσης ἦχ. δ. Στουδίτου.

α. Τῆς σοφίας τὸν πολυποίκιλον λειμῶνα, τὰ τῆς γνώσεως κυπρίζοντα μύρα, σὲ τρισμάκαρ, ἡ ἐκκλησία ἀφοσιωσαμένη θυμηδίας πληροῦται ἀνακράζουσα. Ἡ ὀσμὴ τῶν θεοπνεύστων σου λόγων ὑπὲρ πάντα τὰ ἀρώματα διαπνέει, Γρηγόριε.

β. Σήμερον τὸν ποταμὸν τοῦ θεοῦ τὸν μέγαν καὶ γλυκύτορον ἐν λόγοις ὑπὲρ μέλι καὶ κήριον ψαλμικῶς αἰνοῦντες εἴπωμεν. Ἐξεχύθη χάρις ἐν χείλεσί σου, βρύουσα τὰ γλυκυσταγῆ τῆς μελιχρᾶς σου γλώττης ῥεῖθρα ὑπὲρ τὴν πηγὴν ἐν Ἐδὲμ, ἐν τῇ ἁλμυρᾷ τοῦ βίου ῥοῇ. ἃ ἀρυόμενοι πρὸς ψυχῆς γλυκασμον ἀνακράξωμεν. Ἡ ὀσμὴ τῶν...

γ. Τίς οὗτος οὐ ἀληθῶς γλυκερὰ τὰ ἔπη, καὶ νόστιμα καὶ ἡδέα; ὁ τῆς Νύσσης τὰς ἡνίας πιστευθεὶς, ὄνους ὁ γρήγορος, ἐς ἡνίων δρόμον ὀρθοδοξίας ἅρματι τῷ τῶν ἀρετῶν, τοὺς κακοδόξους βάλλει κάτω, καὶ ὡς ἐπὶ νύσσαν ἡμᾶς πρὸς τὴν εὐσεβῆ μεθέλκει ζωήν. ἐν ᾗ σωζόμενοι ἐκ ψυχῆς πρὸς αὐτὸν ἀνακράζομεν. Ἡ ὀσμή...

δ. Ὄντως σὺ (ὁ) τοῦ θεοῦ ἐργάτης ὑπάρχων, καταβέβηκας εἰς κῆπον τὸν τῆς σοφίας εὐειδῆ. μυηθεὶς ἁγίῳ Πνεύματι, καὶ τρυγήσας σμύρναν θεογνωσίας, ἔδωκας οἷόσπερ πηγὴν τοῖς τῆς Σιὼν τροφίμοις πᾶσι τὴν δογματικὴν σου τροφὴν, ἐν ἐκστατικῇ ἐννοίᾳ Θεοῦ. ἐν ᾗ ἡδόμενοι εὐφροσύνως ψυχὴν, ἀνακράζομεν. Ἡ ὀσμή......

ε. Ὑψίνους, ὥσπερ φωστὴρ, φρυκτωρεῖς ἐν κόσμῳ τὰς λαμπηδόνας τῶν λόγων, καὶ φωτίζεις τῶν ἀνθρώπων τὰς ὁδοὺς τῆς θείας πίστεως. ἐν Τριάδι σέβειν μονάδα μίαν, ἄναρχον παντορέκτηντε, ὁμοφυῆ, σεπτὴν ἐνάδα, Πατέρα τε καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ζῶν (καὶ ζωποιοῦν), ἣ ἐκλαμπόμενοι ἐν τρισὶ δόγμασιν ἀνακράζομεν. Ἡ ὀσμὴ τῶν θεοπνεύστων σου λόγων ὑπὲρ πάντα τὰ ἀρώματα διαπνέει. Γρηγόριε.

13-го Декабря св. Евстратiю.

p. 370—373. Μηνὸς δεκεμβρ. ιγ. τοῦ ἁγίου Εὐστρατίου καὶ τῆς συνόδου αὐτοῦ κονδάκιον. ἦχ. γ. τοῦ Στουδίτου.

α. Πρὸς τοὺς ἀνόμους ῥητορεύων τὰ θεῖα, καὶ ἐν βασάνοις ὑπαστράπτων ἀνδρείᾳ, κατ' ἄμφω ἐδύσω τὸ κράτος, εὐστράτιε. συλλογισμὸν γὰρ τούτων στρέψας τὴν ἐκκλησίαν ἐλάμπρυνας τοῖς θαύμασιν. ἀλλὰ εἰς ουρανοὺς χορέυων, ὑπὲρ ἡμῶν δυσώπει τὸν Χριστόν.

β. Τῆς εὐανδρείας τὸ ἐγκαλλώπισμα τὸν ὡραῖον Εὐστράτιον τις ἱκανῶς ἐπαινέσειεν; οἷα γάρ τις τρυφήσων, τὰ τοῦ μαρτυρίου προσίεται σκάμματα. οἶνον ἀβροδίαιτον πιὼν, ἐν τοῖς ἄθλοις ἐνοχούμενος, τῷ Χριστῷ λαμπρῶς βεβόηκεν. Τὸ ποτήριόν σου μεθύσκον με, ὡς κράτιστον ..... πρὸς ὃν εἴπωμεν μετὰ αἰνέσεως. Ἀλλὰ εἰς οὐρανοὺς χορέυων, ὑπὲρ ἡμῶν δυσώπει τὸν Χριστόν.

γ. Ὅλος ὑπάρχων καρτεροκάρδιος ὑπεισῆλθες τὸ στάδιον, ὅπλοις λαμπροῖς. περικοσμηθεὶς. ἐναπήστραπτε γάρσου ἡ ἐστομωμένη ῥομφαία τοῦ στόματος, ἣν κατιδὼν ὁ παράνομος πρὸς αἰκισμοὺς ἀνεφλέγετο. ἀλλ' ἡττήθη, ἔμπειρος γεγὼς τῆς Χριστοῦ δυνάμεως ἐνισχυσάσης σε τελέσαι σου τὸ μαρτύριον. διὸ βοῶμεν σοι, μάρτυς ἔνδοξε. Ἀλλὰ εἰ οὐρανούς....

δ. Ὑπὸ ἀέρα σχοίνοις τεινόμενος, καὶ ταῖς ῥάβδοις τυπτόμενος, οὐκ ᾔσθου, ὡς ἄλλου πάσχοντος. τῷ πρὸς Θεὸν γὰρ πόθῳ τῆς κατὰ τὸ σῶμα ἠφείδησας σχέσεως, πῦρ φλογερὸν οὐ πτοούμενος, τρίψιν σαρκὸς οὐκ αἰσθόμενος καὶ φαιδρὸς ἐν τούτῳ πρόσωπον δειχθεὶς, μάρτυς κατῄσχυνας τὸν σου ἀντίδικον, εὐστράτιε, στεῤῥοκάρδιε, διὸ βοῶμέν σοι μετὰ αἰνέσεως. Ἀλλὰ εἰς οὐρανούς....

ε. Σὺ ταῖς βασάνοις νεκρὸς φαινόμενος, τῷ Λυσίᾳ ἐβόησας. Ζῇ ἐν ἐμοὶ Χριστὸς Κύριος! Καὶ σημεῖον δεικνύων, ἐκ τοῦ σώματός σου λεπίδας ἐπέβαλες, αὖ φανεὶς ῥωμαλεώτερος, ὅλως μὴ σχὼν οὐλὴν τραύματος καὶ ἐν τούτοις θαυμαζόμενος. Σαφῶς νῦν οἶδα, ἔφησας, ὅτι ναὸς Θεοῦ εἰμὶ ζῶντος διὰ Πνεύματος. διὸ βοῶμεν σοι χαριστήρια. Ἀλλὰ εἰς οὐρανούς....

ς. Τούτων πραχθέντων, εἷς τις Εὐγένιος τῷ Λυσίᾳ ἐβόησεν. ὅτι Χριστὸν κἀγὼ σέβομαι! Εὐστρατίῳ καὶ οὗτος συνακολουθήσας, ἀγῶνας εἰσέρχεται. ἀλλ' ἡ πληθὺς ἁγιολεκτος, πάντες ὁμοῦ χαρᾷ χαίροντες, ὅτι ὅλως ἠξιώθησαν Χριστοῦ, ἄριστα στίγματα ἐν σοφῷ σωματι μιμούμενοι ἐπόθησαν. πρὸς οὓς εἴπωμεν μετὰ αἰνέσεως. Ἀλλὰ εἰς οὐρανοὺς συνόντες, ὑπὲρ ἡμῶν αἰτεῖτε σύναθλοι.

ζ Ὁδὸν συ, μάρτυς, στενὴν ἐβάδισας, ὁπηνίκα ὁ τύραννος πόδας τοὺς σοὺς ἐκρηπίδωσεν. Ὢ τίς οὐ μὴ θαυμάσῃ σοῦ τὴν θλιπτωρίαν καὶ τὰ πάνδεινα σύρματα, ἃ οὐρανὸς ἐμεγάλυνε, πᾶσα δὲ γῆ ἐπευφήμησεν. ἀλλὰ ζῆν θέλεις εὐρύχορον ζωὴν ἀειδιότητος, τὸ σου μαρτύριον τελέσας τὸ ἀξιόθεον. διὸ βοῶμέν σοι μετ' αἰνέσεως. Ἀλλὰ...

η. Ὑπεραθλοῦντα ἰδὼν Μαρδάριος τὸν γενναῖον Εὐστράτιον, ἔφη εὐθὺς πρὸς τὴν σύζυγον. ἴδε ὁ Κυρισίκης ὡς ἄστρον ἐκλάμπων ἐν μέσῳ ζοφώσεως, πρὸς ὃν ἐγὼ κατεπείγομαι εὑρεῖν ὁμοῦ τὸ μάρτύριον. Καὶ πρὸς τὸν τύραννον παραστὰς δρόμον τετέλεκεν αὐτοῦ, τὸν τῆς ἀθλήσεως δεξάμενος νίκης στέφανον, πρὸς ὃν βοήσωμεν μετ' αἰνέσεως. Ἀλλά....

θ. Διὰ βασάνων προδιενήθλησε καὶ ὁ θεῖος Αὐξέντιος, τὴν κεφαλὴν ξίφει τμώμενος. οὔ τι, τὴν καρτερίαν εὐμαρῶς ἐξείποι, τὰ ἄθλα, τὰ σκάμματα, ἃ μαρτυρῶν καθυπέμεινε, τὸν Ἰησοῦν μὴ ἀρνούμενος; αὐτοῦ πέλει ἡ ἀοίδιμος φωνή. κἂν πῦρ καὶ σίδηρος καταναλώσῃ με, μὲ τοῦ Χριστοῦ οὐ διΐστησιν. Πρὸς ὃν βοήσωμεν μετ' αἰνέσεως. Ἀλλά....

ι. Ἰδοὺ πρὸς τούτοις συναποδείκνυται καὶ Ὀρέστης ὁ κράτιστος. Χριστιανός εἰμι, φάμενοις, ὃς σὺν τῷ Εὐστρατίῳ ὑπὸ τοῦ Λυσίου πρὸς τὸν Ἀγρικόλαον ἀθλητικῶς παραπέμπεται. κἀκεῖ τελεῖ τὸ μαρτύριον ἐπὶ κλινης πυρι-

φλέκτου ὤν, καὶ ταθεὶς οὕτω κέκραγε. Χριστὲ, εἰς χεῖράς σου τὸ πνεῦμά μου παρατίθημι. πρὸς ὃν βοήσωμεν μετ' αἰνέσεως. Ἀλλα....

ιᾱ. Πεντὰς ἁγίων, πρῶτε Εὐστάτιε, σὺν Ὀρέστῃ Εὐγένιε, Μαρδάριε καὶ Αὐξέντιε, ἡ τερπνὴ συνοδία. ἡ ῥῆσις ἡ θεῖα, ἡ πάγκαλος, σύμπνοια, μνήμην ποιεῖν μὴ ἐλλείποιτε, ὑπὲρ παντὸς, ὑμνωδοῦ ὑμῶν, ἱερέων, βασιλέων, μοναστῶν, ἑτέρου νῦν τινος ἐμοῦ ἄσαντος καὶ ὑμνοῦντος τὸ ἐγκώμιον, ἵνα πάντες (πρὸσ τοὺσ πέντε) ἀνακράξωμεν. Ἐν τοῖσ οὐρανοῖσ συνόντεσ, ὑπὲρ ἡμῶν αἰτεῖτε σύναθλοι.

На погребеніе Монаховъ.

p. 383—377. Κονδάκιον εἰς κοιμηθέντας μοναχοὺς ἐν ὑποταγῇ. ἦχ. πλ δ. φέρον ἀκροστιχίδα. φωνὴ Θεοδώρου.

ᾱ. Τὸν μεταστάντα εὐσεβῶς ἐκ τῶν προσκαίρων μετὰ δικαίων ἀνάπαυσον, Χριστὲ ὁ Θεός. εἰ καὶ ὡς ἄνθρωπος ἥμαρτεν ἐπὶ τῆς γῆς, ὡς ἀναμάρτητος ἄνες αὐτῷ τὰ ἑκούσια πταίσματα καὶ τὰ ἀκούσια, πρεσβείαις τῆς θεοτόκου, ἵνα συμφώνως βοήσωμεν ὑπὲρ αὐτοῦ τὸ ἀλληλούϊα.

Πρὸς τό. Αὐτὸς μόνος.

β. Φρικτὸν βλέπω καὶ ξένον τὸ ὅραμα. ὅτι ἄπνους ὁ χθὲς μοι συνόμιλος, ἀπετάυθη φωνὴ ἀγορέυουσα. ὀφθαλμὸς θεωρῶν ἀπελήλατο πάντα τὰ ὄργανα σεσίγηκαν. ὁ Θεὸς ἀπέκλεισε κατὰ αὐτοῦ, ὡς γράφει, καὶ οὐκέτι λοιπὸν ἐπιστρέψειεν. ἔνθα ᾄδωμεν. πάντες μετ' ἤχου βροτοὶ τὸ ἀλληλούϊα.

γ. Ὡς υἱὸς ὤν μετήλυθεσ. ἀλλ' ἡμεῖσ σου θρηνοῦμεν τὴν στέρησιν, ἀρετῶν σου καλῶν μνημονέυοντεσ, τῆς στοργῆς, τῆς σπουδῆς, τῆς πραότητοσ. ἐν αἷσ διέπρεψας, ἀείμνηστε, ἐπὶ ὤμων τὸν σου σταυρὸν εὐπειθῶσ βαστάζων, καὶ κατόπιν Χριστοῦ πορευόμενοσ, ὧπερ ᾄδωμεν πάντεσ μετ' ἤχου Θεῷ τὸ ἀλληλούϊα.

δ. Νῦν μοι φράσον, κλεινέ μου, πυνθάνοντι. Ποῦ αὐλίζῃ τὰ ὧδε ἀφέμενος; μετὰ τίνων ψυχῶν ἡ συγκλήρωσις; ἆρά πως οὐρανῷ προσελήλυθας; ἆρα ἐπέτυχες ὧν ἤλπιζες; ἆρα εὗρεσ κατοίκησιν φαεινήν; εἰπέ μοι, ὅπου ζώντων χοροὶ ἐπαγάλλονται, ἐπινίκιον αἶνον βοῶντεσ Θεῷ τὸ ἀλληλούϊα.

ε. Ἡ φωνή σου ἡδεῖα ἠκούετο ὁμιλοῦντοσ ἐν ἤθει χρηστότητοσ. ἀδελφὸσ γὰρ αὐτὸσ ἀδελφότητοσ συμπαθὴσ, εὔκλεινοσ, μισοπόνηροσ, λαλῶν ἀλήθειαν ἐγκάρδιον, οὐ δολώσας ἐν γλώττῃ σου τοῦ Θεοῦ τὸν λόγον ἀλλὰ πᾶσ Χρηστὸς ὀπτανόμενος. διὰ τοῦτό σε στέργει ὁ ψάλλων Θεῷ τὸ ἀλληλούϊα.

ς. Θεσπεσίουσ ἀγῶνασ ἐτέλεσας, ὑπηκόων ἀνύσας τὸ στάδιον, ὑποδὺσ γὰρ θερμῶς ἐν τοῖσ σκάμμασιν, ἐναθλῶν κατωθεῖσ ἐπιθυμίαν, ἐν ᾗ κατήσχυνας τὸν δράκοντα, τὸν αὐχένα ὑπέκλινασ τῷ σαυτοῦ ποιμένι, μέχρι τέλουσ αὐτῷ συνεχόμενοσ. διὰ τοῦτο....

ζ. Ἐνορᾷν σε δοκοῦμεν τῷ πνέυμασι, πῶς ὑπῆρχεσ ἐνθάδε συνὼν ἡμῖν, ὁπηνίκα ὁμοῦ συνεψάλλομεν, ἔργον τὸ ἔνθεον ἐργαζόμενοι, καὶ τοῦτο ἅπαντεσ γλιχόμενοι. τὸν ποθούμενον μὲν ζητοῦμεν ἡμῶν ἑταῖρον, καὶ οὐκ ἔστιν εὑρεῖν τὸν πειθόμενον, μεθ' οὗ εἴπωμεν πάντεσ ἐξ ἤχου Θεῷ τὸ ἀλληλούϊα.

η. Ὅτι ὄναρ ὁ βίοσ καὶ βάντασμα ἐννοήσας ἐνθέῳ φρονήματι, ἀπηρνήσω γονεῖσ, δι' ἐντάλματοσ, ἀδελφοὺσ, συγγενεῖσ, κόσμον ἅπαντα. πρὸ τοῦ Κυρίου γὰρ ἐφέσεωσ οὐδὲν ὅλωσ τῶν πάντων τιμαλφὲς ἡγήσω, ἀνθ' ὧν εὗρεσ ζωὴν τὴν αἰώνιον, διὸ τοῦτο σε στέργει ὁ ψάλλων Θεῷ τὸ ἀλληλούϊα.

θ. Διαλέξασθαι τοίνυν δοκεῖσ ἡμῖν ἀδελφοί μου, προσέχετε λόγοισ μου, ἕως ἔτι καιρὸσ ἀγωνίσασθε. ἕωσ ἡμέρα, ἐργάσασθε πρὶν ἢ τὸ στάδιον λυθῇ ὑμῖν, ποθητοὶ, ἐννικῆσαι σπουδάσατε τὸν βελιὰρ, ἵνα δόξης Χριστοῦ ἐπιτύχητε, καὶ αἰνέσητε ᾆσμα μετ' ἤχου Θεῷ τὸ ἀλληλούϊα.

ι. Ὡς ὡραῖοσ ὁ βίοσ ὃν εἴσελθε! τί γὰρ κρεῖττον τοῦ στέργειν κοινόβιον; ἐν αὐτῷ γὰρ ζωὴν ἐνετείλατο ὁ σωτήρ. ὡσ Δαβὶδ μεμελῴδηκεν. λοιπὸν ἀγάλλεσθε, ὁμάδελφοι, τῷ ποιμένι ὑπείκοντεσ, ἑαυτοὺσ φιλοῦντεσ, καὶ τὰ πάθη μακρὰν διαπτύοντεσ. ἵνα ᾄσητε ᾆσμα μετ' ἤχου Θεῷ τὸ ἀλληλούϊα.

ιᾱ. Ῥῆμα ἔτη λαλήσω ἔξοδιον, ἀδελφοί μου, οὐκέτι με ὄψεσθε, οὐ φωνῆς μού ποτε ἐπακούσετε, ἕωσ ἂν ὁ κριτὴσ ἐξετάσῃ με, ἡνίκα οἱ ἅπαντεσ οἱ ἄνθρωποι παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ ἐν φόβῳ, ἔνθα πᾶσα ψυχὴ ἐτασθήσεται, καὶ ἐπάσετε πάντεσ οἱ ζῶντεσ Θεῷ, ἀλληλούϊα.

ιβ. Οἷοσ φόβοσ καὶ τρόμος ἠκούσατε, λοιπὸν πάντεσ σπουδαίωσ ἐπείχθητε, ὑπηκόωσ ἀεὶ πολιτεύσασθε, τὸν κανόνα νομίμωσ τελέσατε (ἐφεδρέυει γὰρ ὡσ λέων Σατὰν, ὠρυόμενοσ, καὶ ζητῶν θήραν ψυχὴν ζῶσαν), δι' ἀσκήσεως μὲν καὶ πραότητος, ἵνα ᾄσητε πάντεσ μετ' ἤχου Θεῷ τὸ ἀλληλούϊα.

ιγ. Ὑπηκούσαμεν πάντα ἃ λέλεχας, ἀλλ' εὑρίσκων γνησίως τὸν Κύριον, ὑπὲρ πάντων ἡμῶν ἐκδυσώπησον, νοερῶς εὐπειθεῖς πολιτεύεσθαι τὸ τῆς ἀσκήσεως παγκράτιον, τὸν ποιμένα θεοπρεπῶς σὺν ἡμῖν βιῶναι, καὶ τοὺς πάντας τυχεῖν θείας χάριτος, ἵνα ᾄσωμεν πάντες μετ' ἤχου Θεῷ τὸ ἀλληλούϊα.

17-го Генваря св. Антонію.

p. 377—380. Μηνὸς Ἰαννουαρ. ιζ. τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου κονδάκιον ἦχ. β΄. πρὸς τό. Θεᾶ ἀπὸ μήτρας.

α. Ἐν σαρκὶ τοῖς ἀγγέλοις συνημιλλήθης, γεγονὼς τῆς ἐρήμου πρωτοπολίτης, σὺν ἀποστόλοις ἀνθεῖς ἐν Αἰγύπτου γῇ, ἡ οἰκουμένη θρυλλεῖ σου τὸ ὄνομα, ὦ πατροπάτορ Ἀντώνιε, διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β. Τὸν φωστῆρα τῶν φωστήρων, μοναστῶν τὸ μέγα κλέος, τὸν σοφὸν Ἀντώνιον, καὶ καθηγητὴν ἡμῶν μέγιστον, δεῦτε, ἅπαντες οἱ λαοί, τιμήσωμεν, πανηγυρίζοντες. αὐτὸς τὸν ἐχθρὸν μονομαχήσας κατέαξεν, ἀλείπτης ἡμῶν πρὸς τοὺς ἀγῶνας γεγόμενος. αὐτῷ βοήσωμεν, ὡς νικητῇ τοῦ Βελίαρ ἐπᾴδοντες. διὸ ὑπὲρ.... Кондаку и сему икосу смотри Славянскій переводъ XI на стр. 249. передъ симъ числомъ.

γ Ὁ θεόφρων ἐπακούσας τοῦ Χριστοῦ προσκαλουμένου, πάντα δοὺς τοῖς πένησιν, ὑπεμόνασεν ὑπὸ γέροντι, πράττων ἄριστα ἐπ' αὐτῷ τῆς ὑποταγῆς κατορθώματα. ἑκάστου ζηλῶν τὸ ἐνάρετον, ὡς μέλιττα. καὶ πάντων ὁμοῦ ἀνθολογήσας τὸ κράτιστα, γλυκάζει πάντας τοὺς εὐσεβῶς βοῶντας καὶ ἐπᾴδοντας. διὸ ὑπὲρ....

δ. Ὑποβάλλει τοῦ βελίαρ ὁ στρατὸς τῷ Ἀντωνίῳ. ὁ δὲ ὥσπερ ὁ πλίτης τοῦ παντάνακτος αὐτὸν ἔτρεψεν, ὁπλιζόμενος τὰς εὐχάς. ἀσπίδα δὲ τῆς ταπεινώσεως. ἐν αἷς ἡττηθεὶς ἀπωδύρετο ὁ δόλιος. Θεῷ δὲ ᾠδὰς νίκης προσφέρει ὁ ὅσιος. τὸ ἆθλον τοῦτο πρῶτον αὐτοῦ ἐγνώσθη τοῖς ἐπᾴδουσιν. διὸ ὑπὲρ....

ε. Σκληροτάταις ἐνεθίζων ἀγωγαῖς τὸ αὐτοῦ σῶμα, ἦν οὖν ἀκατάγνωστος ὁ Ἀντώνιος. καὶ γὰρ ἤσθιεν ἄρτον ἅλας τε καὶ ποτὸν ἠρύετο ὁ γενναιότατος, ὑπνώττων μικρὸν ἐπὶ ψιάθου κατέκειτο πολλάκις ποιῶν, ὅλην τὴν νύκτα ἐπαγρυπνῶν. ἐν τούτοις κατισχύει ἐχθροῦ, στηρίζων τοὺς ἐπᾴδοντας. διὸ ὑπὲρ....

ς. Ταῦτα βλέπων καὶ οὐκ φέρων, ὁ Σατὰν νύκτωρ ἐπέστη μετὰ πλήθους δαιμόνων, καὶ τὸν ἀθλητὴν πληγαῖς ἔκοψεν, ὥστε ἄφωνον ἐπὶ γῆς καὶ κεῖσθαι πόνοις ὑπερβάλλουσιν. ὁ δὲ ἔσω ὢν ἐν τῷ μνημείῳ ἐκραύγαζεν. Οὐ φεύγω ὑμῶν τὰς πληγὰς ταύτας, ὦ δαίμονες. τῆς γὰρ ἀγάπης τῆς τοῦ Χριστοῦ οὐδὲν ψάλλοντας. διὸ ὑπὲρ.....

ζ. Οὕτως ἔχων ὑποστρέφει ἀθλητὴς αἵματος ἄνευ, πάλιν τῆς ἀσκήσεως ἀπαρχόμενος ὁ Ἀντώνιος, φέρων ἔνδυμα ἐκ τριχῶν, καὶ τὴν μηλωτὴν τὴν δερματικήν, οὐκ εἶδεν αὐτὸν τίς ἐν ποταμῷ γυμνόσαρκον ἀνάγκῃ πολλῇ. οὐδὲ τοὺς πόδας ὑδρεύσατο. νηστεύων ἦν δὲ ὥσπερ τρυφῶν, ἐφώτιζε ἐπᾴδοντας. διὸ ὑπὲρ.....

η. Ὑπομείνας ταῦτα πάντα ὁ σοφὸς ὁρᾷ ἀκτῖνα, ἐκ τῆς τε γῆς λάμπουσαν, ὑπὲρ κεφαλῆς ἀκτινόφωτον. ὅθεν πέπαυται πόνος πᾶς αἰφνίδιον τοῦ σώματος αὐτοῦ. Καὶ ποῦ ἦς, βοᾷ, ἕως τῆς δεῦρο, ὁ ὅσιος; φωνὴ πρὸς αὐτόν. Ὧδε παρήμην, Ἀντώνιε. ἐπεὶ δ' ἤθλησας, ὀνομαστὸν ποιήσω σε ἐπᾴδουσι. Χριστὸν ὑπὲρ....

θ. Διὰ ταῦτα προθυμίας ἐμπλησθεὶς ὁ γενναιόφρων, κατοικεῖν τὴν ἔρημον μονομαχικῶς ἐναπήρξατο. ὅσα θαύματα ἐν αὐτῇ ἐτέλεσε τίς διηγήσεται; Ἐκεῖ τὸν χρυσὸν ὡς πηλὸν βλέψας, παρέρχεται. τοῦ ἀργυρίου δὲ δίσκου τὸ φάσμα διήλεγξεν. ἐκεῖ νηστείαις τε καὶ εὐχαῖς ἐφώτιζε ἐπᾴδοντας. διὸ ὑπὲρ....

ι. Ἱερέα εἰκονίζων καθαρὸν ὁ ὑμνωδός σου, ὥσπερ πρὸ τῶν ποδῶν σου κυλινδούμενος, πάτερ, κράζω σοι. Δεῦρο, πρόφθασον νῦν κἀμοί, καὶ ταῖς εὐχαῖς σου σῶσον δείλαιον, τὸ μοναδικὸν ζῆν ὑπὲρ κόσμον ἱκέτευε. τὸ βιωτικὸν βίον ἐννόμως δυσώπησον τοὺς ἱερεῖς τε καὶ ἄνακτας, ἵν' ἅπαντες ἐπᾴδωμεν. διὸ ὑπὲρ.....

ια. Ὅσοις ἄλλοις ἐκπειράζει ὁ ἐχθρὸς τὸν μακαρίτην οὐκ ἔχει ἐκλαλῆσαι πᾶς τις ἱκανῶς. Ὢ τοῦ θαύματος! κτύπους, φόβητρα, συσσεισμούς, θηρῶν ὁρμὰς συγκινεῖ κατ' αὐτοῦ. ὁ δὲ σφραγισμῷ ταῦτα ἅπαντα ἀνέτρεπεν. συνεργεῖ αὐτῷ καὶ γὰρ ἐν τούτοις ὁ Κύριος, δι' ἡμᾶς σάρκα πεφορεκὼς καὶ φυλάττων τοὺς ᾄδοντας. διὸ ὑπὲρ....

ιβ. Ὑπὲρ κόρης τί πασχούσης ἄρχων. τις τῶν πιστοτάτων διώχλει Ἀντώνιον ἡσυχάζοντα, ἵνα εὔξηται. τούτῳ ἔφησεν ὁ σοφός. Εἰ σὺ πιστεύεις, ἔχεις, ὃ αἰτεῖς. Ἐκεῖνος εὐθὺς πιστεύσας, χαίρων ἐβάδιζε. Θεὸς δὲ αὐτοῦ τὴν θυγατέρα ἰάσατο. πολλά τε ἄλλα θαυματουργῶν ἐφαίνετο ἐπᾴδουσιν. διὸ ὑπὲρ....

24-го Декабря препразднеству Рождества Христова.

Въ Аөонскомъ 5. 6. и 7-го икоса нѣтъ.

p. 382 383. ε. Ἡσαΐας τὴν σὴν σάρκωσιν προηγόρευσε, καὶ λοιπὸν προφητῶν ὁ ἱερὸς κατάλογος τὴν μετὰ ἀνθρώπων συναναστροφήν σου, ἐβόα πάλαι ἡ ἀπειρόγαμος, τὸν Λόγον κυήσασα, καὶ ἐν ἀγκάλαις τοῦτον κατέχουσα,

καὶ χαρμονικῶς δάκρυα χέουσα. πῶς θεωρῆσαι αἱ ἄνω τάξεις ὃν οὐδὲ δύνανται ἰδεῖν, καὶ ἀδεῶς οὕτως κρατῶ; προσκυνῶ σου τὸ κράτος, ὅτι θέλων ἐγεννήθης παιδίον.....

ε̃. Φαιδρυνέσθω ἡ γῆ, τὸν πρὶν αὐτὴν κοσμήσαντα, δυναστείᾳ πολλῇ πολυειδέσιν ἄνθεσιν ὑποδεχομένη σπηλαίῳ τεχθέντα. Ἀνθρώπων γένος, ἀνακαινίσθητι καὶ σκίρτα καὶ χόρευε. Σὺν δώροις, Μάγοι, ἰδεῖν προφθάσατε τὸν Ἐμμανουήλ. Βρέφος θεάσασθε, ποιμένες, τοῦτο μετὰ ἀγγέλων ὑμνολογήσατε ὁμοῦ. Δόξα, βοῶντες, τῷ Θεῷ ἐν ὑψίστοις, εἰρήνη ἐπὶ γῆς, ὅτι ἐτέχθη παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

ζ̃. .... νων, σοι, ἐπὶ γῆς ἐντελῶς; φάτνη πῶς σε εἰσδέξεται, ὁρώμενον βρέφος, ἀόρατε φύσει; ποιμένεσ πῶς σε πόλιν θεάσονται ἀμνὸν Θεοῦ ἄμωμον; πῶς ἐκ Περσίδος αὖθις ἐλεύσονται Μάγοι βασιλεῖσ, δῶρα κομίζοντες τῷ βασιλεῖ σοι, καὶ πάντων κτίστῃ; πῶς γαλουχήσει σε τροφός, ὄντα τροφέα τοῦ παντός; πῶς μηνύσει ἀστήρ σε ἀστρολόγοισ ἐρευνῶσι παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Св. Пророку Даниилу.

р. 383—385. α̃. Καθαρθεῖσα Πνεύματι ἡ καθαρά σου καρδία προφητείας γέγονε φαεινοτάτης δοχεῖον βλέπεις γάρ, ὡς ἐνεστῶτα, τὰ πόρρω ὄντα, λέοντας ἀποφιμώσας, βληθεὶς ἐν λάκκῳ. διὰ τοῦτο σε τιμῶμεν, προφῆτα μάκαρ, Δανιὴλ ἔνδοξε.

β̃. Ἰησοῦν τὸν Χριστόν, τὸν ἀληθῆ Θεὸν ἡμῶν, οὗ τὴν θείαν τρανῶς ἔλευσιν προηγόρευσας, δυσώπει ἀπαύστως, τοῦ ἐν εὐφροσύνῃ τὴν θείαν ταύτην τελοῦντας μνήμην σου, καὶ πίστει τιμῶντας σε, πειρατηρίων παντοίων σώζεσθαι καὶ ἁμαρτιῶν καὶ περιστάσεων, ὡς παῤῥησίαν, θεόφρον, ἔχων, καὶ ἐν ἀνοίξει τῶν ἐμῶν δίδου χειλέων σὲ ὑμνεῖν ἀκατάγνωστον λόγον, καὶ μηδόλως με βδελύξῃ, προφῆτα μάκαρ.....

γ̃. Ὤφθης σὺν τοῖς τρισὶ πάλαι παισί, θαυμάσιε, ἐξαστράπτων πολλῇ σοφίᾳ τε καὶ χάριτι καὶ Θείᾳ φρονήσει. καὶ δικαιοσύνῃ, τῶν βασιλέων τὰ θεωρούμενα συγκρίνων ἐνύπνια, καὶ κατὰ τοῦτο μεγαλυνόμενος ἔναντι αὐτῶν, ὡς δοῦλοσ γνήσιον τοῦ εὐεργετου, τοῦ σε τοιοῦτον σκεῦος τελέσαντος, σοφέ, εὔχρηστον τε καὶ δεκτικὸν ἐπιλάμψεων θείων. {διὰ τοῦτό σε τιμῶμεν, προφῆτα......

δ̃. Συνεστῶτα ποτὲ τὸν ἱερὸν ἑώρακας τοῦ Θεοῦ λειτουργὸν, καὶ τῶν ἀγγέλων ἄρχοντα συνετίζοντά σε τὰσ θείας ὁράσεις, δι' ὧν ἐμφρόνως ἡμῖν ἐδήλωσας τὰ ἄδηλα κρίματα τοῦ ἐκ Παρθένου κόρης θεόπαιδος, ὡς ἀπὸ μεγάλου ὄρους, ἔνδοξε, τμηθέντος λίθου ἄνευ ἀνθρώπου χειρὸς, καὶ πάντα τὰ γλυπτὰ καὶ χειροποίητα σαφῶς τῆς ἀπάτης τοῦ πλάνου καθελόντος δυναστείᾳ, προφῆτα.....

ε̃. Ἡ γραφή, ἣν ποτε ὁ τῆς χειρὸς ἀστράγαλος ἐν τῷ τοίχῳ τυπῶν ὤφθη, σοὶ ἐκκεκάλυπται, καὶ ταύτησ μανθάνων τὴν δήλωσιν, μάκαρ, ἄναξ ὁ τότε τοῦτο θεώμενος, ἐξέστη καὶ ἔφριξεν, καὶ τοῖς ποσί σου προκυλινδούμενος, ἄγγελον Θεοῦ σε παντοκράτορος καθυπενόει. καὶ εὐπειθῶς σου ὅλουσ τοὺς λόγους ἐκπληροῖ, εἰδὼς ἐν Πνεύματι Θεοῦ σε φθεγγόμενον πάντα, καὶ μυστήρια δηλοῦντα, προφῆτα....

ς̃. Φωταυγὴς ὡς ἀστὴρ σὺν τοῖς τρισὶν ἐξέλαμψας νεανίαις, σοφέ, τοῖς σβέσασι τὴν κάμινον ἐν συγκαταβάσει ἁγίου ἀγγέλου. βληθεὶς δ' ἐν λάκκῳ, ὡς μάρτυς ἔνθεος, νηστεύειν τοὺς λέοντας ταῖς ἐπιμονοις εὐχαῖς ἐδίδαξας, Βὲλ δὲ τὸν θεὸν ἀθέων ὤλεσας, καὶ δι' ἀγγέλου τροφὴν ἐδέξω, καθυπουργοῦντος Ἀμβακούμ. ἀλλὰ μνημόνευε ἡμῶν, τῶν ἐν πίστει τελείᾳ ἐκτελούντων σου τὴν μνήμην, προφῆτα μάκαρ, Δανιὴλ ἔνδοξε.

Св. Апостолу Андрѣю.

р. 385—386. α̃. Πρωτοδότοις λάμψεσι τοῦ ἀνατείλαντος Λόγου φωτισθείς, ἐξέλαμψας καθάπερ ἥλιοσ μέγασ ἔλυσας πολυθεΐασ νύντα βαθεῖαν. ἔπαυσας τῆς ἀγνωσίας πικρὸν χειμῶνα. διὰ τοῦτό σε τιμῶμεν, Ἀνδρέα μάκαρ, Χριστοῦ ἀπόστολε.

β̃. Ἰησοῦν τὸν χριστόν, ὃν εὐσεβῶς ἐκήρυξας ἐκ Παρθένου ἁγνῆς σάρκα θνητὴν φορέσαντα, καὶ ὁμοιωθέντα ἀνθρώποις βουλήσει, σοφέ. δυσώπει λόγον ἐμπνεῦσαι μοι ἀνυμνολογῆσαι σου τοὺς θείους δρόμουσ καὶ τὰ παλαίσματα καὶ ὑπερφυῆ τὰ ἀριστεύματα. δι' ὧν καθεῖλες τὰς παρατάξεις τῶν ἀσωμάτων δυσμενῶν καὶ τῶν ἑλλήνων τελετάς. καὶ τῆς ἄνω πολίτης ἀνεδείχθεις βασιλείας, Ἀνδρέα....

γ̃. Ὡραιώθη τὰ σά, ἔνδοξε, διαβήματα, ὁπηνίκα Χριστὸν πρῶτος εὑρὼν ἐβόησας συγγόνῳ τῷ θειῳ. Εὑρήκαμεν Πέτρε, ὃν οἱ προφῆται πάλαι προήγγειλαν, καὶ νόμοσ ἐδήλωσεν, ἐκ τῆς Παρθένου σάρκα πτωχεύσαντα καὶ ἐπὶ τῆς γῆς ξένως βαδίζοντα. δεῦρο οὖν τούτου ταῖς λαμπηδόσι καταυγασθέντες τὰς ψυχάς. ἀκολουθήσωμεν αὐτῷ. Τοῦτο πρῶτόν σου κλέος, τῶν ἀγγέλων συμπολῖτα, Ἀνδρέα....

δ̄ Φωτοβόλος ἀστὴρ γεγενημένος πνεύματι ἐκ περάτων τῆς γῆς ἕως περάτων ἥπλωσας τὰν σῶν διδαγμάτων τας θείας ἀκτῖνας, καὶ τοὺς ἐν σκότει πάλαι καθεύδοντας τῆς πλάνης ἐφώτισας, υἱοὺς ἡμέρας ἀπεργασάμενος διὰ θεουργοῦ, σοφὲ, βαπτίσματος. ἀλλὰ δυσώπει Θεὸν ἀπαύστως, ἵν' εἰρηνεύσῃ τὴν ἡμῶν νῦν πολυώδυνον ζωὴν, βασιλεῖς καταρτίζων, ἱερεῖς διαφυλάττων, Ἀνδρέα μάκαρ, Χριστοῦ Ἀπόστολε.

27-го Декабря св. первомученику Стефану.

Въ Аѳонскомъ Кондакаріи 1-й икосъ начинается: Ἡ καλὴ ἀπαρχὴ.... а у Питры сей икосъ помѣщенъ подъ 4-й цифрою. 4-го ἐξ ἀνθρώπου σοφὲ... нѣтъ у Питры. Въ Аѳонскомъ есть Кондакъ 1-й 2-й и 3-й икосъ. Не достающіе икосы слѣдующіе по счету Г. Питры. [1]).

ε̄. Ὡς ἀδάμας στερρὸς ἔφερεν ἐν ταῖς θλίψεσιν, αἷς παρεῖχον αὐτῷ δεινῶς οἱ σκληροτράχηλοι, ὡσὶ καὶ καρδίᾳ οἱ τὰ Μωσέως παραχαράττοντες θεόγραφα λόγια, οἱ τοὺς προφήτας πάλαι διώξαντας. οὗτοι καὶ Χριστὸν φθόνῳ ἐσταύρωσαν προφηκτοκτόνοι καὶ θεοκτόνοι, ὡς γεγονότες ἀπ' ἀρχῆς καὶ πονηροὶ καὶ ἀπειθεῖσ, ἀλλ' ἐνέτρεψεν τούτων τὰς πονηρὰς σκευωρίας, ὁ πρωτομάρτυς....

ς̄. Συζητοῦντες αὐτῷ οἱ ἀπὸ τῆς αἱρέσεως Λιβερτίνων δεινοὶ καὶ Κυρηναίων ἄφρονεσ, οὐκ ἴσχυον τούτῳ ἀνταγωνίζεσθαι, καὶ γὰρ δυνάμει καὶ θείᾳ χάριτι αὐτοῖς διελέγετο. Καὶ συλλαβόντες εἰς τὸ συνέδριον ἤγαγον αὐτὸν τῆσ ματαιότητος, καὶ κατηγόρουν ὡς δυσφημοῦντα εἰς Μωυσὴν καὶ τὸν Θεὸν, οἱ ἀμφοτέροις βδελυκτοὶ, ἀλλ' οὐκ ἔπτηξε τούτων τὰς φονικὰς ἐπηρείας, ὁ πρωτομάρτυς......

ζ̄ Τοὺς ἰδόντας αὐτὸν βρύχοντες οἱ παράνομοι, τὰς καρδίας αὐτῶν βριμῶντεσ διεπρίοντο ἐν τῇ παρρησίᾳ τοῦ πρωτομάρτυρος, οἱ ἁγίῳ καὶ θείῳ Πνεύματι ἀεὶ ἀντιπίπτοντεσ, καὶ εἰσορῶντες τὸ τούτου πρόσωπον ἀγγελοειδὲς φῶς ἀπαστράπτοντος, ὡς ἐθεώρει ἀνεῳγμένους τοὺς οὐρανοὺς, καὶ Υἱὸν ἐκ δεξιῶν ὄντα Πατρὸς, καὶ ἐνέπλησεν τούτων τὰς πονηρὰς ἀτιμίας. ὁ πρωτομάρτυς καὶ θεῖος Στέφανοσ.

Св. Игнатію Богоносцу.

p. 388—390. Ἀποστόλων σύνθρονος, ἱεραρχῶν ὡραιότης γεγονὼς, Ἰγνάτιε, μαρτυρικῶς ἐδοξάσθης. ἔλαμψας καθάπερ ἄστρον πάντας φωτίζων. ἔλυσας τῆς ἀθείασ νύκτα βαθεῖαν. διὰ τοῦτό σε τιμῶμεν, ὡς θεῖον ὄντωσ ἱερομύστην Χριστοῦ.

β̄. Ὡς Θεοῦ ἱερεὺς ὡς λειτουργὸς οὐράνιος, ὡς ποιμένων ποιμὴν. ὡς ἀθλητὴς ἀήττητοσ, τὰς ἄνω χορείας νῦν συναγελάζων, ἱερομύστα, φῶς μοι κατάπεμψον, καὶ λόγον μοι ἔμπνευσον ἀνευφημῆσαι τοὺς θείους ἄθλουσ σου, καὶ τοὺς διωγμοὺσ καὶ τὰ παλαίσματα, τὰς ἀριστείας, τὰσ εὐανδρείασ, τοὺς ἀλησμοὺσ, τοὺς σπαραγμοὺσ, τὰσ τῶν μελῶν κατατομὰς, δι' ὧν σῖτος ἐγένου καὶ Θεοῦ ἥδιστοσ ἄρτοσ. ὡσ θεῖοσ....

γ̄. Ἡ τῶν λόγων τῶν σῶν χάρισ ἡμῖν ἀστράψασα, τὰσ ἐν ζόφῳ ψυχὰς, πάνσοφε, κατεφώτισε, τὸ τῆσ ἀγνωσίασ διώξασα σκότοσ. μαθητευθεὶς γὰρ, μάκαρ Ἰγνάτιε, τῷ ἱεροφάντορι καὶ θεολόγῳ, τούτου ἐπλούτησασ τὴν θεολογίαν καὶ τὴν ἔλλαμψιν, διὸ τοὺσ πόρρω καὶ τοὺς πλησίον ταῖς διὰ μέλανος γραφαῖς καὶ νουθεσίαισ ἱερῶς καταρτίζεισ, διδάσκεισ, νουθετεῖς. ὡσ....

δ̄ Ἰησοῦν τὸν Χριστὸν πᾶσι θεὸν καὶ ἄνθρωπον καταγγέλλων. σοφὲ, ἔλληνασ τοὺσ κακόφρονας παρώτρυνασ κτεῖναι ἀδίκωσ σε, μάκαρ. Τραϊανὸς γὰρ ταῦτα ὡσ ἤσθετο, ὁ θὴρ ὁ ἀνήμεροσ, θηρίοισ βρῶμα δόλῳ θεσπίζει σε ἔσεσθαι, σπουδῇ τὴν Ῥώμην φθάσαντα. καὶ λεοπάρδοισ πικροῖσ συνδήσας, ἐκ τῆς ἑώασ πρὸσ δυσμὰς τρέχειν προτρέπεται, σοφὲ, ὡσ γενναῖον ὁπλίτην, ὡσ ἀνδρεῖον ἀριστέα, ὡς θεῖον.....

ε̄. Ὃς ὁ Παῦλοσ τὸ πρὶν δέσμιος. ἀπαγόμενος ἐπὶ Ῥώμην, σοφὲ, πᾶσαν τὴν γῆν ἡγίασας, πάντων τὰσ καρδίας ἐστήριξασ λόγοισ τῶν καθορώντων σου τὸ εὐπρόθυμον καὶ λίαν φιλόθεον, τὴν καρτερίαν, τὴν ἀγαθότητα, τὸν πρὸς τὸν Χριστὸν ἄπαυστον ἔρωτα, σε πυρπολοῦντα, καὶ μὴ ἐῶντα λῆξαι τοῦ δρομου. τοῦ καλοῦ, τοῦ σου σκοποῦ τοῦ θεικοῦ, οὗ τὴν ἔκβασιν εὗρες σοῦ κατάλληλον τῷ πόθῳ, ὡσ......

ς̄. Συμπαθεῖς ἐν ἐμοὶ, φίλοι, μηδόλωσ γίνεσθε, πρὸ τοῦ Ῥώμην ἰδεῖν, μάκαρ, Ῥωμαίοισ ἔγραφες, θηρῶν με γενέσθαι ἐάσατε βρῶμα. Τί μοι συμφέρει καλῶς ἐπίσταμαι, σαρκός μου μὴ φείσασθαι σῖτός εἰμι γὰρ Θεοῦ, καὶ βούλομαι ὅλως ἀλεσθεὶς λεόντων στόμασιν. γενέσθαι ἄρτος ἡδὺς τῷ Λόγῳ, τῷ σταυρωθέντι δι' ἐμὲ καὶ λογχευθέντι τὴν πλευρὰν, τοῦτον φέρω ἐν στέρνοις, τούτου φλέγομαι τῷ πόθῳ, ὡς.....

---

[1]) Г. Питра всегда кондакъ помѣчаетъ 1-й цифрою Греческою, а въ Аѳонскомъ всегда помѣчается 1-ю цифрою 1-й икосъ, а Кондакъ не означается цифрою.

ζ. Ἡδοτάτου σκοποῦ ἔτυχες ὡς ἐπόθησας, καὶ λεόντων βορὰ γέγονας, καὶ ἀνέδραμες πρὸς τὸν ἐραστήν σου Θεὸν καὶ δεσπότην, παρ' οὗ τὰ γέρα νῦν κομισάμενος τῶν πόνων ἐπάξια, τοῖς βασιλεῦσιν εἰρήνην αἴτησαι, καὶ ταῖς ἐκκλησίαις τὴν ὁμόνοιαν. καὶ τοῖς τὴν μνήμην τὴν σὴν τελοῦσιν ἁγιασμὸν καὶ φωτισμὸν καὶ ἱλασμὸν ἁμαρτιῶν καὶ τῷ σε ὑμνηκότι ἐξ ὕψους σωτηρίαν, ὡς.....

13-го Декабря святому Евстратію.

1-й Кондакъ и 1-й икосъ смотри въ мною изданномъ Кондакаріи стр. 214.

p. 391—393. Ὡς πιεῖν τοῦ Χριστοῦ ἐπιποθῶν, ποτήριον ταῖς βασάνοις σαυτὸν ὁλοκαρδίως δέδωκας. τὴν ζωῆς ποιήσας ἀπόπειραν πρώην. ὅθεν λαμπάσι καταφλεγόμενος ἀνδρείως ὑπέφερες. ἐνεδυνάμου θεία γὰρ χάρις σε, ᾗ θαυματουργῶς σὺ ἐπισκιαθεὶς, ὥσπερ λεπίδας ἐναπεβάλλου τὰς ἐκ μαστίγων ὠτειλὰς, εἰς πίστιν ἄγων τοὺς λαοὺς, τοὺς τὰ σὰ θεωροῦντας προτερήματα, θεόφρον, παμμάκαρ μάρτυς Χριστοῦ Εὐστράτιε.

δ. Συνεδέθη τῇ σῇ θεία στοργῇ Εὐγένιος, μεθ' οὗ ὁδοιπορῶν ἀνδρειοτάτως ἔψαλλες. Ὁδὸν μαρτυρίων δραμούμεθα πίστει. Ταῖς δὲ κρηπῖσι καταπονούμενος, ἐχθροῦ τὴν ὀλέθριον χάραν συντρίβεις τὴν πολυμήχανον καὶ τῆς δυσσεβείας κέντρα ἅπαντα. Ὅθεν σὲ βλέψας δεσμώτην θεῖον, ἀνεπτερώθη τῷ νοΐ, καὶ ἠκολούθει σοι σπουδῇ ὁ Μαρδάριος, θέλων συναθλῆσαι καὶ στεφθῆναι, παμμάκαρ....

ε. Ἤδη μετὰ πολλὰ ὄντως βασανιστήρια παρεδόθη σφαγῇ ὁ ἀθλητὴς Αὐξέντιος. τυθεὶς ὡς ἄρνιον διὰ τὸν τυθέντα ἀμνὸν καὶ Λόγον Θεοῦ προάναρχον. ὁ δὲ γε Μαρδάριος, τοῖς ὀβελίσκοις ἐκπυρακτούμενος, καὶ ἐκ τῶν ποδῶν δεινῶς κρεμάμενος τετρυπημένων, ἠγαλλιᾶτο, ὁδοιπορίαν πρὸς Θεὸν ποιούμενος τῶν ἀγαθῶν. τούτους οὖν θεωρήσας ἔχαιρε τελειωθέντας, παμμάκαρ...

ϛ. Φέρεις καρτερικῶς, ὦ θαυμαστὲ Εὐγένιε, τὴν τῆς γλώττης τομὴν θεολογούσης ἄριστα, χειρῶν τε ὁσίων σκελῶν τε τιμίων, καὶ τῶν μαρτύρων χοροῖς προστίθεσαι ἀεὶ εὐφραινόμενος. ὃν θεωρήσας ᾠδὰς ἀνέπεμπες σὺ χαριστηρίους τῷ θεῷ ἡμῶν, τῷ ἀθλοθέτῃ καὶ δυναμοῦντι τοὺς ἀριστέας ἑαυτοῦ καταβαλεῖν τὸν δυσμενῆ, μετὰ πόνους μυρίους τοῦ γεώδους τούτου σκεύους. παμμάκαρ....

ζ. Ὡραιώθησάν σου αἱ σιαγόνες, ἔνδοξε, τοῦ Θεοῦ τὰ φρικτὰ θαύματα διηγούμεναι ἐνώπιον πάντων τῶν παρανομούντων. ἀλλ' οὐ συνῆκεν ὁ ἀλιτήριος πυρώσει κρατούμενος. ὅθεν Ὀρέστην τὸν ἀξιάγαστον κλίνῃ σιδηρᾷ κελεύει ταχιστα πυρακτωθῆναι, ἐπιτεθῆναι, ἐν ᾗ προσκλίνας ἑαυτὸν ἀνέδραμεν εἰς οὐρανοὺς, σοῦ παρόντος θεόφρον, καὶ ὁρῶντος, γενναιόφρον, παμμάκαρ......

η. Δεδεμένος φρουρᾷ, θείας φωνῆς ἀκήκοας σὲ καλούσης σοφὲ, πρὸς οὐρανῶν σκηνώματα, ὡς τετελεκότα τὸν θεῖον ἀγῶνα. ὅθεν πλειόνως τῷ θείῳ ἔρωτι φλεγχθεὶς τὴν καρδίαν σου, πυρακτωθεῖσαν ὑπῆλθες κάμινον, τῷ Θεῷ τῶν ὅλων προσευξάμενος, καὶ στεφηφόρος ἀνεκομίσθης πρὸς ὃν ἐπόθησας Χριστὸν, ἀγγελικῶν σε στρατειῶν δεξαμένων, καὶ κρότους ἐπὶ σοὶ ποιησαμένων, παμμάκαρ.

θ. Ἡ σεπτή σου, σοφὲ, καὶ φωταυγὴς πανήγυρις λαμπροτέρα ἡμῖν ἡλίου ἀνατέταλκεν καὶ τῶν σῶν συνάθλων, φωτίζουσα πάντων τὰς διανοίας καὶ τὰ φρονήματα, ἐν ᾗ δυσωπουμέν σε τοῖς βασιλεῦσιν ἡμῶν τὰ τρόπαια, τοῖς ἀρχιερεῦσι τὴν ὀρθότητα. μονάζουσί τε καὶ τίς μιγάσιν ὁμόνοιαν εἰρηνικὴν αἰτεῖν δοθῆναι ἐκ Θεοῦ, καὶ τῷ σε ὑμνηκότι τῶν πταισμάτων ὅλων λύσιν, παμμάκαρ μάρτυς Χριστοῦ εὐστράτιε.

17-го Ноября св. Григорію Чюдотворцу.

p. 393. α. β... γ... δ.... ε.... (Ὤφθης) ταῖς αὐτοῦ ἐντολαῖς ἐπαγρυπνῶν, ἀοίδιμε, καὶ πράξει τὴν κλῆσιν ἐπικαλλωπίζων, ζητῶν τυχεῖν δὲ θείας λαμπρότητος. οὐράνιον μάχαιραν χρυσῆν διό σοι Χριστὸς ἀπέστειλεν, ἣν ἀπολαβὼν ὡράθης πύρινος, θεόφρον, στῦλος καὶ κόσμος πάντων τῶν μοναστῶν, καὶ ἰατρὸς τῶν ἀσθενῶν, θαυματουργὲ, καὶ λιμὴν σωτηρίας καὶ φωστὴρ τῆς ἐκκλησίας, παμμάκαρ πάτερ σοφὲ, Γρηγόριε.

ϛ. Φωτισμὸς ὁ Χριστὸς καὶ ὁδηγός σοι γέγονεν ἐν ἡμέρᾳ σαφῶς καὶ ἐν νυκτὶ, πανόλβιε, σκέπων σε ἐκ πάσης δαιμόνων κακίας. ἐντεῦθεν τούτων ὅλα τὰ ἔνεδρα καὶ τὰ πανουργήματα, ὥσπερ ἀράχνης ἔλυσας νήματα, καὶ πρὸς οὐρανοὺς χαίρων ἀνέδραμες, ὡραϊσμένος, πεποικιλμένος χρυσοειδέσιν ἀρεταῖς, καὶ τῶν ὁσίων τοῖς χοροῖς προσετέθης ἀξίως, τῶν ἀγγέλων συμπολῖτα, παμμάκαρ....

12. Мая св. Герману и Епифанію и въ Аѳонскомъ Кондакаріи есть. Тутъ есть еще икосъ начинающійся: τῷ Θείῳ θρόνῳ........ **котораго нѣтъ въ Кондакаріи Г. Питры.**

9-го Декабря на зачатіе святой Анны.

Кондакъ и 1-й икосъ есть и въ Аѳонскомъ Кондакаріи, а 3-го, по счету Г. Питры четвертый смотри въ моемъ дополненіи изъ мѣсячныхъ миней стр. 245. Недостающіе же слѣдующіе:

p. 397. 398. **γ.** Ὡς οὖν προσηύχηντο ὁμοῦ Ἰωαχεὶμ καὶ Ἄννα, βουλόμενοι πλεόνως τὴν δέησιν προσάξαι τῷ χορηγῷ τῶν ἀγαθῶν εἰς περισσοτέραν κακοπάθειαν, χωρεῖν εὐθὺς διενοήθησαν. ὁ μὲν γὰρ πρὸς τὸ ὄρος ἀνέρχεται, ὥσπερ ὁ νομοθέτης. ἡ δὲ ἔνδον παραδείσου εἰσέρχεται, θρήνους ἐπὶ θρήνους συνάπτουσα θερμῶς. καὶ ὀδυρομένη καὶ βοῶσα ἐκτενῶς. Ὦ πανοικτίρμον, ἄκουσον καὶ δὸς κἀμοὶ τῇ δούλῃ σου τέκνον, τὴν ὑπὲρ λόγον...

ε. Ἡνίκα ταύτας ἐκτενῶς προσῆγε τὰς δεήσεις, ἑώρακεν ἐξ ὕψους ἡ Ἄννα κατελθόντα ἄγγελον λέγοντα αὐτῇ. Παῦσαι τοῦ δακρύειν, καὶ ἀνάλαβε χαράν, συλλήψῃ γάρ, φιλόσεμνε, καὶ εὔτεκνος ὀφθήσῃ ἡ ἄτεκνος. ἤγγικε γὰρ εἰς ὦτα τοῦ Κυρίου ἡ βοή σου, εἰσήκουσε νῦν τοῦ στεναγμοῦ σου... καὶ πιστώθητι ἐμοῖς λόγοις οἷς λέγω. ἕξεις ἐν γαστρί. καὶ τέξεις κόρην ἁγίαν, τὴν ὑπὲρ λόγον.....

ς. Φαίνεται καὶ Ἰωαχεὶμ ἐν ὄρει τῷ δικαίῳ ὁ ἄγγελος. καὶ τούτῳ χαρᾶς ἀποκομίζει λόγους. φθεγγόμενος αὐτῷ. Κάτελθε ἐν τάχει πρὸς τὴν σύζυγον τὴν σήν. ἠκούσθη σου ἡ δέησις. Ὑπάρχοντες ἀμφότεροι δίκαιοι, μίαν τὴν ἱκεσίαν τῷ δεσπότῃ τῶν ἁπάντων προσήξατε. ἐπιζητουμένης ἐμπλήσθητε χαρᾶς, ὅτι τὴν αἰτίαν τῆς χαρᾶς τῶν γηγενῶν, καὶ ἀναιρέτην λύπης πονηρᾶς, γεννήσετε παρ᾽ ἐλπίδα, τὴν ὑπὲρ Λόγον κυήσουσαν.

5-го Декабря св. Саввѣ освященному.

Въ Аѳонскомъ Кондакаріи есть Кондакъ и 2-й икосъ, а по счету Г. Питры 3-й. Недостающіе слѣдующіе:

p. 432. 433. **β.** Σοφίας ὑπάρχων βλάστημα. Σάβα ὅσιε, παιδιόθεν ἐπόθησας σοφίαν τὴν ἀνυπόστατον. ἣ καὶ συνοικοῦσα ἀπὸ γῆς σε ἐχώρισε, καὶ πρὸς ὕψος ἀνήγαγεν, ἐξ ἀΰλων ἀνθέων πλέξασα στέφανον, καὶ τῇ σῇ ἐπιθήσασα ἡγιασμένῃ κάρᾳ, θεόφρον. ὥπερ κεκοσμημένος, ἐξιλέωσαι τὸ θεῖον τοῦ δοθῆναί μοι σοφίαν λόγου, ἐπαξίως ὅπως ἀνυμνήσω τὴν σὴν ἁγίαν κοίμησιν, ἣν ὑπερεδόξασεν Χριστὸς ὁ Θεὸς ἡμῶν, θεόφρον πάτερ ἡμῶν. Славянскій переводъ смотри въ изданномъ Кондакаріи стр. 245 подъ 5-мъ числомъ Декабря.

δ. Μεγάλως ἐκ προοιμίων σου, Σάβα ὅσιε. ὑπεραγωνισάμενος, εἰς ὕψος τῆς τελειότητος ἔφθασας. ἁγνείαν ἀληθῆ ἐνδυσάμενος, καὶ τὴν θείαν ταπείνωσιν ὥσπερ θώρακα φέρων, ὁρμὴν τὴν ἄστεκτον τοῦ πυρὸς ἐχαλίνωσας, ὥσπερ οἱ παῖδες ἐν τῇ καμίνῳ, ἀβλαβὴς διαμείνας. σὺν αὐτοῖς δὲ ἀναμέλπων ἐν νυκτί τε καὶ ἡμέρᾳ, δαιμόνων τὰ στίφη, ὡς ἄλλους χαλδαίους, κατέφλεξας, εἰκόνας δὲ παθῶν κατηδάφισας, ἀμέμπτως τῷ κτίστῃ σου λατρεύσας, θεόφρον πάτερ ἡμῶν.

1-го Апрѣля св. Маріи Египетской есть и въ Аѳонскомъ Кондакаріи; только здѣсь 2-й икосъ: Μιάσματι, у Г. Питры по его счету 4-й.

1-го Февраля св. мученику Трифону въ Аѳонскомъ недостаетъ послѣдняго, по счету Г. Питры 4-го.

p. 436. **δ.** Ἀθεότητος δόγμα πλατύνων δὲ ἐπὶ πᾶσαν τὴν γῆν ὁ ἀρχέκακος, καὶ βωμοὶ τῶν εἰδώλων βακχεύοντες τῶν ἀνθρώπων τὴν φύσιν βδελύγμασι, ὁρῶν τὴν πλάνην τούτων, ἔνδοξε, παῤῥησίᾳ Χριστὸν ὁμολογεῖς Θεόν, ποιητὴν τῶν αἰώνων τε καὶ Κύριον, δι᾽ οὗ μάρτυς αὐτοῦ οἰκειότατος φανεὶς ὡς ἀήττητος.

5-го Мая св. Иринѣ.

p. 438. 439. ᾱ. Φωταυγείᾳ διαλάμπουσα πάσῃ τῇ γῇ, καὶ θαυμάτων διανέμουσα τὰς δωρεὰς τοῖς ἐν πίστει προστρέχουσι τῇ σκέπῃ σου, ἀλλὰ καὶ νῦν, πανεύφημε, ταῖς ἱκεσίαις σου, τῇ προσευχῇ σου φώτισον τὰς διανοίας ἡμῶν, καὶ κόσμον εἰρήνευσον ταῖς πρεσβείαις σου.

β. Ὤλεσας εἴδωλα τὰ πατρῷα, καρτεροῦσα τῷ πύργῳ προσευχῇ, νηστείᾳ, ἀγγέλων ὤφθης συμμέτοχος. σου μελετώσης τὰ θεῖα τότε, οὐρανόθεν σοι ἧκε παρὰ Κυρίου περιστερά, ὡς τῷ Νῶε τὸ κάρφος κατέχουσα, ἐλέους σύμβολον ὅθεν τὸ σῶμα ἐτήρησας ἐν ἁγνείᾳ ἀλλότριον μίξεως, καὶ κόσμον εἰρήνευσον ταῖς πρεσβείαις σου.

γ. Τίς μὴ θαυμάσῃ τοὺς σοὺς ἀγῶνας; τίς ἐξείποι τὴν νίκην, ἣν δεδώρηται σοι Χριστὸς ὁ μόνος Θεὸς ἡμῶν; θυγάτηρ οὖσα γὰρ βασιλέως τοῦ σκότους, οὐκ εἶξας τῇ τούτου δόξῃ. τὴν θείαν δὲ καὶ τὴν ἄφθαρτον δόξαν ἠγά-

πησας τοῦ κτίστου ὅλου τοῦ κόσμου (οὐρανοῦ καὶ γῆς, θαλάσσης ὁμοῦ) καὶ πάντων τῶν ὄντων ἐν αὐτοῖς, ὃν δυσώπει ἀπαύστως ὑπὲρ ὑμῶν, καὶ κόσμον εἰρήνευσον ταῖς πρεσβείαις σου.

Кондакъ и икосы на первозданнаго Адама есть и въ Аѳонскомъ Кондакаріи, но здѣсь, 6-й ωσφραίνομαι, а 10-й Οὐκέτι μοι, а въ Кондакаріи у Питры на оборотъ.

Патріарху Ною.

р. 451—453. Τῇ Κυριακῇ τῆς β'. ἑβδόμαδος τῶν νηστειῶν, Κονδάκιον εἰς τὸν Νῶε, ἦχ. πλ. β. πρὸς τὸ. Τὴν ὑπὲρ ὑμῶν.

α. Τῶν ἁμαρτιῶν τὸ πέλαγος ἐπὶ Νῶε ἐν ὀργῇ θυμοῦ κατέκλυσας σῇ ἰσχύϊ, ἐπ' ἐσχάτων δὲ κόσμον, Χριστὲ ὁ Θεός, ἀνεκαίνισας τῷ βαπτίσματι, καὶ πυρὶ τὴν γῆν ὕστερον καθαρίσεις. ἀλλὰ σῶσον ἡμᾶς τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς. λυτρωτὰ τοῦ παντός.

β'. Ἀφορῶν τὴν ἀπειλὴν τῶν ὑπευθύνων ἣν ὑπέμειναν πότε ἐπὶ Νῶε. τρέμω ἐνθυμούμενος τὰ δεινά μου ἐγκλήματα, γέμοντα κατακρίσεως. ἐκείνοις μὲν ὁ πλάστης ἠπείλησεν, προθύμως χρόνον τῆς μετανοίας ἀναμένων αὐτῶν. ἡμῖν δὲ ἡ ὥρα τῆς τελευταίας ἡμέρας οὐκ ἐπεγνώσθη τὸ πότε ἥξει, οὔτε ἀγγέλοις ἀπεκαλύφθη, ἐν ᾗ Χριστὸς ἐλεύσεται, ὁ πρὸ αἰώνων Κύριος, νεφέλαις ἐποχούμενος, ὡς Δανιὴλ ἑώρακεν, τοῦ διακρῖναι τὴν γῆν. πρὶν ἐπέλθῃ οὖν ἡμῖν ἡ τοῦ τέλους, ῥοπή, ἱκετεύσωμεν τὸν Χριστὸν, ἀλλὰ ῥῦσαι πάντας τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς λυτρωτὰ τοῦ παντός.

γ. Ἵνα γνῶμεν οὖν ἡμεῖς τὸ ἐπὶ Νῶε, τῶν ῥημάτων τῆς Γραφῆς ἀκροασθῶμεν. τοῦτο γὰρ ἐφθέγξατο πρὸς αὐτὸν ὁ φιλάνθρωπος βλέπων ἀδικίας τῶν πρίν. Καιρὸς παντὸς ἀνθρώπου ἐναντίον μου ἥκει, ὅτι ἡ γῆ ἐπλήσθη ἀδικίας πολλῆς. νῦν οὖν καταφθείρω αὐτοὺς καὶ πάντα τὰ γένη τοῦ ἐξαρθῆναι τὴν ἁμαρτίαν. ὅτι ἐπλήσθη φθορᾶς τὰ πάντα. Ὑπάρχεις δὲ μονώτατος δίκαιος καὶ εὐάρεστος ἀπὸ τῆς γενεᾶς αὐτῶν. δίκην γὰρ ῥόδου ἤνθησας ἐν μέσῳ τῶν ἀκανθῶν. ἐνωτίσθητι οὐκοῦν σὺ ῥημάτων ἐμῶν τοῦ ποιῆσαι τὸ θέλημα τὸ ἐμόν, ἐκβοῶν. ἀλλὰ ῥῦσαι πάντας τῆς ὀργῆς.......

δ. Νῦν οὖν ἄγαγε ὕλην ἀσήπτων ξύλων. καὶ ποιήσεις κιβωτὸν καθάπερ θέλω. ἥντινά σοι δείκνυμι, ὡς εἰς μήτραν βαστάζουσαν σπέρμα μελλουσῶν γενεῶν. καὶ ταύτην ὥσπερ οἶκον ἐν τύπῳ ἐκκλησίας ποίησον ἁρμοδίως, ὡς ἐντέλλομαί σοι. νοσσιὰς ποιήσεις τὴν κιβωτὸν ἀσφαλτώσας, τριακοσίων πηχῶν τὸ μῆκος, πεντήκοντα δὲ τὸ πλάτος πάλιν, τὸ ὕψος δὲ τριάκοντα. ἐπισυνάγων ποίησον εἰς πῆχυν ἕνα ἄνωθεν, διόροφα, τριόροφα σκευάσεις τὴν κιβωτὸν, τὴν δὲ θύραν τέλεσον ἐκ πλαγίων αὐτῆς καὶ ἐν ταύτῃ φυλάξω σε, βοῶντά μοι πιστῶς. Ἀλλὰ ῥῦσαι πάντας τῆς ὀργῆς στοργῇ σου τῇ πρὸς ἡμᾶς, λυτρωτὰ τοῦ παντός.

9-го Мая св. Пророку Исаіи Кондакъ и икосы тѣ же, что и въ Аѳонскомъ Кондакаріи.

21-го Декабря препразднеству Рождества Христова, въ Кондакаріи Г. Питры другой кондакъ. Смотри сей кондакъ на стр. 246 подъ 26-мъ числомъ Декабря въ изданномъ мною Кондакаріи. Въ Аѳонскомъ Кондакаріи: ὑπὸ πολλῆς.... 3-й икосъ, а въ Кондакаріи Г. Питрою изданномъ по его счету 2-й, а 2-й икосъ въ Аѳонскомъ Кондакаріи, въ кондакаріи же, изданномъ Г. Питрою 3-й.

Недостающіе икосы въ Аѳонскомъ слѣдующіе:

р. 456. 457. δ. Σεσαρκωμένος ὁ ἄσαρκος καθορᾶται νῦν, καὶ χερσὶ τῆς μητρὸς αὐτοῦ θελήσει διαβαστάζεται ὁ χερσὶν ἰδίαις διαπλάσας τὸν ἄνθρωπον, καὶ μολεῖ πρὸς τὴν Αἴγυπτον ὁ μηδαμοῦ χωρούμενος. καὶ πάντα δέχεται τοῦ παθεῖν ὁ ἀνεύθυνος ἵν' ὑπευθύνοις τῆς ἁμαρτίας ἐλευθερίαν γράψει, ἀποδώσει τε τὸ χρέος ὅπερ ὤφειλεν ἡ εὔα. καὶ, ἐνδυναμώσει ἐξ αὐτῆς τεχθέντας, ὑπερορᾶν παιζόμενον Ἡρώδην ἀόρατον, καὶ εὐαγγελίζηται τῷ Δαυὶδ τὰ θαύματα.

ε. Μετὰ ποιμένων δοξάσωμεν. μετὰ Μάγων δὲ ἀρετὰς προσενέγκωμεν, πίστιν, ἐλπίδα, ἀγάπην τε. καὶ μετὰ ἀστέρος νοητῶς ἐπιδράμωμεν, τὸν χρησμὸν εἰσδεχόμενοι δι' ἀγγέλου σαφέστατα, ὥσπερ ὁ ἔνθεος Ἰωσὴφ ὑπεδέξατο, σὺν αὐτῷ πίστει ἀπεριέργῳ Θεὸν ὁμολογοῦντες τὸν τεχθέντα ἐν σπηλαίῳ καὶ ἐν φάτνῃ τῶν ἀλόγων προσανακλιθέντα, ὅπως ἀλογίας τοὺς λογικοὺς λυτρώσηται καὶ σώζῃ τὰ πέρατα, εὐαγγελιζόμενος τῷ Δαυὶδ τὰ θαύματα.

ς. Ἅπαν νεκρώσαντες φρόνημα τῆς σαρκὸς ἡμῶν, γεννηθῶμεν ἐν πνεύματι, καὶ τῷ τεχθέντι προσδράμωμεν σὺν τῇ θεοτόκῳ ἐπὶ Αἴγυπτον φεύγοντι δι' ἀγγέλου προρρήσεως. τῷ Δαυὶδ δὲ βοήσωμεν σὺν τῷ θεόφρονι Ἰωσὴφ τὰ θαυμάσια. παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν μένει παρθένος. ἣν ποιμένες καὶ τὸ ἄθροισμα τῶν Μάγων, Θεὸν ἀνυμνοῦντες ὑπέστρεψαν ἅμα. οὕσπερ νῦν ἐκμιμούμενοι, δόξαν ἀναπέμψωμεν αὐτῷ καὶ κηρύξωμεν τῷ Δαυὶδ τὰ θαύματα.

29. Декабря св. избіеннымъ Младенцамъ.

p. 458. 459. Недостающій икосъ: ꙁ҃. Πάλαι εν τοῖς ψαλμοῖς Δαυὶδ προανεφώνησεν. ἐκ τοῦ κλίτους σου γὰρ χορὸς πεσεῖται ἅγιος μυρίων νηπίων. ἀλλὰ καὶ χιλίων τὴν τοῦ Ἡρώδου ἀνακηρυττόντων μανίαν παράνομον. πρὸς σὲ δὲ, Λόγε, οὐ προελεύσεται. μᾶλλον δὲ αὐτὸς φθόνῳ τιτρώσκεται, σὺ δὲ ὡς μόνος Θεὸς καὶ πλάστης, συμβασιλεύεις πάσης γῆς, καὶ γὰρ γεγένησαι βροτὸς οὗ τὸ ἄστρον ἰδόντες ἀνυμνοῦσιν ἐκ Περσίδος τὸ μέγα κράτος τοῦ πρὸ αἰώνων Θεοῦ.

Имъ же.

p. 459. 460. ᾱ. Ὁ σὺν πατρὶ ἀμήτωρ Κύριος Λόγος, καὶ ἐν μητρὶ ἀπάτωρ μόνος ἄνθρωπος, νηπιάσας νόμῳ σώματος, χορὸν νηπίων στέφει σήμερον. βρεφῶν ὁ θεῖος πλάστης ὡς βρέφος πλάττεται, ἀμνὸς ὁ πρὸ αἰώνων ἐν φάτνῃ τίθεται, καὶ σώζει τοὺς πίστους ἀνυμνοῦντας αὐτόν.

β̄. Ἄλλος ὑμῖν, ὡς ἥλιος λάμψας, τοῖς ἐν σκότει τοῦ βιου, γεννηθεὶς ὁ σωτὴρ ἐν τῇ Βηθλεέμ, ὡς ἄνθρωπος, δείκνυσι κόσμῳ ἀστέρας νέους, ἀπαστράπτοντας αἴγλην φωτὸς ἀρρήτου. λάμπουσι γὰρ οἱ θανόντες ὡς ζῶντες παῖδες ἱεροὶ, οὓς πόθῳ μέλποντες ὕμνοις εὐφημήσωμεν, τούτων τὴν ἔνθεον καὶ πάνσεπτον μνήμην γεραίροντες, καὶ Χριστὸν ἱκετεύοντες ὡς λυτρωτὴν, τὸν σώζοντα τοὺς πίστει ὑμνοῦντας αὐτόν.

γ̄. Νῦν ἐν κλαυθμῷ Ῥαχὴλ βλέπει τέκνα, καὶ παράκλησιν πᾶσαν ἀποθεῖται ψυχῆς. ὁρᾷ γὰρ αὐτῆς τὰ ἔκγονα. ἄλλο τὸ ξίφος ἐν σπλάγχνοις ἔχον, ἄλλο μέσον καρδίας κατεσφαγμένον, ἕτερον δὲ συγκρουσθὲν ἐπὶ τῇ πέτρᾳ ἐκπνοῦν δεινῶς, καὶ ἄλλο ὡς ὑπὸ λύκων σπαραχθὲν εἰς πικρὸν ἐγκατάβρωμα. καὶ ταῦτα βλέπουσα κράζει Χριστῷ, ἐν κλαυθμῷ δεομένη δουλοπρεπῶς, τῷ σώζοντι τοὺς....

δ̄. Ἐν ἐμπαιγμῷ Μάγων Ἡρώδης ἀνταλλήλως ὁ τάλας τὴν νηπίων πληθὺν τυφλάττων συγκατεμέλισεν. οὗτοι ὡς θεῖα νεόφυτα δὲ, οὐρανίας τραπέζης παρόντες κύκλῳ, τῆς ὑπὲρ νοῦν χαρμονῆς ἀξιοῦνται καὶ ἐνθέου τρυφῆς. ζωῆς γὰρ τῆς ἐπικαίρου στερηθέντες, αἰώνιον ἤρξαντο ζωὴν καὶ θείαν ἀπόλαυσιν, καὶ θερμῶς δυσωποῦσι πρὸς Κύριον τοῦ σῶσαι τοὺς πίστει ἀνυμνοῦντας αὐτόν.

Въ недѣлю о блудномъ сынѣ, Кондакъ и 1-й икосъ смотри въ мною изданномъ Кондакаріи стр. 230.

Недостающіе слѣдующіе: p. 461. 462. γ̄. Ο.... δ̄. Ὑπὸ δὲ τοῦ παιδὸς ὁ πατὴρ δυσωπούμενος διανέμει αὐτοῖς πλοῦτον ὅνπερ ἐκτήσατο, καὶ τοῦτον συνάξας, προκαταλαμβάνει χώραν μακράν τε καὶ ὅλως ἄγνωστον, ἐκεῖ δὲ ἀνήλωσε πάντα τὸν βίον ἀσωτευσάμενος. ὅθεν ἡδονῶν δοῦλος ἐγένετο, παράσιτος δὲ τοῦ διαβόλου καὶ τῶν κτηνῶν ὁμόσκηνος, οἷς συνεβλήθη, συληθεὶς ἥνπερ εἶχε τὴν μοῖραν, πλὴν διὸ δέξαι με, κράζει, καὶ ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. ε̄. Τ..... ς̄. Α. . ζ̄. Π.... η̄. Ἐν τιμῇ ὢν υἱὸς, οὐ συνῆκα ὁ ἄθλιος. ἐμαυτὸν δὲ κακῶς τῆς δόξης σου ἐστέρησα, πάτερ παντοκράτορ, ἀσώτως βιώσας. ἀλλ' ἐπιστρέψας κράζω. φιλάνθρωπε, καρδίαν πτωχεύσασαν μὴ ὑπερίδῃς, ἀλλὰ κατάστησον εἰς τὸ φωτεινὸν καὶ πρῶτον κάλλος σου, τὸν ἀρραβῶνα τοῦ βαπτισμοῦ σου, ὡς τῷ ἀσώτῳ σου υἱῷ, πάλιν διδούς μοι, ἀγαθὲ, καὶ τοῦ δείπνου ἐκείνου τοῦ μυστικοῦ ἀξίων με. καὶ ποίησον ὡς ἕνα τῶν μισθίων σου.

Въ Субботу Мясопустную.

p. 562 — 464. Τῷ Σαββάτῳ τῆς ἀποκρέου Κοντάκιον ἀναπαύσιμον, ἦχ. β̄. Πρὸς τὸ. Τῷ θεῷ....

ᾱ. Ὁ τῇ σῇ ἐξουσίᾳ, Χριστὲ οἰκτίρμων. ἐκ τῆς γῆς διαπλάσας γένος ἀνθρώπων, καὶ πρὸς τὴν γὴν πάλιν κελεύσας μετέρχεσθαι. τοὺς ἐξ αἰῶνος θανόντας ἀνάστησον, ἐν τῇ ἐσχάτῃ σου σάλπιγγι, διδοὺς αὐτοῖς τὴν σὴν οὐράνιον ἀνάπαυσιν....

β̄. Δέξαι ἡμῶν, οἰκτίρμων, τὸν ὕμνον ἐκ καρδίας ᾀδόντων συντριμμῷ τε ψυχῆς πρὸς σὲ βοώντων καὶ κραζόντων, ἵνα ἐν ὥρᾳ τῆς κρίσεως σου, τοῖς θανοῦσι ἢ βίᾳ ἐκ τοῦ αἰῶνος, ἢ ἐν κρημνοῖς, ἢ ἐν γῇ, ἢ ἀγχόνῃ. ἢ λίμνεσι, παράσχῃς πταισμάτων τούτοις εὐσπλαγχνίᾳ σου, Λόγε, συγχώρησιν, καὶ παραδείσου δείξῃς αὐτοὺς, σὺν λῃστῇ τῷ πιστῷ σου οἰκήτορας, διδούς.....

Ἔργα χειρῶν σου καὶ ποιημάτων, οἱ πρὸς σὲ μεταστάντες. τῆς φθαρτῆς καὶ ῥευστῆς τοῦ βίου τούτου συγκλείσεως. οἴκτειρον πνεύματα τῶν θανόντων ἐξ αἰῶνος, ἐν πόλεσιν, ἐν ἐρήμοις, τοὺς βασιλεῖς, ἱερεῖς ὀρθοδόξους, μονάζοντας, γηραιοὺς, πρεσβύτας, νέους, καὶ βουπαῖδας καὶ βρέφη τὰ ἄωρα, πυρὸς ἀσβέστου καὶ σκώληκος, ἐξελοῦ ἐν τῇ ὥρᾳ τῆς κρίσεως, διδοὺς........

δ. Ὕμνον καὶ θρῆνον προσφερόμέν σοι, λιπαροῦντες τὸ κράτος τῆς σῆς θείας βουλῆς, κριτὰ τῶν ὅλων καὶ Κύριε κλῖνον τὸ οὖς σου ἐξουρανόθεν καὶ ἐπάκουσον πάντων ἡμῶν αἰτούντων, λύτρον λαβεῖν τῶν πολλῶν ἐγκλημάτων τοὺς δούλους σου, οὓς εἴληφας ἐκ τῶν προσκαίρων, συγγενῶν στερηθέντας καὶ ἀδελφῶν, καὶ μεταστάντας πρὸς σὲ, σωτὴρ, τὸν ἀεὶ ἀτελεύτητον Κύριον, διδοὺς.....

ε. Τῇ φοβερᾷ φρικτῇ τε ἐλεύσει, ὅταν ἔλθῃς ἐν δόξῃ οὐρανόθεν ἐν γῇ ποιῆσαι κρίσιν δικαίαν σου, σπλάγχνα ἐλέους ὡς ἔχων μόνος, τῶν πρὸς σὲ μεταστάντων ἐκ τῶν προσκαίρων δίδου, Χριστὲ, τὰς ψυχὰς τῶν σῶν δούλων αὐλίζεται ἐν κόλποις ἁγίων πατέρων. ἔνθα ἐστὶ δικαίων ὁ σύλλογος, τρυφὴ καὶ δόξα τῶν δούλων σου, τῶν ἀεὶ ἀγαπώντων σε, Κύριε, διδοὺς......

ς. Ἄφνης ὁ θάνατος ὥσπερ λέων ἦρέ με συγγενείας, καὶ ἐν τάφῳ νεκρὸν κατήγαγεν, ἀλλὰ δέομαι πάντων ὑμῶν, ἀδελφοὶ καὶ φίλοι, τῆς ἐμῆς ἐν τῷ βίῳ φθαρτῆς ἀγάπης μνήσθητε οὖν, καὶ Θεῷ ἱκεσίαν προσάξατε, δοθῆναι μοι λύσιν πταισμάτων ἐν τῇ κρίσεως ὥρᾳ τῷ τάλανι καὶ κατοικίαν τὴν ἄληκτον, ἔνθα ἐστὶ τρυφὴ ἀνεκλάλητος, διδοὺς.

ζ. Ῥῦσαι φλογὸς καὶ πυρὸς ἀσβέστου καὶ μελλούσης βασάνου, ἀπειλῆς καὶ βρυγμοῦ, τοὺς μεταστάντας, σωτὴρ ἡμῶν, ὅταν ἐγείρῃς πάντας ἐκ τάφου ἐν ῥιπῇ, οὓς διέπλασας τῇ χειρί σου, καὶ ὁμαδὸν παραστήσῃς, οἰκτίρμων, τοῦ κρίνεσθαι. αἰτοῦμεν, δεξιοκλίτου τούτους, εὔσπλαγχνε, στάσεως ποίησον, δικαίοις τε συναρίθμησον, ὅπου λάμπει τὸ φῶς τοῦ προσώπου σου, διδοὺς.....

η. Ὄναρ καὶ φάσμα ὁ βίος πέλει, χοῦς καὶ τέφρα καὶ κόνις καὶ ὡς ἄνθος ἀγροῦ καὶ ὡς καπνὸς ἀφανίζεται. δεῦτε προθύμως ἐπὶ τοὺς τάφους καὶ θεάσασθε ποῖός ἐστιν ὁ πένης, ποῖος ἐκεῖ πέλει πλούσιος ἅμα ἐλεύθερος, δοῦλος δυσειδὴς ἢ μέλας, ἀλλ' ὀστᾶ γυμνωθέντα τοῦ σώματος. δάκρυσι πάντες αἰτήσωμεν τὸν κριτὴν τῶν ἁπάντων, κραυγάζοντες. Διδοὺς....

θ. Σῷ λόγῳ, Λόγε, σαφῶς τὰ πάντα ἐκ μὴ ὄντων παρήχθη, καὶ κελεύσει τῇ σῇ ἐκ τοῦ χοὸς μοι συνέστησας σάρκα ὀστᾶ τε, ψυχὴν ἐμπνεύσας. παραβάντα δε πάλιν διὰ τοῦ ξύλου, ἐκ τῆς Ἐδὲμ πρὸς τὴν γῆν ἐνετείλω πορεύεσθαι, ἐξ ἧς ἐλήφθην καὶ πρώην. ἀλλ' ἐλέησον, φεῖσαι καὶ ἄνες μοι, ὅτε ἐτάζεις τὰ δίκαια τῶν βροτῶν, ἐλεῆμον καὶ δίκαιε, καταπέμπων ἡμῖν οὐράνων ἀνάπαυσιν.

ι. Πᾶσα ἡ κτίσις σε μεγαλύνει καὶ δοξάζει, παρθένε, τῆς ἀρᾶς διὰ σοῦ ὡς λυτρωθεῖσα τῷ τόκῳ σου. ἀλλὰ καὶ νῦν ὑπὲρ τῶν θανόντων τὸν υἱόν σου καὶ κτίστην ἀεὶ δυσώπει, ἐκ τοῦ βρυγμοῦ καὶ πυρὸς αἰωνίου καὶ σκώληκος ῥυσθῆναι καὶ πάσης ἄλλης φοβερᾶς ἀπειλῆς, ἀειπάρθενε, σὺ γὰρ καὶ μόνη ἀκράδαντος παῤῥησίαν πολλὴν ἔχεις πάντοτε πρεσβεύειν ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Въ Субботу Сыропустную.

p. 465. 466. Κονδ. πρὸς τό. Ἐπεφάνης ἦχ. δ. Οἶκος. πρὸς τό. Τῇ γαλιλαίᾳ.

α. Οὓς ἐν πίστει, Κύριε, ἐκ τῶν προσκαίρων προσελάβου, ἄφεσιν αὐτοῖς παράσχου, ἀγαθὲ, ἐν τῇ δευτέρᾳ ἐλεύσει σου. σὺ γὰρ ὑπάρχεις Θεὸς πολυέλεος.

β. Αἱ τάξεις πᾶσαι, ἀγαθὲ, ἀγγέλων καὶ ἀνθρώπων παρίστανται ἐν φόβῳ τῷ σῷ δικαστηρίῳ, ἔνθα οὐκ ἔστιν οὐδαμῶς οὔτι βοηθῆσαι, ει μὴ αἱ πράξεις. διὸ βοῶ σοι. ἀναμάρτητε. φεῖσαι μου τότε, ὥσπερ ὢν εὔσπλαγχνος. οἶδα γὰρ τὰ ἔργα, ἃ ἐν βίῳ ἀμελήσας ἐξείργασμαι. καὶ φρίττω τὴν δίκην. ἀλλ' οἴκτειρον σωτὴρ, σε χειρῶν σου τὸ ἔργον, καὶ χορῷ τῶν ἐκλεκτῶν κατάταξόν με, πρεσβείαις τῆς τεκούσης σε καὶ τῶν ἁγίων, σὺ γάρ...

γ. Ἵλεως γενοῦ μοι, σωτὴρ, ἐν δόξῃ ὅταν ἔλθῃς τοῦ κρῖναι τῶν ἀνθρώπων τὰς πράξεις, καὶ πυρός με ῥῦσαι, ὡς μόνος ἀγαθὸς, ὁ διὰ τὸ σῶσαι γένος ἁπάντων βροτῶν ἐν γῇ παραγενόμενος, θάνατον ὑπομείνας, θανάτου δὲ λύσας τὰς ὠδῖνας. καὶ με τῆς σῆς βασιλείας ἀξίωσον, σὺν τοῖς ἐκλεκτοῖς σου, ἐν ᾗ ὁ φωτισμὸς τοῦ σοῦ προσώπου καταλάμπει, καὶ χορὸς τῶν ἀποστόλων καὶ τῶν προφητῶν ἀγάλλεται ἐπαξίως, σὺ γάρ...

δ. Νυμφῶνος τοῦ ἐν οὐρανοῖς, Χριστὲ ὡς ἐλεήμων, ἀνάδειξον οἰκέτασ οὕσ πίστει προσελάβου ἐκ τῶν προσκαίρων, ὡς Θεὸς, καὶ πλημμελημάτων δίδου τὴν λύσιν αὐτοῖς, γὰρ μόνος Κύριος ὑπάρχεις ἀναμάρτητος, πάντες δὲ ἐξημάρτομέν σοι ἐν ἀγνοίᾳ καὶ ἐν γνώσει. διόπερ ὑπὲρ τῶν τεθνεώτων τελοῦντες τὴν ᾠδὴν νυνὶ κράζομεν σοι. Ὅτιν ἔλθῃς ἐπὶ γῆς κρῖναι τὸν κόσμον, δώρησαι αὐτοῖς ὁρᾶν σου τὴν θείαν δόξαν. σὺ γάρ.....

На погребеніе.

р. 566 — 467. Κονδακιον εἰς κοίμησιν, φέρον ἀκροστιχίδα. ἐπιτύμβιον μέλος τοῦ τρισαθλίου ἠχ. Δ.

ά. Δυνάμει θεϊκῇ σοῦ ὁ ἀναγαγὼν ἐκ πτώσεως φθορᾶς τὸν Ἀδὰμ πρὸς οὐρανοὺς, σῶσον τοὺς ἐν πίστει κεκοιμημένους καὶ ἀνάπαυσον ὡς φιλάνθρωπος.

β. Ἐννόησον φόβῳ, ψυχή μου, τὴν τοῦ θανάτου ἐπιφορὰν, ὅτι πάντων βροτῶν διαλύει ὡς χόρτον τὴν σύνθεσιν. Δεῦρο καὶ ἴδε τοὺς τεθνεῶτας, ἐν τάφῳ σεσηπότας, βορὰν σκωλήκων, καὶ δυσωδίας πέλοντας μεστούς. γνῶθι ἐν γνώσει τὴν ἔξοδον, καὶ τῆς κακίας ἀπόστηθι, κράζουσα πάντοτε ἐνὶ κλαυθμῷ. Σῶσον τοὺς ἐν πίστει κεκοιμημένους καὶ ἀνάπαυσον ὡς φιλάνθρωπος.

γ. Πεπλήρωμαι ἄλγους ὁ τάλας τῇ διαζεύξει τοῦ ἀδελφοῦ, καὶ θρηνῶ ἐμαυτὸν, ὅτι βλέπω φθαρέντα τὸν φίλτατον. στένω, μὴ ἔχων ἔνθεον ἔργον. οὐ τρόπον μετανοίας, παθῶν μεμεστωμένος πάσης καὶ ἡδονῆς. Οἴμοι, πῶσ τύχω ἀφέσεως; πῶς δὲ αἰτήσω ἀνάπαυσιν τῷ μεταστάντι; ἀλλ' ὅμως βοῶ. Σῶσον.....

δ. Ἱλέῳ σου ὄμματι ἴδε τῶν οἰκετῶν σου τὸν ὀδυρμὸν, καὶ παράσχου ἡμῖν ἀγαλλίασιν θεῖαν, δεόμεθα. σὺ γὰρ ὑπάρχεις τῶν θλιβομένων σωτήριος γαλήνη, ζωῆς δεσπόζων καὶ τοῦ θανάτου, ὕψιστε Θεέ. δέχου δακρύων τὴν ἔκχυσιν, δίδου τῷ πένθει παράκλησιν, νεῦσον δεήσεσι ταῖς παρ' ἡμῶν. Σῶσον......

ε. Τὸ πρόσταγμα ὃ ἐνετείλω τῷ πρωτοπλάστῳ ἐν τῇ Ἐδὲμ μὴ φυλάξας Ἀδὰμ, ἀντὶ δόξης κληροῦται τὸν θάνατον. Οἴμοι! γυμνοῦται τῇ ἁμαρτίᾳ, ἐκ κόπῳ τε καὶ μόχθῳ βιοῦν ἀκούσας, καὶ ὑποστρέφειν πάλιν εἰς τὴν γῆν. ἀλλὰ τῷ πάθει ζωοῦταί σου, καὶ τῇ ἐγέρσει σου σέσωσται. ὅθεν βοῶμεν ὡς ζωοποιῷ. Σῶσον....

ϛ. Ὑπέδειξεν ὄφις τῇ Εὔᾳ δολιοτρόπως βρῶσιν φθορᾶς. καὶ λαβοῦσα, εὐθὺς τῷ συζύγῳ προσφέρει τὸ δέλεαρ, οὗπερ γευσθέντες, ἔμαθον, ὅτι γυμνοὶ καὶ ἠσχυμμένοι εἰσὶ τῷ φθόνῳ τοῦ ἀρχεκάκου, στένοντες λυγρῶς. φεῦ! τῆσ ἐμῆς ἀθλιότητος! τούτων ἐμὴ γὰρ ἡ ἔκπτωσις, ὅθεν αἰτοῦμαι σε, Λόγε Θεοῦ. Σῶσον.....

ζ. Μετέδωκεν Εὔα τρωθεῖσα τὴν ἐκ τοῦ ξύλου πᾶσιν ἀράν. διὰ τοῦτο πληγαί. στεναγμοὶ καὶ ὀδύναι παρέπονται τοῖς ἀπογόνοις, κόποι καὶ λύπαι καὶ ἄωρος νεκρότης, ζωῆς φροντίδες καὶ πολυμόχθου σώματος ἱδρώς. Ὦ ἁμαρτίας κυήματα! ὢ παραβάσεως τραύματα! ὧν τὰ ἐπώδυνα ὁρῶν, βοῶ. Σῶσον....

η. Βλαστάνουσι βρέφη ὡς ῥόδα γαλακτορόοις τοῖς μητρικοῖς ὡς ἐκ κρήνης τερπνῆς. ἀρδευόμενα. σπλάγχνα τῆς φύσεως φέρονται κόλποις καὶ ἐν ἀγκάλαις τροφῶν καὶ γεννητόρων, μορφῆς καὶ ἤθους τὸν χαρακτῆρα ἔχοντα αὐτῶν. ὅθεν ποθούμενα ἔτυχον θανεῖν πολλάκις καὶ ἄωρα. γνῶμεν οὖν τὸ τέλος, καὶ κράξωμεν νῦν. Σῶσον....

θ. Ἱστόρησον, ἀνάγνωθι τε ὅτι καὶ βρέφη θνήσκοντα σαρκὶ ἁμαρτίας ἐκτὸς, καὶ αὐτὰ δειλιῶσι τὸ θάνατον. πτήσσουσι τοῦτον, ὥσπερ στρουθία ἱέρακος τὴν θήραν. καὶ πρὶν ἀρθῆς τῶν ἐνθένδε, σπεῦσον μυστικῶς λύτρον εὑρέσθαι τῶν πράξεων, καὶ γὰρ θανόντες ζησόμεθα πάλιν κραυγάζοντες τῷ Χριστῷ. Σῶσον.....

ι. Ὀδύρονται ἅπερ ἐν λύπαισ καὶ ἐν ὠδῖσιν ἔτεκον γονεῖς ἐν ἀκμῇ τῆς σαρκὸς τεθνηκότα ὁρῶντες τὰ νήπια. Οἴμοι, ὦ τέκνον. τί γέγονέ σοι αἴφνης;...... ἀλγῶ τὰ σπλάγχνα μοῦ καὶ μαιμάσσει ὄντως ὁ γαστὴρ, ἴδε μαστοὺς τῷ γαλάκτι..... οἴμοι! θανοῦμαι, βοῶσα σὺν σοι. Σῶσον.....

ια. Νεάζουσα κόρη θανοῦσα μεμνηστευμένη ἔδωκε μητρὶ ἐν τοῖς σπλάγχνοις τομὴν, καὶ θυγάτηρ ὡραία μονώτατον, ὦ καταδίκης τῆς τοῦ θανάτου! ἀναιρεῖ πᾶσαν φύσιν βροτῶν, μαραίνει καὶ ἡλικίαν ἅπασαν αὐτῶν. ὅθεν οἱ φύντες ἀλγύνονται, ἀλλ' εὐχαρίστως βοήσωσιν. ὁ δεδωκὼς ὠφελόμενος νῦν, Σῶσον....

ιβ. Μεμόνωται θῆλυ συμβίου διὰ θανάτου. ὢ χωρισμοῦ δι' οὗ χήρα ἐστὶν, ὀρφανὰ δὲ τὰ ταύτης κυήματα. ὃν ποτνιᾶται, κράζει θρηνοῦσα. Ὀστοῦν ἐκ τῶν ὀστῶν σου, καὶ σὰρξ ὑπάρχω ἐκ τῆς σαρκός σου. ὦ ἄνερ, ἐγὼ, σοῦ ἐκ πλευρᾶς ᾠκοδόμημαι. πῶς οὖν ἐκ ταύτη, διέζευξαι; ἴδε, ἀφῆκας βοῶσαν ἀεί. Σῶσον.....

ιγ. Ἐπείγεται πόθῳ τῷ τάφῳ τῇ προαιρέσει ὥσπερ τρυγὼν, συνταφῆναι ἀνδρὶ ἐν γυναίοις ἡ σώφρων καὶ φίλανδρος. Οἴμοι, βοῶσα, ὄντως ἐπέγνων ἐπίτριψιν καρδίας, μελῶν σπαράξεις καὶ διατρήσεις νεύρων καὶ σαρκὸς, τραῦμα ἐν τραύματι δέδεγμαι, βίου φροντίδα καὶ χήρευσιν, πότμου ὡς πρόξενος, ὅμως βοῶ. Σῶσον....

ιδ. Λαμπρότατον πῦρ μὴ ἀνήφθη τοῦ χωρισμοῦ σου ἐν τῇ ψυχῇ, μυελοὺς ἐμπιπρῶν καὶ ὀστέα ἐκτῆκον καὶ αἴσθησιν. σοῦ γὰρ τὸν τρόπον μιμνησκομένη, τὸ πνεῦμα μου ἐκλείπει, τὸ φῶς σκοποῦται τῶν ὀφθαλμῶν μου. οἴχεται ὁ νοῦς, ὅλη διόλου σπαράττομαι, ὅπερ ἐπέδωκα, εὕρηκα ὅθεν καὶ στένουσα ἀναβοῶ. Σῶσον.....

ιε. Οὐ δώσω μου ὄμμασιν ὕπνον, οὐδὲ βλεφάροις μου νυσταγμὸν, ἕως οὗ τὴν ᾠδὴν ἐκπληρώσω τοῦ πένθους τοῦ τέλους σου. Οἴμοι, βοῶσα, πῶς συνεζεύχθην, καὶ πάλιν διεζεύχθην τῆς σῆς ἀγάπης, ὦ ἄνερ! Θαῦμα φοβερόν! νῦν γὰρ ὁρῶσα τὸν σύμβιον ὑπὸ σκωλήκων ἀπόζοντα, οὕτως κραυγάζει Εὔας καρπός. Σῶσον.....

ιϛ. Σωσάτω σε Κύριος, ἄνερ, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, παράσχου σοι ζωὴν τὴν ἀνέκφραστον, δόξῃ ἐγείρας σε, φῶς σοι ἐκλάμψῃ τὸ τῶν δικαίων, καὶ ἐν τοῖς δεξιοῖς σε αὐτοῦ προβάτοις, ὡς γέγραπται, νῦν στήσῃ ἐν χαρᾷ. ταῦτα βοῆσαι, σωτήριον. τὸ δὲ λυπῆσαι, ἐφάμαρτον. Εὐχαριστήσωμεν ψάλλοντες Χριστῷ. Σῶσον....

ιζ. Τὸν σύγγονον βλέπων νῦν ἄπνουν διεφθαρμένον φύσει, θρηνῶ καὶ προσφέρω φωνὰς τῷ Χριστῷ, εὐχαρίστως δεόμενος, ὅπως σοι δώῃ λύτρον πταισμάτων καὶ μέρος ἐν ἁγίοις. ἰδοὺ τοῖς σπλάγχνοις γὰρ συγκινοῦμαι κλαῦσαι σε πιστῶς, ὥσπερ τὸν Λάζαρον Κύριος, μέτρα ἐμοὶ δοὺς, ἐδάκρυσε. πάυω τὸν θρῆνον καὶ κράζω λοιπόν. Σῶσον.

ιη. Ὁ φίλος μου, καὶ ὁ πλησίον ἐν τῷ μνημείῳ κεῖται νεκρὸς, ὁ ἡδύτατος πρὶν, ἀπωσμένος, δυσώδης, δυστέκμαρτος. Οἴμα ἀθλίῳ! Πῶς μοι προσῆξε τὸν θάνατον ἡ βρῶσις; τὸ τοῦ θανάτου (δεινὸν) καὶ ὄντως φοβερὸν (εστι). σπλάγχνοις προσψαῦσαι βιάζομαι, καὶ τῇ ὀσφρήσει ἐκτρέπομαι. τοῦτον ἀφίημι (νῦν) καὶ βοῶ. Σῶσον...

ιθ. κ. Ἀνάπαυσον τοὺς κοιμηθέντας ἐκ συμπτωμάτων καὶ ἐκ θηρῶν, ἐκ βροντῶν, κεραυνῶν, καὶ χαλάζης, μαχαίρας καὶ βρώσεως, πόσεως, μέθης, πείνης καὶ δίψης, θαλάττης ναυαγίων, χαρᾶς καὶ λύπης καὶ ἀσθενείας, θραύσεως ἐχθρῶν καὶ τοῖς ἐξ ἵππων λακτίσμασιν, ἢ κρημνισθέντας ἐν φρέασι. πάντας ἀνάπαυσον, Λόγε Θεοῦ, σῶσον τοὺς ἐν πίστει κεκοιμημένους, καὶ ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Въ недѣлю Сыропустная.

p. 271. 472. Ἕτερον Κονδάκιον εἰς τὴν παράβασιν τῶν νηστειῶν, καὶ περὶ ἐλεημοσύνης. ψάλλεται πρὸς τό. Ὁ ὑψωθεὶς.

α. Νῦν ὁ Καιρὸς τῶν ἀρετῶν ἐπεφάνη, καὶ ἐπὶ θύραις ὁ κριτής. Μὴ στυγνάσωμεν, ἀλλὰ δεῦτε, νηστεύοντες προσάξωμεν δάκρυα, κατάνυξιν, καὶ ἐλεημοσύνην, κράζοντες. Ἡμάρτομεν ὑπὲρ ψάμμον θαλάσσης. ἀλλ᾽ ἄνες πᾶσαν, πάντων ποιητὰ, ἵνα καὶ σχῶμεν τὸν. ἄφθαρτον στέφανον.....

β. Πρὸς τό. Τῇ γαλιλαίᾳ. Ἀνάστασιν μέντοι ποιεῖ, ἔγερσιν νεκρῶν, σάλπιγξ ἠχοῦσα δι ἀγγέλου. ὑμνοῦσι γὰρ νυν πάντες, καὶ ἀναμένουσι Χριστὸν, τὸν καλὸν νυμφίον, τὸν υἱὸν τὸν τοῦ Θεοῦ, τὸν ἄναρχον Θεὸν ἡμῶν. κραυγῆς δὲ γενομένης αἰφνίδιον, πάντες ἀπαντῶσιν, καὶ ἑτοίμους τὰς λαμπάδας οἱ ἔχοντες, ἐλεημοσύνην, εἰσερχονται εὐθὺς μετὰ τοῦ νυμφίου βασιλείαν οὐρανῶν κληρονομοῦντες, τότε γὰρ αὐτοῖς ἡ πίστις μετὰ τῶν ἔργων δώσει ἀξίως τὸν ἄφθαρτον.....

Въ Средокрестную недѣлю.

p. 472. 473. Πρὸς τό. Τὴν ὑπὲρ ἡμῶν. α. Χαίροις, ὁ σταυρὸς, τὸ κράτος τῶν βασιλέων. χαίροις, ἡ κρηπὶς καὶ δόξα τῶν ἱερέων. χαῖρε, νίκη καὶ στέφος τοῦ τοῦ χριστοῦ λαοῦ. τῶν μαρτύρων χαίροις τρόπαιον. τῶν ὁσίων χαίροις στήριγμα. τῶν ἐχθρῶν χαίροις κατάπτωσις. χαίροις σταυρὲ ζωοποιὲ, τοῦ κόσμου ἱλασμός.

β. Ὦ φρικτὸν ὅπλον Χριστοῦ τοῦ βασιλέως! δι οὗ κράτει θεϊκῷ ᾅδην καθεῖλεν, πᾶσαν ἀπενέκρωσεν τοῦ θανάτου τὴν δύναμιν, ὤλεσε τὸ βασίλειον, καὶ ἔσωσε πεσόντας ἡμᾶς, τῆς ἁμαρτίας δεινῆς ἐναπαμβλύνας κέντρον φθαρτικὸν, τρυφήματι θείῳ καρποῦ ζωώσας τοῦ σοῦ με, καὶ παραδείσῳ ἐγκατοικίζων, οὗ πρὶν ἀπώσθην φαγὼν τοῦ ξύλου, ἐξ οὗ μοι πονηρίας τε καὶ τῶν καλῶν ἐπίγνωσις. οὗ πρὶν ἀπεκδυσάμενος τῆς ἡδονῆς γλυκάσματι τῆς ἀφθαρσίας στολὴν, ἠμφιέσθην τὴν φθορὰν ὑποστρέψας εἰς γῆν. διὰ τοῦτο ὡς ἐν σοὶ πλουτήσας τὴν ζωὴν, ἀγαλλόμενος βοῶ. χαίροις, σταυρὲ ζωοποιὲ, τοῦ κόσμου ὁ σωτήρ....

Въ Субботу Лазареву.

p. 473. 475. Τῷ σαββάτῳ τῶν βαΐων Κονδάκιον εἰς δίκαιον Λάζαρον. ἦχ. β. **Кондакъ и первый икосъ есть и въ Аѳонскомъ Кондакаріи. Тамъ 2-й икосъ начинается:** Ἦλθε Χριστὸς ἐπὶ τὸ μνημεῖον...... **котораго нѣтъ въ Кондакаріи изданномъ Г. Питрою.**

Недостающіе въ Аѳонскомъ слѣдующіе:

γ. Ὅλοι συνδράμωμεν μετὰ πόθου ἕως βηθανίας τοῦ ἰδέσθαι ἐκεῖ Χριστὸν τὸν φίλον δακρύοντα. θέλων γὰρ πάντα νομοθετῆσαι, πάντα πράττει. τῇ φύσει διπλοῦς ὑπάρχων, πάσχει μὲν οὖν, ὡς υἱὸς τοῦ Δαυὶδ. ὡς υἱὸς δὲ Θεοῦ, τὸν κόσμον πάντα λυτροῦται ἀπὸ πάσης κακίας τοῦ ὄφεως, καὶ τεταρταῖον τὸν Λάζαρον ἀνιστᾷ, οἰκτειρήσας ὡς εὔσπλαγχνος, Μαρίας τε καὶ Μάρθας τὰ δάκρυα, ὁ πάσιν.....

д҃. Ὑπὸ τῆς πίστεως αἱ γυναῖκες συνερχόμεναι ἅμα, τῷ Χριστῷ καὶ Θεῷ προκαταγγέλλουσι θάνατον συγγονου τοῦ ἰδίου λέγουσαι. Σπεῦσον φθάσον ὁ ἀεὶ παρὼν ἐν πᾶσιν. Λάζαρος γὰρ ὃν φιλεῖς, ἀσθενεῖ. ἐὰν οὖν ἐπιστῇς, ὁ θάνατοσ δραπετεύει, και ὁ φίλος φθορᾶς λυτρωθήσεται, οἱ δὲ Ἑβραῖοι θεάσονται ὅτι σὺ καὶ οἰκτείρεις τὰ δάκρυα; ὁ πᾶσιν...

є҃. Τὸν ὀδυρμὸν Μαρίας καὶ Μάρθας ἐπιστὰς ὁ δεσπότης μεταβάλλει εὐθὺς, ἐγείρας αὐτῶν τὸν σύγγονον, ὡσ οὖν ἰδέσθαι θαῦμα θαυμάτων, πῶς ὁ ἄπνους ἐξαίφνης ἔμπνους ὡρᾶτο. τῆς γὰρ φωνῆσ κατελθούσης εἰς τοῦ ᾅδου, συνέσεισεν τὰ κλεῖθρα πύλασ τε ἅμα καὶ μοχλοὺς τοὺς τοῦ ᾅδου συνέτριψεν, τὸν δὲ νεκρὸν ἐξανέστησεν τεταρταῖον, οἰκτείρας ὡς εὔσπλαγχνοσ Μαρίας τε καὶ Μάρθας τὰ δάκρυα, ὁ πᾶσιν......

ѕ҃. Ὁ οὐρανὸν καὶ γῆν στερεώσας, ἥλιον καὶ σελήνην καὶ ἀστέρων πληθὺν, μετὰ βροτῶν συναυλίζεται, πάντας διδάσκων τε καὶ φωτίζων, καὶ παράδοξα τούτοις θαυματουργῶντε ἦλθε καὶ νῦν Βηθανίαν εἰς κώμην τοῦ σῶσαι αὐτοὺς καὶ δεῖξαι τέρατα θεῖα. καὶ ἐγεῖραι τὸν φίλον τὸν Λάζαρον, τὰ πάντα θέλων καὶ πράττων αὐτὸς τῇ βουλῇ τῇ ἀχράντῳ δυνάμει τε, ὁ πᾶσιν.....

з҃. Γῆς τὰ θεμέλια ἐσαλεύθη, καὶ τοῦ ᾅδου τὰ κλεῖθρα καὶ θανάτου ἰσχὺς καὶ διαβόλου τὸ φρύαγμα, ὅτε ἐφώνησε τεταρταῖον, ἐκ τῶν καταχθονίων τοῦτον καλέσας. εἶδον αὐτὸν Ἀβραὰμ καὶ πάντεσ ἀπ' αἰῶνος νεκροὶ, θαρροῦντεσ ὅτι ἐγγίζει ἡ χαρὰ, ἡ ζωὴ, καὶ ἀνάστασις. ὡσ ἠγέρθη ὁ δεδεμένοσ χερσὶν, οὕτως καὶ ἀναστήσει τε ἅπαντασ, ὁ πᾶσιν....

и҃. Ὕλην ῥευστὴν μισήσωμεν πάντες καὶ Χριστῷ τῷ σωτῆρι ὑπαντήσωμεν νῦν εἰς τὴν Βηθανίαν σπεύδοντι, ὅπως αὐτῷ συνεστιαθῶμεν σὺν τῷ φίλῳ Λαζάρῳ καὶ ἀποστόλοισ, καὶ ταῖς αὐτῶν ἱκεσίαις ῥυσθῶμεν τῶν πρώην κακῶν, τοῦ νοῦ δὲ πᾶσαν κηλῖδα καθαρθέντεσ, ἀμέμπτως ὀψώμεθα αὐτοῦ τὴν θείαν ἀνάστασιν, ἣν παρέσχεν ἡμῖν, ἀφελόμενος τοῦ Ἀδὰμ τε καὶ Εὔας τὰ δάκρυα, ὁ πᾶσι παρέχων θείαν ἄφεσιν.

Во святый и Великій Понедѣльникъ въ Аѳонскомъ Конд. и Конд. и 1-й икосъ есть; недостающій слѣдующій:

р. 478. г҃. Ἴδωμεν πόθεν οὗτος ἐξέφυεν, τίνες δὲ οἱ γεννήτορες πέλουσιν. Ἰακὼβ καὶ Ῥαχὴλ τοῦτον ἔτεκον, καὶ ἡ μήτηρ τὸν βίον ἀπέλειπεν, ὁ δὲ πατὴρ αὐτὸς ὡραΐζετο ἐν τῷ νέῳ παιδίῳ παγκάλῳ ὄντι, καὶ αὐτὸν ἠγκαλίζετο πάντοτε. ἀλλ' ἐχόμενος οὗτος λαβεῖν ἐκ Θεοῦ στέφος ἄφθαρτον.

Во святую и Великую среду Кондак. и 1-й икосъ есть во Аѳонскомъ Кондакаріи. Недостающіе слѣдующіе:

р. 479. 480. г҃. Ὡς εἶδε τὸν ἐκ τῆς ἁγνῆς ἀμνὸν ἐληλυθότα, καὶ πανταχοῦ ζητοῦντα τοὺς ἀποπλανηθέντας, ἡ συνετὴ κἂν πάνσεμνος λογισμοὺς ἐκείνη καὶ τὸ χρέος τῶν κακῶν αὐτῆς ζυγῷ ἐστάθμιζεν, οὕτως, ὡς οἶμαι, λέγουσα ἡσυχῇ. Δί ἐμὲ ἐπέστη ὁ νύμφιος. καὶ οὐ θέλω, οὐ βούλομαι κακῶν ἀποστῆναι. δι ἐμὲ πανταχοῦ νῦν περιπολεύει, δι ἐμὲ και συνδειπνεῖ τῷ φαρισαίῳ. δράμω οὖν ἐκεῖ, βοῶσα μετὰ δακρύων. ἐκ τοῦ βορβόρου...

д҃. Δίκην ὀσμῆς μύρου ψιχῶν ἐκ τῆς Χριστοῦ τραπέζης ἡ πόρνη ὀσφρανθεῖσα, τὰ μύρα τὰ ἀρχαῖα καὶ τῶν τριχῶν τὰ πλέγματα ἐγκαταλιποῦσα, τῷ Χριστῷ λυσίκομος προσέρχεται, κραυγάζουσα παρὰ τὴν Χαναναίαν μειζότερον. ψίχας ἐκζητοῦσα, αὐτὴ ἄρτου μεταλάβω πεινήσασα τῆς δικαιοσύνης, πολὺ καὶ χορτασθῶ. (ἔλεγε γὰρ οὕτως), οὐ κραυγῇ, ἀλλὰ σιγῇ, δικαιωθεῖσα, ὅτι ἐν κλαυθμῷ ἱκετεύει τὸν δεσπότην. ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Во святый и векикій Четвертокъ въ Аѳонскомъ Кондакаріи Кондакъ и 1-й икосъ есть, а 2-го икоса, по счету Г. Питрою, 3, нѣтъ; за то въ Кондакаріи, изданномъ Г. Питрою нѣтъ 2-го и 3-го икосовъ, какіе есть въ Аѳонскомъ.

Недостающіе въ Аѳонскомъ слѣдующіе: р. 480. г҃. Ὁ ἀγαθὸς καὶ μόνος οἰκτίρμων προγινώσκων τὰ πάντα, ἑαυτὸν ὡς ἀμνὸν τοῖς ἀποστόλοις προέθηκεν. Λάβετε, φάγετε, τό μου σῶμα, καὶ τοῦ αἵματος πίετε, καὶ γάρ ἐστιν κόσμου παντὸς καθαρτήριον καὶ ἱλαστήριον. ὁ τοῦτο καθαρᾷ γνώμῃ ἀπολαβὼν οὐχ ὄψεται θάνατον, ἀλλ' εἰς αἰῶνας ζήσεται. Ὁ προδοὺς με δὲ κλαύσει καὶ κόψεται ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Въ тотъ же день другаго Автора Кондакъ съ Икосомъ изъ Кондакарія, изданнаго Г. Питрою.

р. 481. а҃. Πρὸ τοῦ πάθους, δέσποτα, τοῖς μαθηταῖς σου συνδειπνήσας, ἔνιψας μετριοφρόνως, ἀγαθὲ, ὑποδεικνύων τοῖς φίλοις σου, ὁ κατὰ φύσιν ὑπάρχων ἀθάνατος.

в҃. Ὁ τῶν ἁπάντων ποιητὴν μετὰ τῶν ποιημάτων, ἡ ἄφραστος σοφία μετὰ τῶν ἀγραμμάτων συνήσθιε, τρέφων ἀεὶ πᾶσαν οἰκουμένην, καὶ οὐ μόνον εἰς αὐτὸ ἠρκέσθη ὁ φιλάνθρωπος. ἀλλὰ μετὰ τὸ δεῖπνον ἐξαναστὰς, καὶ τὴν διπλοΐδα τεθεικὼς, καὶ τῷ λεντίῳ ζωσάμενος, ὁ φῶς ὡς χιτῶνα περιβαλλόμενος, ὁ καὶ περιβάλλων ταῖς νεφέλαις οὐρανὸν ὡς ἱματίῳ, κλίνει κεφαλὴν καὶ νίπτει πόδας πηλίνους, ὁ κατὰ φύσιν ὑπάρχων ἀθάνατος.

Въ святую и великую Субботу.

р. 487 — 400. Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Κονδ. ἦχ. α. προς τό. ὅταν ἔλθῃς ὁ θεος.

α. Ἐν σινδόνι καθαρᾷ καὶ ἀρώμασι θείοις, τὸ σῶμά σου τὸ ἅγιον, ἐξαιτήσας Ἰωσὴφ τὸν Πιλᾶτον, σμυρνίζει καὶ τάφῳ κατατίθεται τῷ ἑαυτοῦ ὁ πανοαοίδιμος. ὅθεν ὄρθριαι αἱ μυροφόροι γυναῖκες ἀνεβόων σοι. Δεῖξον ἡμῖν, ὡς προεῖπας, Χριστέ, τὴν ἀνάστασιν.

β´. Ὁ οὐρανὸς, μὴ σκυθρώπαζε, καὶ οἱ ἄγγελοι, σὺν ἀνθρώποις καὶ κτίσμασι, τὸν ποιητὸν καὶ Θεὸν ἡμῶν τάφῳ κεκλεισμένον καθορῶντες, ὡς ἄνθρωπον. δι ἡμᾶς γὰρ ὑπέμεινε τὰ ὀνείδη καὶ ἐμπαίγματα, χθὲς καθηλούμενος τῷ σταυρῷ, καὶ ῥαπίσματα. ἐξ ἀκανθῶν δὲ τὴν θείαν αὐτοῦ ἐστεφανωμένος, ὄξος πέπωκε διψήσας. σὺν χολῇ, καὶ ἐκεντήθη. δεῦτε οὖν, θρηνοῦντες σὺν ταῖς μυροφόροις, αὐτῷ πιστῶς βοήσωμεν. Ἡμῖν δεῖξον, δέσποτα, ὡς ἔφη καὶ ἅπασι, Χριστέ, τὴν ἀνάστασιν.

γ. Ψάλλων Δαυὶδ προυπέφηνε τὴν κατάπαυσιν, Ἰησοῦ μου, τοῦ πάθους σου. Ἄρατε πύλας, οἱ ἄρχοντες, λέγων, καὶ αἱ πύλαι αἰώνιοι, ἐπάρθητε. οἱ μοχλοὶ, καταθλάσθητε. ὁ τῆς δόξης γὰρ Κύριος ἐπεισελεύσεται ἐν τῷ ᾅδῃ, ὡς ἄνθρωπος, καὶ ἀναστήσει τοὺς ἀπ᾿ αἰώνων θανόντας παραβάσει, τὸν Ἀδὰμ μετὰ Εὔας, καὶ ἁγίων τὰς χορείας, πάντας τοὺς πρὸ Νῶε καὶ μετὰ τὸν Νῶε. καὶ ἕως νῦν ἐκλάμψαντας. μεθ᾿ ὧν ἐξαιτοῦμέν σε, ἡμῖν καὶ ἀνάδειξον, (ὡς ἔφης, καὶ ἅπασι) Χριστέ, τὴν ἀνάστασιν.

δ. Ἄλλον Θεὸν μὴ νομίσωμεν, ἀνεβόησε τοῖς ἐν ᾅδῃ ὁ πρόδρομος, ὑπὲρ ἡμῶν σταυρούμενον εἰ μὴ ὃν οἱ πλάνοι ἰουδαῖοι ἐνόμισαν ὡς νεκρὸν, καὶ κατέκλεισαν, καὶ τὸν λίθον σφραγίσαντες ὑπανεχώρησαν καταστήσαντες φύλακας. Ἀλλὰ θαρσεῖτε καὶ μὴ φοβεῖσθε, πρωτότοκος γὰρ πέλει ἐν νεκροῖς, ὥσπερ προέφη ὁ αὐτὸς πρὸ τοῦ θανάτου. Ἄσωμεν δὲ ᾆσμα, χαίροντες οἱ πάντες, αὐτῷ καὶ ἀνακράξωμεν. Ταχὺ προκατάλαβε, καὶ δεῖξον τοῖς δούλοις σου, Χριστὲ, τὴν ἀνάστασιν.

ε. Λόγε Θεοῦ ὁμοούσιε καὶ συνάναρχε τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ὃ πρὸ αἰώνων προώρισας πάθος, ἐπ᾿ ἐσχάτων ἡμερῶν ἐτελείωσας, καταπαύσας ἀπ᾿ ἔργων σου, ὡς Μωσῆς προηγόρευσε πάλαι ὁ δικαιος, εὐλογεῖν σε τὴν σήμερον. τῶν γὰρ κτισμάτων τότε ἐπλήρους ἐν ταύτῃ τῇ ἑβδόμῃ τὰς λαμπρὰς μεγαλουργίας, καὶ νυν πάλιν ἀξιώσεις τῆς ζωοποιοῦ σου ταύτης, ἧς προέθου, ἁγίας ἀναστάσεως, ἣν πάντας ἀξίωσον θεάσασθαι αὔριον, Χριστὲ πολυέλεε.

ς. Μεγαλοφώνως ἐκήρυττεν Ὠσηέ ποτε ὁ προφήτης τὴν ἔγερσιν λέγων. (ποῦ κέντρον σου, θάνατε; ποῦ σου, ᾅδη, νῖκος;) Κατεπόθη ὁ θάνατος, καὶ ὁ ᾅδης νενέκρωται. Καὶ ἡμεῖς νῦν βοήσωμεν πάντες καὶ εἴπωμεν. ποῦ λοιπόν σου, ὦ θάνατε, τὸ νῖκος πέλει; ποῦ ἡ παμφάγος καὶ ἄπληστος γαστήρ σου; ἰδοὺ αὔριον ἐμέσεις οὓς κατέχεις ἀπ᾿ αἰώνων. ποῦ δέ σου τὸ κέντρον, ᾅδη δεδεμένε; ὁμου, φησὶ, πεπάτησθε, οὐκ ἔχοντες δύναμιν. ἡμῖν χαρίζεται Χριστὸς τὴν ἀνάστασιν.

ζ. Ὃν ἐν τάφῳ κατέκλεισαν οἱ παράνομοι Ἰουδαῖοι, σφραγίσαντες τὸν λίθον, ὡς μὴ πιστεύσαντες πάλιν ἐγηγέρθαι, καθὼς εἶπεν, τριήμερον, καὶ ὀφθῆναι τοῖς ἕνδεκα ἀποστόλοις καὶ ἅπασι τοῖς μαθηταῖς αὐτοῦ, τοῦτον ἦλθοσαν σήμερον αἱ μυροφόροι ὄρθριαι κόραι θεάσασθαι θρηνοῦσαι, καὶ ἀλεῖψαι μετὰ μύρων Ἰησοῦν τὸν βασιλέα. εἶδον δε ἀγγέλου θέαν ἐκβοῶσαν αὐταῖς. Μὴ καταπλήττεσθε, ὦ γύναια ἅγια, ταχὺ γὰρ θεάσασθε Χριστοῦ τὴν ἀνάστασιν.

η. Σύμβολα νίκης ἀράμεναι τὴν ἀπόφασιν τοῦ ἀγγέλου, ὑπέστρεψαν αἱ μυροφόροι γηθόμεναι, καὶ τοῖς ἀποστόλοις ἅπερ εἴδοσαν, ἔφησαν. ὅθεν πίστει σιγήσαντες οἱ ἀμφότεροι ηὔξαντο λέγοντες. Κύριε, δεῖξον τάχος τὴν ἔγερσιν, καὶ σκορπισθήτωσαν οἱ ἐχθροί σου πάντες εἰς τὰ ὀπίσω. ὁ Ἀδὰμ δε καὶ ἡ Εὔα σὺν ἡμῖν ἐπευφρανθῶσι, τάγματα δικαίων πάντων καὶ ἀγγέλων, ὧν ταῖς εὐχαῖς, φιλάνθρωπε, καὶ νῦν ἡμᾶς λύτρωσαι παθῶν ἵνα ἴδωμεν, Χριστὲ, τὴν ἀνάστασιν.

Втораго творца Кондакъ съ 3-мя икосами въ св. Великую Субботу въ Аѳонскомъ есть.

На преполовеніе праздника Пятдесятницы въ Аѳонскомъ Кондакаріи также есть.

Св. Никейскимъ 318. Отцамъ въ Аѳонскомъ уцѣлѣло болѣе икосовъ, чѣмъ въ Кондак. изданномъ Г. Питрою.

По счету Г. Питры 1-го здѣсь нѣтъ р. 498. γ. Σὺ δὲ ὁ ὕψιστος Θεὸς ὁ γεννηθεὶς ἐκ παρθένου ὁ μόνος βασιλεύων καὶ τῶν ἄνω καὶ τῶν κάτω, ταῖς αὐτῆς πρεσβείαις ἀεὶ παρέχων τὴν χάριν ἐν τῷ ποιμένι, τοῦ ἀκάκως. νέμειν τὰ πρόβατα, ῥῦσαι τὸν λαόν σου πάσης ἀνάγκης. δὸς τοῖς βασιλεῦσι νίκην καὶ εἰρήνην πολλὴν ἐπὶ ταῖς δυναστείαις σου λύτρωσαι, δέσποτα, τας ἐκκλησίας ὃν προενόμευσαν καὶ κατεπάτησαν ἀκάθαρτοι πόδες καὶ ἄνδρες αἱμάτων, μὴ ἠλπικότες εἰς ὄνομά σου. τῶν δούλων σου τὰ αἵματα ἐκζήτησον, καὶ ἐκδίκησον τῆς εὐσεβείας τὸ μέγα μυστήριον.

На Воздвиженіе честнаго Креста недостающіе икосы:

p. 511 — 514. **ιβ.** Ἡ δὲ μεγάλη βασιλὶς καὶ μήτηρ τοῦ μεγάλου ἐκείνου βασιλέως, ἡ πάνσεμνος Ἑλένη, ἡ ἐστεμμένη τὸν Χριστὸν, ἔχουσα τὸν ζῆλον τὸν αὐτὸν τῷ βασιλεῖ, ἠπείγετο θεάσασθαι τὰ ἐν Ἱεροσολύμοις θαυμάσια. ἔνθα γενομένη, καὶ τὸ σέβας ὅπερ ἔσχεν πρὸς τὸν Θεὸν ἐπιδεικνυμένη, ἠπείγετο σπουδῇ εὑρεῖν βουλομένη τὸν σταυρὸν ὡς θησαυρὸν. τῇ οἰκουμένῃ ἄγνωστος δὲ ἦν ὁ τόπος ἐν ᾧ ὑπῆρχε τὸ κεκρυμμένον ἀήττητον τρόπαιον.

ιγ. Νενικημένην δὲ αὐτῆς τῷ πόθῳ καὶ σπευδούσης τὸ ἄνωθεν φανέντα καὶ κάτωθεν ἐκλάμψαι, ἀλλὰ μὴ κρύπτεσθαι εἰς γῆν, ὄψις ὀνειράτων καὶ σημεῖα θαυμαστὰ τὸν τόπον ἐφανέρωσαν. καὶ τις τῶν Ἑβραίων τῇ ἐνθέῳ βασιλίδι παρέστησε σπεύσας καὶ μηνύσας. εὐθέως ἡ πιστὴ, ὡς ἔμαθε ταῦτα, ἐπορεύθη παραυτὰ κατὰ τὸν τόπον. ἐμφάνισον, ἢ ἢ δός μοι χάριν, ἵν' εὕρω, λάβω, συνέχω, ἀήττητον τρόπαιον.

ιδ. Ὑπὲρ κοινῆς Χριστιανῶν συστάσεως μοχθῆσαι κελεύει ἡ ὁσία, τὸν τόπον καθαρθῆναι, καὶ τοῦτο πράττεσθαι σπουδῇ. τῶν δὲ καθαιρόντων τὴν προθυμίαν ἡ γῆ, ὡς οἶμαι, προελάμβανεν, ὅτι ἀνακαλύψαι ἠπείγετο πᾶσιν αὐτομάτως, ὃν ἐζήτουν μαργαρίτην, καθ' ὃν οὐδὲν τίμιον ἐν κόσμῳ. ἀρθείσης οὖν λοιπὸν τῆς ὕλης ἐκ μέσου, τὸ μὲν μνῆμα τῆς ζωῆς ἀνεκαλύφθη. τόπος δὲ ἐγγὺς ἐνθέως ὠρόθη, ἔχων τὸ κεκρυμμένον ἀήττητον τρόπαιον.

ιε. Ψιλὸν δὲ ὅμως οὐδὲ ἓν ὑπῆρχε διακρῖναι, τριῶν ὄντων, καὶ γνῶναι ποῖός ἐστιν ἐκ τούτων τοῦ ἀθανάτου ὁ σταυρὸς. πῶς οὖν; καὶ πρὸ τούτων ὁράματα ἀφανῆ τὴν συνετὴν ὡδήγησεν. ὕλον, φησὶ ἐκεῖνο ζωῆς ἐστιν, ὅπερ ἀναστῆσαι τὸν ἀνίατα νοσοῦντα δυνήσεται καὶ τὸν τεθνεῶτα. θερμαίνεται αὐτῆς εὐθέως τὸ πνεῦμα, καὶ τὸ θαῦμα μεταξὺ τρέχει δικάζον. τίθενται οἱ τρεῖς, σκοπεῖται καὶ φανεροῦται τοῖς προσκυνοῦσιν ἀήττητον τρόπαιον.

ιϛ. Ὡς οὖν προσήγαγον αὐτοὺς ἐσχάτως ἀσθενοῦντι καὶ ἄλλῳ τεθνεῶτι, καὶ ἤγειρε τοὺς δύο τοῦ ζωοδότου ὁ σταυρὸς, τότε ἐν μεγάλῃ τῇ χαρᾷ ἡ βασιλὶς αὐτὸν μὲν προσεκύνησεν, Θεῷ δὲ ηὐχαρίστει καὶ ἔκραξεν. ὑπὲρ χιλιάδας ἀργυρίου καὶ χρυσίου τὸν θησαυρὸν τοῦτον ἐκτησάμην. Μεγάλως ἡ σοφὴ, καὶ σφόδρα μεγάλως, ἀληθῶς καὶ ἀσφαλῶς τούτῳ καυχᾶσθω. φέρει γὰρ αὐτὴ αἰώνιον τοῦτο μνῆμα ἡ προσκυνοῦσα ἀήττητον τρόπαιον.

ιζ. Συνευφραινέσθωσαν ἡμῖν, ἐν τῇ ἑορτῇ ταύτῃ, προφῆται θεοφόροι, καὶ ὅσοι τῶν δικαίων πρὸ τοῦ σταυροῦ εἶδον σταυρόν. Πρῶτος ῥάβδον ἔχων ἐν τῇ χειρὶ ὁ Μωσῆς ἔλεγεν. Τὰ παράδοξα ἔδειξα ἐν Αἰγύπτῳ τεράστια, θάλασσαν διεῖλον ἐρυθρὰν εἰς διαιρέσεις, καὶ πέτραν δὲ ἔθηκα εἰς λίμνας. τὰ ὕδατα Μερρᾶς ἐγλύκανα ξύλῳ, καὶ προεῖπον τὴν ζωὴν ξύλῳ κρεμᾶσθαι. ὅμως δὲ κἀγὼ εἰς θίβην βληθεὶς ἐσώθην, ὅπερ ἡγοῦμαι ἀήττητον τρόπαιον.

ιη. Ἱερεμίας ὁ ἀεὶ ὀξὺς τῇ παῤῥησίᾳ, ἡδὺς τῇ παρακλήσει, πολὺς τῇ προφητείᾳ, περὶ Χριστοῦ ἀναφωνεῖ, πρόσωπον εἰσάγων τῶν σταυρωσάντων αὐτὸν, καὶ λέγων. Δεῦτε, ἄγωμεν, καὶ εἰς τὸν ἄρτον ξύλον ἐμβάλωμεν. Πάντες οἱ προφῆται καὶ ὁ Νῶε μετὰ τούτων ὁ δίκαιος ξύλῳ σεσωμένος, ὑμνοῦσι σὺν ἡμῖν σταυρὸν τὸν δεινόν σου, δι' οὗ γίνεται ἡμῖν δικαιοσύνη. Δώρησαι, σωτὴρ, δεόμεθα, διὰ τούτου τοῖς βασιλεῦσιν ἀήττητον τρόπαιον.

ιθ. Νέοι Ἀζώτιοι ἡμᾶς ἐκύκλωσαν, καὶ ἦραν τὴν θείαν κιβωτόν σου καὶ πόλιν τὴν ἁγίαν. ἀλλ' οὐ παρεῖδες, ὁ Θεός. ἔγνωσαν καὶ οὗτοι ὅτι σὺ εἶ μεθ' ἡμῶν, ἡ πεῖρα γὰρ διδάσκαλος. ἔγνωσαν καὶ θρηνοῦντες ἐβόησαν. πέπτωκεν ἐπ ἐδάφους. ὁ Δαγὼν, καὶ συνετρίβη. Ανύψωσας κέρας ἐκλεκτῶν σου. Μωσέως ἐπὶ σὲ πετάσαντος χεῖρας, κατεβλήθη Ἀμαλὴκ ῥάβδῳ Μωσέως. ἔδωκαν ἡμῖν πιστῶν βασιλέων νίκας, πλῆθος εἰρήνης, ἀήττητον τρόπαιον.

Въ недѣлю по Рождествѣ Христовѣ.

p. 514. 515. Κυριακῇ μετὰ τὰ χριστούγεννα εἰς τοὺς κατὰ σάρκα συγγενεῖς τοῦ Χριστοῦ Δαυὶδ, Ἰωσὴφ καὶ Ἰακὼβ. ἦχ. πλ῀β αὐτόμελον.

α. Ὁ πρὸ ἑωσφόρου ἐκ Πατρὸς ἀμήτωρ γεννηθεὶς, ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ. ὅθεν ἀστὴρ εὐαγγελίζεται Μάγοις, ἄγγελοι δὲ μετὰ ποιμένων ὑμνοῦσι τὸν ἄχραντον τόκον σου, ἡ κεχαριτωμένη.

β. Τὸν ἀγεώργητον βότρυν βλαστήσασα ἡ ἄμπελος, ὡς ἐπὶ κλάδων. ἀγκάλαις ἐβάσταζεν καὶ ἔλεγεν. Σὺ καρπός μου, σὺ ζωή μου, ἀφ' οὗπερ ἔγνων ὅτι καὶ ὃ ἤμην εἰμί. Σύ μου Θεὸς, τὴν σφραγῖδα τῆς παρθενειας μου ὁρῶσα ἀκατάλυτον. κηρύττω σε ἄτροπον Λόγον σάρκα γενόμενον. Οὐκ οἶδα σπορὰν, οἶδά με λυτὴν τῆς φθορᾶς. ἁγνὴ γὰρ εἰμι, σοῦ προελθόντος ἐξ ἐμοῦ. ὡς γὰρ εὗρες, ἔλιπες μήτραν ἐμὴν, φυλάξας σῶαν αὐτήν. διὰ τοῦτο συγχορεύει πᾶσα κτίσις βοῶσα μοι. Ἡ κεχαριτωμένη.

γ. Οὐκ ἀθετῶ σου τὴν χάριν ἧς ἔσχον πεῖραν, δέσποτα. οὐκ ἀμαυρῶ τὴν ἀξίαν ἧς ἔτυχον τεκοῦσά σε. τοῦ γὰρ κόσμου βασιλεύω. ἐπειδὴ κράτος τὸ σου ἐβάστασα γαστρὶ, πάντων κρατῶ. ἀνενέωσας τὴν πτωχείαν μου, τῇ συγκαταβάσει σου σαυτὸν ἐταπείνωσας, καὶ τὸ γένος ὕψωσας. εὐφράνθητέ μοι ἅμα ἡ γῆ καὶ οὐρανοί, ὅτι ποιητὴν ὑμῶν βαστάζω ἐν γαστρί. Γηγενεῖς, ἀπόθεσθε τὰ λυπηρὰ, θεώμενοι τὴν χαρὰν, ἣν ἐβλάστησα ἐκ κόλπων ἀμιάντων, καὶ ἤκουσα ἡ κεχαριτωμένη.

ι̅. Ὑμνολογούσης δὲ τότε Μαρίας ὃν ἐγέννησεν, κολακευούσης δὲ βρέφος ὃ μόνον ἀπεκύησεν, ἤκουσεν ἡ ἐν ὀδύναις τεκοῦσα τέκνα καὶ γηθομένη τῷ Ἀδὰμ Εὔα βοᾷ. Τίς ἐν τοῖς ὠσί μου νῦν ἤχησεν ἐκεῖνο ὃ ἤλπιζον. παρθένον μὲν τίκτουσαν τῆς κατάρας τὴν λύτρωσιν; ἧς μόνη φωνὴ ἔλυσέν με τῶν δυσχερῶν καὶ ταύτης γονὴ ἔδησεν τὸν τρώσαντά με. αὐτὴ ἣν προέγραψεν ὁ τοῦ Ἀμώς. ἡ ῥάβδος τοῦ Ἰεσσαί, ἡ βλαστήσασά μοι κλάδον, οὗ φαγοῦσα ἀνθήσομαι, ἡ κεχαριτωμένη.

На Успеніе Божіей Матери.

p. 516—527. Ἕτερον Κονδάκιον τῆς κοιμήσεως ἦχ. δ̅. φέρον ἀκροστιχίδα. Τοῦ ἁμαρτωλοῦ τὸ ποίημα.

α̅. Ἀφ οὗ μετέστης τῶν ἐκ γῆς, πλέον ἐπέστης τοῖς ἐν γῇ, ἄχραντε Θεοτόκε. μέρος γὰρ εἶχέ σε κόσμου, ζώσης σου σαρκί. πλέον δὲ κόσμος ἄρτι ἔχει σε καταφυγὴν τὴν ἐν μητράσι πάρθενον.

β̅. Ὡς πολυτίμητον θησαύρισμα ζωῆς, καὶ μετὰ κο(ίμησιν) ἐν ζῶσί σε, ἁγνή, μακαρίζομεν, οἱ πεποιθότες (ἐπὶ σοί), θεοτόκε. ἣν γὰρ ὁ Λόγος οἰκήσας καθηγίασεν, ἔδ(ωκε τῷ) κόσμῳ σωτηρίαν, τὴν ἐν μητράσι παρθένον.

γ̅. Τίμιος ἐναντίον σου γέγονεν ὁ θάνατος τῆς ἀσπόρως τεκούσης σε, Χριστὲ ὁ Θεός, ὑπὸ ἀγγέλων εὐφημουμένη, ὑπὸ ἀποστόλων κηδευομένη. αὐτὸς γάρ, ἀγαθέ, ἐμφανῶς ἐδόξασας τὴν ἐν μητράσι παρθένον.

δ̅. Τῇ Μαριὰμ ἄγγελος ἄλλως ἐπέστη πάλιν, οὐκ εἰς πόλιν Ναζαρέτ, ὥσπερ τὸ πρώην, ἀλλ' ἔνθα τὰ ἴδια ἐκέκτητο ὁ Ζεβεδαίου. σαφῶς γὰρ τὸ κατ' ἐκεῖνον σύγγραμμα δείκνυσιν ὅτι ὁ Λόγος, (ὃς) σὰρξ ὑπάρχει, ὅτε τὸ πάθος ὑπεμεινεν ἑκουσίως, ἰδὼν ἐκεῖ τὴν μητέρα ἑστῶσαν πρὸς τὸ ξύλον, καὶ τὸν μαθητὴν ὃν ἠγάπα πλησίον, τῇ τεκούσῃ μέν. Ὦ γύναι, ἰδ(ού), φησίν, ὁ υἱός σου. τῷ μαθητῇ δὲ καὶ φίλῳ εἶπεν. Ἰδοὺ ἡ μήτηρ σου. δεῖξον εἰς αὐτὴν τὰ πρὸς γονέα, οἰκείτω παρὰ σοί, θεοτόκος σὺν θεογόγω, ἀνδρὶ παρθένῳ ἡ ἐν μητράσι πάρθενος.

ε̅. Ὁ δὲ σταλεὶς ἄγγελος τότε ἐλθὼν τὸ τάχος, καὶ εἰς δόμον εἰσελθὼν τοῦ Ἰωάννου, εὑρίσκει τὴν ἄμωμον τὰ σύντροφα ἔργα τελοῦσαν, φωναῖς ᾆσμα, καὶ χερσὶν ὑφάσματα. πρόσωπον βλέπει μεθύον τῇ ἐγκρατείᾳ, ἄσαρκον βίον ἐν σώματι καὶ γεώδει τρανῶς ἀπηκριβωμένον. φησὶν οὖν τῇ παγκάλῳ. Ὦ γύναι σεμνή, οὐκ ἐκ τύχης, οὐ μάτην ἐπελέχθης ἐκ μυρίων πρὸς τὸ τεκεῖν σου τὸν πλάστην. ἀλλὰ τοῖς ἔργοις μηνύεις τὸ ἀσφαλὲς τῆς κρίσεως, οἷα περὶ σὲ βλέπειν ὑπάρχει. ὅθεν, (ὦ) Μαριάμ, σέβας ἔχει εἰς σὲ ὁρῶντα, ἐκπλήττομαι σε, ἡ ἐν μ. π.

ς̅. (Ὑ)πὸ διττοῦ φόβου κρατοῦμαι νυνί, παρθένε, καί μοι διχόνο(ια) ὑπέστη εἰκότως. εἰ γάρ σε τεθνήξεσθαι, τοιαύτην ὑπάρ(χου)σαν, εἴπω, θαυμάζω εἰ μὴ ψευδὲς λαλήσαιμι. φόβος (δὲ ἄλλος) ἀνθέλκει με πρὸς τὸν λόγον, ἂν γὰρ ἀπέλθω τὸ (τάγμα οὐ)κ ἐκτελέσας, διὸ ἐστάλην ἐνθάδε, τὸν πέμψαντα λυπήσω. ἀνάγκη οὖν οὖν (τὸ) σφοδρότερον ὥσ(περ) σπουδαιοτερόν με κρῖναι τῆς περὶ σὲ εὐλαβείας. τὸ γὰρ μὴ εἴκειν τοῦ πλάστου ἁπανταχοῦ τοῖς νεύμασι, λίαν χαλεπὸν φύσεσι πάσαις. ἄκουσον (οὖν) εὐθὺς ἅπερ φάναι σοι ἐκελεύσθην. καὶ πάντα σύνες, ἡ ἐν μητράσι παρθένος.

ζ̅. Ἀναληφθεὶς ἤδη, ὡς οἶσθα, Χριστὸς γεόθεν, ἄνω κάθηται. νῦν καὶ εἰς τοὺς αἰῶνας, γενέτου ἐν δεξιᾷ. αὐτὸς πρὸ τοῦ θρόνου με στῆναι κελεύσας, τοιούτοις λόγοις ἔφησεν. Ἄπιθι κάτω, καὶ φάνηθι τῇ παρθένῳ, ἣσ προειλόμην υἱὸς εἶναι (ἑκουσίωσ), καὶ λέξον τῇ ἀμιάντῳ. Ὁ πάλαι ἐνδημήσας πρὸς σὲ βουληθείς, ἐκδημῆσαι σε θέλει πρὸς αὐτόν, ἵνα (σκεπάζῃς εἰς τὸ) λοιπὸν τοὺς τοιούτους. ταύτην γὰρ ἐπαγγε(λίας τοῖς μα)θηταῖς παρέσχετο. ὅταν ὑψωθῶ, λέγων, ἑλ(κύσω αὐτοὺσ) πρὸς ἐμαυτόν, ἵνα βλέπωσι τὴν χαράν μου (ταῖς ἱκεσίαις) τῆς ἐν μητράσι παρθένου.

η̅. Μετ' οὐ πολλὰς ταύτας ἡμέρας, παγκοσμία, τὸ πέρας ὄψ(ει πάντων τῶν μου) πρὸς σὲ λόγων, οὐ νόσοσ δι(αφθερεῖ ζωήν), οὐ λύπη, οὐκ ὀδύνη. ἀλλ' ὥσπερ πᾶσι, (καὶ σοὶ ἡ κοίμησις) τοῦτό σοι ἔσται τοῦ τέλους ἡ παρουσία, (αὕτη ἡ παῦσις τῶν) θλίψεων τῶν ἀπείρων. ἡ πεῖρα ὁ(φοβωτάτη ἐσχάτων) ἀθλημάτων. ἐκρίθης μοιχὰς ἐκ (συκοφαντῶν φθόνου), ὡς ὁ νόμος Μωυσέως βούλεται ἀπο(κτείνειν σε. τόπος) οὐκ ἦν σοι τεκούσῃ. ποῦ τὸ παιδί(ον δὲ πόρρω βαστάζεις ευ)θὺς φόβῳ Ἡρώδου; ἀλλά μοι οὐκ (ἂν ἔξεστιν εἰπεῖν) ἡγουμένῳ τὰσ σὰσ βασάνουσ τῆς ἐν μητράσι παρθένου.

θ̅. Ἀνελλιπῶς ἤδη τὸ ἔργον τετέλεσταί μ(οι, διὸ ἐγὼ πρὸς) σε νῦν ἐξαπεστάλην. ἀλλ' ἄρτι μὲν ὅ(πειμι κατοικεῖν εἰς) ὅλους αἰῶνας, μεθ' ὅλων τῶν συναγγέλων. (ἵσταται Μα)ρία, τὴν φρένα χαρᾶς πλησθεῖσα, (τὰσ χεῖρας αἴρει εἰς ὕ)ψος, καὶ λέγει οὕτως. οὐκ οἶδα, Δέσποτα, πόσ(οις σε ὕμνοις δοξάζειν καὶ) ἐπαίνοις, οὐκ ἔχω εἰπεῖν ἐπαξίως τῶν δώρων ὧν παρέσχες μοι τῇ δούλῃ ὑπὲρ τοὺς ὅλουσ ἀνθρώπους. τί σοι, σωτήρ μου, προσάξω; τί σου θαυμασω πρότερον; τί τὸ μεταξύ; τί τελευταῖον; ἐξ ὅλων μοι ἀρκεῖ, ὅτι σου τοῦ ποιήσαντος με ὑπάρχω μήτηρ, ἡ ἐν μητράσι παρθένος.

ι΄. Ῥήμασιν οὖν ὅτε τοιούτοις Χριστὸν αἰνοῦσα ἔληξε τῶν τῆς εὐχῆς, ἡ αγιωτάτη εὐθὺς μεταπέμπεται τοὺς φίλους καὶ τοὺς ἐν τῷ γένει, πιστοὺς ὄντας, καὶ φησὶ πρὸς ἅπαντας. Ἄνδρες, γυναῖκεσ, ἐν γάμῳ καὶ παρθενίᾳ, γέροντες, νέοι, θεράποντες τοῦ ὑιοῦ μου, ἀκούσατε (τῶν μου λόγων), καὶ γνῶτε τίνος χάριν νυνὶ ὑπ' ἐμοῦ με (ταπέμπεσθε) ὧδε. τὸ γὰρ πέρας ἐφεστήκει τῆς ἐν βίῳ (παρουσίας καὶ) δι' ἀγγέλου ἐπέγνων τότε καὶ πῶς ἐκβήσομαι (ἀπὸ τῆς) σκηνῆς, ἥν νῦν ὁρᾶτε. ὡς φίλοισ οὖν ὑμῖν (τὰ ἀγγέλ)ου ὡσ διαθήκασ ἐκφαίνω ἄρτι ἡ ἐν μητράσι Παρθένοσ......

ια΄. (Ταύτασ οὖν οὐ πολλ)ὰς ἡμέρας, ἐνέδωκέ μοι ἐν τῷ σκήνει (τούτῳ μου ἔτι ἐμ)μεῖναι. αὐτοὶ δὲ προσμείνατε, καὶ πεῖ(ραν λόγων πάντων) γνῶτε, αὐτόπται καὶ ὑπηρέται γίν(εσθε, εἴπατε ἃ ἔφη) χριστὸσ περὶ τὴν μητέρα. Ὅταν δὲ λίπω (ὑμᾶς, σὺν ὑμῖν ὑπ)άρχω, μηδείς με ἄγαν πενθήσῃ, (μηδεὶς ὑμῶν λυπή)σῃ. ὁ θάνατοσ γὰρ τῶν ὁσίων Κυρίου (τίμιον τι ἐναντί)ον τῶν ἐπιγείων ὁρᾶται, ἀλλ' ἐν ψαλ(μοῖσ καὶ ὕμνοις) ἀγαλλιῶντεσ πνεύματι, στείλατε σεμνῶς (εὐχὰσ ἐξόδου ὡσ φίλ)οις τοῖσ ὑμῶν, καὶ τῷ ἔθει τῆσ ἐκ(κλησίασ κηδεύ)σατέ με, τὴν ἐν μητράσι Παρθένον.

ιβ΄. (Ὦ μου ὑιοῦ σύμβ)ουλοι φίλοι, ἐγὼ μὲν ἔγνων ὅτι αἱ γενε(αὶ πᾶσαι μα)καρίαν ἀεί με λογίσονται. ὑπνώσατε (ἐπιθαρροῦντες ἐλ)πίδι τῆσ ἀθανάτου χάριτοσ. σπεύσα(τε πάντεσ ἐμ)οὶ ἐπακολουθῆσαι. Γένοσ γινώσκω, τοὺς τρόπουσ μοι συνημμένους. ἐι φύσει μοι κοινωνεῖτε, συνάφθητε καὶ πράξει. κἀγὼ γὰρ σαφῶσ ἐκ τέκνου μαθοῦσα, τῶν αὐτῶ ὑπακουόντων τὴν ἀγχιστείαν ἐροῦμαι. ἐὰν Τοιοῦτοι φανῆτε οἷος αὐτὸς βεβοῦληται, τότε ἀδελφοὺσ ὄψομα πάντασ, ὅταν ἐξ οὐρανοῦ ἔλθῃ κρῖναι τὴν οἰκουμένην. Τοιαῦτα ἔφη ἡ ἐν μητράσι Παρθένοσ.

ιγ΄. Λέγουσαν δὲ ταῦτα ὁρῶντες οἱ συνηγμένοι, ἅπαντες κατηφεῖσ καὶ δακρυρροοῦντεσ αὐτότι ἐκάθηντο. καὶ δὴ μεταξὺ Ἰωάννης, ὁ μέγασ ἐν ἀποστόλοις, ἔρχεται. θάμβους δὲ πλήρησ ὑπῆρχε, κατανοήσασ τοὺς ἠθροισμένους, καὶ ἤρετο τὴν αἰτίαν. Μαρία δὲ πρὸς ἐκεῖνον. Μηδὲν ταράττου, ἔφη. διδάχθητι δὲ καὶ αὐτὸσ μετὰ τούτων, ὅτι τάχιστα μεταίρω ἐκ τῆσ πηλίνησ οἰκείασ, διὰ τοῦτο οὓσ βλέπεις, πρὸσ ἑαυτὴν συνήγαγον. τρέχε δὲ καὶ σὺ πρὸσ τοὺσ ἑτέρουσ, καὶ δεῦρο σὺν αὐτοῖσ, ὅπωσ πάντεσ ἀποδημοῦσαν ἀσπάσησθέ με, τὴν ἐν μητράσι Παρθένον.

ιδ΄. Ὁ δὲ πολὺς ἐν θελόγοις ἀκούσας ταῦτα, τύπτει στῆθος ταῖς χερσί, λέγει δακρύων. προβλέπων σε, ἄχραντε, τὸν σὸν ὑιὸν βλέπειν ἐδόκουν, καὶ λύπην μοι διαστὰς οὐ λέλοιπεν. ἂν δὲ ἀπέλθῃς καὶ σύ με ἐγκαταλείπῃς, τῇ κεφαλῇ μου τίς δώσει πηγὰς δακρύων; διδάσκοντα γὰρ οὐκέτι τὰ δέοντά με ἕξω. οὐκέτι σὺν σοὶ αὐλιζόμενοσ χαίρω, οὐ παράδειγμα τοιοῦτον καλλιεργίας εὑρήσω. Τί μοι ἀπάρτι βιῶσαι; ποῦ τό. Ἰδοὺ ἡ μήτηρ σου; Δείλαιοσ ἐγὼ χρόνον τὸν ὅλον ἔσομαι τῆς ζωῆς, καὶ ὁ φθόνος γελάσει με χαίρων, ἀφίστασαί μοι ἡ ἐν μητράσι Παρθένος.

ιε΄. Ὑπὸ σφοδρᾶς τῆς ἀθυμίας ἐιπεῖν τοιαῦτα βιασθεὶς ὁ θεολόγος τῇ Μαρίᾳ, μηνύσων ἀπέρχεται τὴν κοίμησιν ταύτην τοῖς ἄλλοις, ὡς ἂν τάχος πρὸς αὐτὸν συνδράμοιεν. καὶ ἐισελάσας εἰς δόμον τὸν Ἰακώβου, ὅς καὶ ἐκυβέρνα ὁσίως τὴν ἐκκλησίαν τῆς πόλεως τῆς ἁγίας, δηλοῖ διὸ ἀπῆλθεν. Ὁ δὲ παρευθὺ μεταστέλλεται Πέτρον καὶ τοὺσ ἄλλους ἀποστόλους, ὅσοι αὐτόθι κατῴκουν. Δεῦτε, τιμήσωμεν, λέγων, θείασ δοχεῖον φύσεως, καὶ τὴν ἐκ πολλῶν ἀπειρογάμως τεκεῖν τὸν πρὸ αὐτῆς γεννηθέντα ἐξειλεγμένην. Ἀξία δόξης ἡ ἐν μητράσι Παρθένος!

ιϛ΄. Τῶν δὲ ῥητῶν τοῦ Ἰακώβου ἀκούσας Πέτρος, λέγει τῷ ἱερεῖ καὶ συναποστόλῳ. καλῶς, ἀδελφόθεε, ἀεί τε καὶ νῦν ἐκδιδάσκεις, γενέσθω ἅπερ ὀρθῶς διέγνωκας. Ἔρχονται πάντες σπουδαίως πρὸς τὴν Μαρίαν, οὓς ἡ Παρθένος πρεπόντως ἀσπασαμένη, προτρέψασα δὲ καθίσαι. Ἠκούσθη πάντων, ἔφη, τὸ δόξαν Θεῷ ἐις ἐμὲ γενηθῆναι. τῷ ὑιῷ γὰρ ἐγὼ εἶπον τῷ τῆς βροντῆς, ἵνα εἴπῃ. κἀμοὶ ἐφόδια δότε, ἃ καὶ ποθῶ καὶ ἔχετε εὔξασθε μητρὶ τοῦ διδασκάλου, τοῦ διδάξαντος ὑμᾶς, ἁλιεῖς τῶν τῆς γῆς, ἰχθύων. καὶ σώζεσθέ μοι, τῇ ἐν μητράσι Παρθένῳ.

ιζ΄. Ὁ δὲ σοφὸς τῶν ἀποστόλων χορὸς αὐτίκα λέγει πρὸς τὴν Μαριάμ. Παρθενομῆτορ, ἡμῶν ὑπερεύχεσθαι τὴν σὴν ψυχὴν δέον, καθότι ἐις ἄκρον ἔδραμεσ τελειότητος, καὶ τῆς παρ' ἄλλων οὐ δεῖσαι λοιπὸν ἐννοίας. Τότε Μαρία, βλεπόντων τῶν ἠθροισμένων, μνημείῳ παρακειμένῳ τὸ δέμας ἀνακλίνει. ἐκτείνασα δὲ καὶ τοὺσ πόδασ εὐθέως, ἐπ' ἀλλήλαις τῇ κοιλίᾳ χεῖρας τιθεῖ τὰσ ὁσίας, ἄνω τὰ ὄμματα πέμπει, μετὰ σιγῆς προσεύχεται. δίδωσι ψυχὴν τῷ δεδωκότι, χειρὸς δὲ μηδαμῶς ἀψαμένης, καλύπτει βλέμμα, καὶ πτύσσει στόμα, ἡ ἐν μητράσι Παρθένος.

ιη΄. Πρὸ τοῦ δὲ τὴν πάναγνον σάρκα δοθῆναι τύμβῳ, οἱ ἑβραίων ἱερεῖς καὶ φαρισαῖοι, μαθόντες τὰ δρώμενα, ὀτρύνουσι τὴν νεολαίαν ἐκ θύρυβον, ἐκ μανίας λέγοντες. Σπεύσατε, παῖδεσ, ὑβρίζεται (γὰρ) ὁ νόμος. τάφος τὸ σῶμα μὴ δέξηται τῆς Μαρίας. τὸν πλάνον γὰρ ἐκ πορνείας συνέλαβεν ἐκεῖνον. καὶ φαῦλοι αὐτοῦ μαθηταὶ μηχανῶνται ἀπειράνδρου τῇ βεβήλῳ περιποιεῖν ὑπολήψεις. Μὴ οὖν ἡμῶν ἀμελούντων κατ' (αὐτῶν) γνώμην πράξωσι. λύσατε αὐτῶν τὴν συμμορίαν. θανοῦνται καὶ αὐτοί, πρὶν (ἢ) δείξουσι κόσμον ὅλον τιμᾶν μοιχάδα τὴν ἐν μητράσι Παρθένον.

ιθ. Ὁ δὲ θρασὺς καὶ στασιώδης ἀκούσας ὄχλος μετὰ ξύλων καὶ ξιφῶν τρέχει καὶ λιθων. ὁρῶσι δὲ πόρρω(θεν) ἀγοραίαν ἤδη τὴν κλίνην, ἐν ᾗ σῶμα τὸ σεμνὸν κατέκειτο. Εἷς δὲ τοῦ πλήθους, (τοὺς) ὅλους θυμῷ νικήσας, ὅλων προθέει, καὶ ἅπτεται τοῦ φορείου, μικροῦ δὲ ἔμελλε τοῦτο εἰς χθόνα περιτρέπειν ἐὰν μὴ Χριστὸς τὴν ἀκόλαστον τόλμαν παραδόξως τῇ κολάσει ἔσβεσε τοῦ νεανίου. τὰς ἀψαμένας γὰρ χεῖρας τοῦ καλλιφάρου σκίμποδος τέμνει παρευθὺ ἀπὸ τῶν ἄκρων. φόβος δὲ τοὺς λοιποὺς τῆς ἀτόπου ὁρμῆσ ἐπέσχε, τιμῶν δικαίως τὴν ἐν μητράσι Παρθένον.

κ. Ἰδὼν Χριστοῦ πεῖραν, καὶ ὄψει μαθὼν τὸ κράτος, ὁ χειρῶν διατεμνόμενος (τὰ ἄκρα), καὶ πένθει τρυχόμενος εἰς γῆν πρὸ ποδῶν τῶν ὁσίων κατέρριπτε μαθητῶν, καὶ ἔλεγεν. Ἥμαρτον, δοῦλοι δεσπότου ὑπεραγάθου, ἔγνων τὸ πταῖσμα. ὑμεῖς ἐλεήσατε με. Ὁ Πέτρος δὲ πρὸς ἐκεῖνον. ἐὰν πιστεύῃς, ἔφη, τῷ ταύτης υἱῷ καὶ ἡμῶν διδασκάλῳ, τῶν μελῶν σου τὴν ὑγείαν (ὡς) δεῖγμα πίστεως ὄψει. Τότε βοήσας ἐκεῖνος ἔφη. Πιστεύω, Κύριε, ὅτι του Θεοῦ τῶν Ἰουδαίων υἱος ο Ἰησοῦς, καὶ δὶ ἄκραν φιλανθρωπίαν. υἱὸς ὑπάρχει τῆς ἐν μητράσι Παρθένου.

κα. Ἦν οὖν ὁρᾶν θαῦμα μεγίστου μεῖζον, συνημμένον. καὶ γὰρ τοῖς κλινοφοροῦσι ταφῆναι προσέταξε, καὶ λέγει ὁ Πέτρος τῷ νεῷ. Ἐλθὼν δίδου ἀποδείξεισ πίστεως, ἅψαι τοῖς ἄκροις, οἷς ἔχεις, ὧν ἀφηρέθησ. ἅπερ. ὡσ βλέπεις, ἐκκρέμανται τοῦ δεμνίου, καθάπερ ἥλοις ὀξέσιν αὐτόθι πεπαρμένα. Ὁ δὲ παρευθὺ τὸ ἐπίταγμα Πέτρου ἐπὶ πάντων ἐκτελέσας, ὅπερ ἐζήτησεν, εὗρεν. ἦν οὖν ὡσ ἦν πρὸ τοῦ πάθους, μᾶλλον δὲ ὑγιέστερος. ῥώννυται καὶ γὰρ σῶμα καὶ πνεῦμα, τὸ φώτισμα λαβὼν, κράζων τε ἀκλονήτῳ πίστει. (Ὦ) Θεοῦ μήτηρ, ἡ ἐν μητράσι Παρθένοσ.

κβ. Μνήματι δὲ δόντες τὸ σῶμα τὸ θεοδόχον, οἱ προπέμψαντες ἀνέστρεφον εἰς οἴκους. ὁ μέντοι Ἰάκωβος τοῖς ἄλλοις ὁμοῦ ἀποστόλοις εἰς δόμον τὸν Ἰωάννου ἔρχεται, ἄρτου ἐκεῖσε γευσάμενος μετ᾽ ἐκείνων ἔνθα ὁρῶσι κ..θήμενον ἐν τῷ μέσῳ Χριστὸν, καὶ οὕτως εἰπόντα. Τὴν σάρκα τῆς Παρθένου, ἐξ ἧς ἀληθῶς θέλων σαρξ ἐγενόμην, ἐξαιρέτως, ἐπαξίως βούλομαι δώροις τιμῆσαι. εἰ γὰρ Μωσέως (προσώπου) τὸ ἀφανὲς τετίμηται, καὶ ἡ κιβωτὸς τῆς διαθήκης, πῶς ἔστιν ὁ ναὸς πρόχειρος ὁ ἐκείνων μείζων; Ἄδηλος ἔστω τῆς ἐν μητράσι Παρθένου.

κγ. Ἅπερ ὑμῖν ἄρτι κελεύω, γενέσθω δῆλα καὶ τοῖς ἄλλοις μεθ᾽ ὧν σῶμα τὸ Μαρίας καλῶς ἐκηδεύσατε, ὡς ἂν διδαχθῶσι κἀκεῖνοι, καὶ ἄλλους ταῦτα σαφῶς διδάξωσι. λόγοις τοιούτοις συνῆψε Χριστὸς τὸ ἔργον. Καί που Μαρίας οὐκ ἔστι τῆς θεοτόκου ὀστοῦν ἢ σάρκα ἰδέσθαι, κενὸν δὲ καὶ τὸ σῆμα ὁρᾶται ἐν ᾧ ἡ σεπτὴ κατετέθη, ὡς δηλοῦσιν οἱ τὸν τόπον ἱστορηκότεσ ἐκεῖνον. Ἀλλ᾽ εἰ καὶ κόσμου μετέστης, ὅλος σε κόσμος κέκτηται, ἄρδην πανταχοῦ ἐπιφθιτῶσαν, καὶ τόπος νῦν οὐδεὶς σῆς ἀμέτοχος προσρασίας, (ἡ) πιστῶν δόξα, ἡ ἐν μητράσι Παρθένος.

2-го Іюля на положеніе одежды св. Богородицы и 31-го на Августа на положеніе честнаго пояса Богородицы Кондакъ и икосы тѣже, что и въ Аѳонскомъ Кондакаріи.

Утѣшительный Кондакъ съ икосами Больнымъ.

p. 532 — 535. Κονδάκιον παρακλητικὸν τῆς παναγίας θεοτόκου, ψαλλόμενον εἰς νοσοῦντας, φέρον ἀκροστιχίδα. Τοῦ ελεεινοῦ, ἦχ. **β.** πρὸς τό. Τὴν ἐν πρεσβείαις.

Ἡ ἐν ἀνάγκαις σωσίψυχος κυβερνῆτις, καὶ ἐν κινδύνοις ἀκαταίσχυντος προστάτις, μόνη μητρόθεε καὶ ἀμόλυντε, τῇ προσευχῇ μου νεῦσον ὀδυνηρῶς βοῶντί σοι. Τὴν λύπην τῆς ψυχῆς μου διασκέδασον.

β. Τί δοθείη, καὶ τί προστεθείη ἐν τῷ μέλλειν αἰτεῖσθαι ἐν καρδίας κλαυθμῷ τὴν λύσιν τῶν πταισμάτων μου; ψυχὴν γὰρ ἠχρειώσα πλημμελείαις, καὶ τὴν σάρκα ἐμόλυνα ἁμαρτίαις, τὰ πονηρὰ ὡς οὐδεὶς γηγενῶν πεπραχὼς ὁ θρασὺς, ὅθεν στενάζων κραυγάζω. Θεοτόκε ἁγνή. μὴ παρίδῃς με, ἀλλὰ τοῦ σῶσαι με τάχυνον, καὶ πολλῶν ἀπαλλάττουσα ἁμαρτιῶν, τὴν λύπην τῆς ψυχῆς μου διασκέδασον.

γ. Ὄρος Θεοῦ τὸ τετυρωμένον τῇ παμφαεῖ ἁγνείᾳ, ὡς κηρύττει Δαυὶδ, καὶ μήτηρ τοῦ Κυρίου μου, ἐλέησον, οἴκτειρον, ἴασαί με, καὶ ἐκ πάσης ἀνάγκης ἀπάλλαξόν με. σὲ γὰρ θερμὴν προστασίαν εἰδὼς ὁ ταλαίπωρος, ἐγώ σου ἐπιδέομαι, ὅπως διὰ σοῦ ἱλασμοῦ τεύξομαι. Νεῦσον, ἁγνή, τῇ δεήσει μου, καὶ χαρᾶς ἐμπιπλῶσα με τῆς παρὰ σοῦ τὴν λύπην.....

δ. Ὕψωσόν τε τὸν ταπεινωθέντα, ἡ τὴν φύσιν πεσοῦσαν τῷ δελέατι πρὶν τοῦ ξύλου ἀνορθώσασα. τερπνῆς γὰρ ἐστέρημαι ἐργασίας, ἀρετῶν δὲ γεγύμνωμαι καὶ τοῦ πλούτου, ὁμοιωθεὶς τῷ ἀσώτῳ υἱῷ δὶ ἔνδειαν φρενῶν. σὺ οὖν μοι δώρησαι χάριν, φωτισμὸν, ἱλασμὸν, ἀγαλλίασιν, ἔπιδε κάκωσιν δούλου σου, καὶ ἀεὶ λυτρουμένη με πειρασμῶν, τὴν λύπην........

ε. Ἔγειρόν με τὸν καταπεσόντα, ἡ τὴν Εὔαν πεσοῦσαν τῆς γεύσεως ἀρᾷ σαφῶς ζωοποιήσασα. βυθῷ γὰρ συνέχομαι ἁμαρτίας, καὶ πελάγει τιτρώσκομαι ἀσελγείας, ὑπεραρθεὶς τῇ κακίᾳ, ὡς πρὶν ὁ Σοδόμων λαός. σὲ γὰρ ἐπίσταμαι μόνην κραταιὰν πρὸς Θεὸν ἀντιλήπτριαν, δέχου, ἁγνή, τὰς δεήσεις μου, καὶ ἀεὶ τὴν λύπην.....

ε. Λάμπρυνόν με τὸν ἐσκοτισμένον, ἡ τὸν ζόφον τῆς πλάνης ἐκδιώξασα πρὶν τῇ θεϊκῇ κυήσει σου. φωτὸς γὰρ ἀπέσβεσα ἐλλάμψεις, μὴ ὑφάνας χιτῶνα κατορθωμάτων, ὅλος αἰσχρὸς, ἀειδὴς ζοφερὸς καὶ δυσώδης ὀφθεὶς ἐκ παραλόγου ῥοπῆς μου καὶ αἰσχρᾶς ἀληθῶς παροινίας μου. ἴδε τὴν θλίψιν μου, δέσποινα, καὶ σαρκός μου καθαιροῦσα τὰς ἡδονας, τὴν λύπην.....

ϛ. Ἔκτεινόν, μοι χεῖρα βοηθείας, ἡ τὰ ἔθνη ἐκ ζάλης τοῦ δολίου ἐχθροῦ εἰς τέλος διασώζουσα. παθῶν γὰρ βυθίζομαι τρικυμίαις, ἡδονῶν δὲ ταράττομαι καταιγίδι. δίδου ἰσχὺν ἀποδρᾶσαι ἐχθροῦ τὰς βεβήλους πάγας, ἐκ τῶν ἀρκύων με τούτου λυτρουμένη ἀεὶ ταῖς πρεσβείας σου. ἴδε τὴν κάκωσιν, δέσποινα, καὶ ταχὺ κατευνάσασα τοὺς πειρασμοὺς, τὴν λύπην...

η. Εὔφρανόν με τὸν λελυπημένον, ἡ τῷ κόσμῳ τὴν θείαν παρασχοῦσα χαρὰν, ἐχθροὶ γάρ μὲ ἐκθλίβουσιν, ἐκ γλώσσης δολίας, ἁγνή, με ῥῦσαι, καὶ ἐκ συκοφαντίας ἀφάρπασόν με. ἐν συστροφῇ πονηρευομένων μὴ ἐάσῃς θανεῖν, ἆρόν με ψεύδους ἐκ λάκκου καὶ καταλαλιᾶς, ταῖς πρεσβείαις σου, δέχου ἱκέτου παράκλησιν, τὴν λύπην....

θ. Ἴθυνόν μου νοῦν καὶ τοὺς τρόπους, ἡ τὸν Λόγον ἀσπόρως τετοκυῖα Χριστὸν ἀνθρώπων εἰς τὴν θέωσιν, κατεύθυνον τὰ διαβήματά μου καὶ κυβέρνησον ἔμπροσθεν τὴν ζωήν μου. ἐκ φυλακῆς, αἰκισμῶν καὶ δεσμῶν, ἀπειλῆς καὶ ὀργῆς τάχιον ῥῦσαί με, ὅπως ἐγκαυχῶμαι ἐν σοὶ τῇ προστάτῃ μου παῦσον καρδίας τὸν τάραχον, καὶ χαρᾶς ἐμπιπλῶσά με τῆς παρὰ σοῦ, τὴν λύπην...,..

ι. Νέκρωσόν μου τῆς σαρκὸς τὰ πάθη, ἡ τὸν ὄφιν διόλου πολεμοῦντα ἡμᾶς δυνάμει θανατώσασα. ἐν ὥρα εὐχῆς μου εἰσάκουσόν μου, καὶ ἐν ἡμέρα ἀνάγκης βοήθησόν μοι, ἀπὸ ἀνδρὸς πονηροῦ, σκολιοῦ ρυομένη ἀεὶ, πάντοτε τεῖχος γενοῦ μοι. ἐν καιρῷ πειρασμοῦ προστατεύουσα, σοῦ γὰρ τῇ σκέπῃ κατέφυγον, καὶ θαρρῶν τῇ δυνάμει σου ἀναβοῶ. τὴν λύπην......

ια. Ὄμβρισόν μοι ὑγείας τὴν δρόσον, ἡ πληροῦσα τὰ πάντα τοῦ ἀστέκτου φωτὸς καὶ δόξης τῆς ἀμείνω σου, ὅτι ἠσθένησεν ἡ ἰσχύς μου καὶ προσώζεσαν μώλωπες τῆς ψυχῆς μου, τοῦ ἀσθενοῦς καὶ ἀεὶ ἐμπαθοῦς μὴ παρίδῃς φωνὰς, δεῦρο ἐξ ὕψους φοιτῶσα, τὴν πολλὴν συνοχήν μου ἐλάφρυνον, στάξον μοι ἔλαιον, καὶ ζωὴν δωρουμένη μοι τὴν παρὰ σοῦ, τὴν λυπην....

ιβ. Ὑγιῆ με τὸν νοσοῦντα δεῖξον, τῇ οἰκείᾳ παλάμῃ παροχέουσα νῦν τα ῥεῖθρα τὰ τῶν ἰασέων, ἐκ κλίνησ ὀδύνης ἀνάστησόν με καὶ σθενοῦσα τὰς βάσεις μου καὶ τὰ σφυρὰ, κατὰ ψυχὴν εὐρωστεῖν με ἀεὶ καταξίωσον, μόνη γὰρ πέλεις ἀκέστωρ τῶν ψυχῆς ὀδυνῶν καὶ τοῦ σώματος, δέχου οἰκέτου παράκλησιν ἐκτενῶς ἀνακραζοντος μετὰ κλαυθμοῦ, τὴν λύπην........

Другой утѣшительный Кондакъ съ икосами къ Богородицѣ. Кондакъ и 1-й икосъ есть въ Аѳонскомъ Кондакаріи см. въ моемъ изданномъ Кондакаріи стр. 152.

Недостающіе: р. 536. 537. γ. Ὄμμασιν εὐσπλαγχνίας, πανάσπιλε, καθορῶσα τῶν σῶν προσφύγων καὶ δούλων τὴν εἰς ἄκρον καταπόνησιν, πᾶσιν ἐν δεινοτάτοις συμπτώμασι συσχεθέντας καὶ θλίψεσι καὶ ἀνάγκαις, μὴ παρίδῃς, ἀλλ' ἐλέησον τοὺς ταπεινωθέντας ἡμᾶς, ταῖς ἱκεσίαις σου, δέσποινα, πρὸς τὸν Κύριον. ὅσα θέλεις γὰρ δύνασαι. ἐλέησον ἡμᾶς, ἐλέησον, δεόμεθα, εὐθηνίαν ὡς βρύουσα σπλάγχνων τοὺς ἐξαιτουμένους τὴν σὴν θερμὴν ἀντίληψιν, καὶ καλοῦντας ἐν ἀνάγκῃ παρεῖναί σου τὴν βοήθειαν τοῖς ὧς κράζουσι. Τάχυνον......

δ. Ὕψος ταπεινωθέντων, ἀνόρθωσις τῶν πιπτόντων, παράκλησις τῶν ἐν λύπαις, καὶ χαμνόντων ἐξανάστασις, κράτυνόν σου τῆς θείας πρὸς τὸν υἱὸν παῤῥησίας τὸ μῆκος, τῆς ἱκεσίας ἧς τὸ κράτος πανευπρόσδεκτον. μὴ ἀποσκεπάσῃς ἡμᾶς τῆς προστασίας σου, ἄρχαντε καὶ πανάγαθε, καλυφθέντας ἐν πταίσμασιν, ἐξ ὧνπερ γραφικῶς εἰκότως συνεχόμενοι, ἁρμοδίους καρποὺς φθοροποιοὺς φέρομεν, αἰτοῦντες, ἁγνή, τὴν εὐσπλαγχνίαν σου λυτρωθῆναι τῆς παρούσης κακώσεως. καὶ προσπίπτομεν ἱκετεύοντες. Τάχυνον......

ε. Πᾶσι τοῖς ἐν ἀνάγκαις καὶ πᾶσι τοῖς ἐν κινδύνοις ἡ ἀκαταίσχυντος ἐλπὶς σὺ ὑπάρχεις, θεονύμφευτε, σὺ πτωχῶν εὐθυμία, ἁμαρτωλῶν σωτηρία, ἀνάῤῥυσις αἰχμαλώτων, ἀστατούντων συνακτήριον. σὺ τῶν χριστιανῶν πρὸς Θεὸν μόνη ἡ πεποίθησις. σὺ πιστῶν καταφύγιον καὶ πτωχῶν ἱλαστήριον. ἀλλ' ἔπιδε καὶ νῦν, πανύμνητε δεόμεθα, τοὺς ἐν θλίψει παρόντας, κραταιὰ, καὶ μὴ ἐπιλάθῃ ἡμῶν τῆς ταπεινώσεως, ὅτι ἄλλην προστασίαν οὐκ οἴδαμεν, εἰ μὴ σε, καὶ σοὶ ἀνακράζομεν. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς σωτηρίαν, ἡ προστατεύουσα, ἀεὶ, θεοτόκε, τῶν τιμώντων σε.

8-го Ноября св. Архангелу Михаилу.

Кондакъ есть и въ Аѳонскомъ Кондакаріи, но Икосовъ по Алфавиту нѣтъ.

p. 538—540. Μηνὶ Νοεμβρ. η. Τοῦ ἀρχιστρατήγου Μιχαὴλ Κονδάκιον ἦχ. β. φέρον ἀκροστιχίδα τὰ ἀλφάβητον.

β. Ἄναρχε, δέσποτα παντοκράτωρ, ὁ τῶν θείων ἀΰλων λειτουργῶν ποιητής, σὺν τῷ Υἱῷ σου καὶ Πνεύματι ἐν ἀχωρίστῳ Τριάδι μένων, καὶ τοῖς τῶν Χερουβεὶμ φερόμενος ὤμοις, ὃν Σεραφεὶμ ἀνυμνεῖ, καὶ δοξάζει ἀγγέλων χορὸς καὶ τρέμει τῶν ἐπιγείων καὶ ἀνθρώπων ὁμοῦ καὶ ἰχθύων γοναί, τὸν ἐκ καρδίας αἶνον δέχου ἡμῶν. ἱκετεύει σε γὰρ σὺν ἡμῖν Μιχαήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

γ. Βλέπων τοῖς ὄμμασι τῆς ψυχῆς μου, τοῦ ἀφθάρτου μεγέθους τοῦ Πατρὸς τὴν μορφήν, ἐπιτηδεύειν ἐνόμιζον, καὶ τῶν χρηστῶν τοῦ Θεοῦ δραμάτων ἐξειπεῖν ἐμελέτων τὴν θεωρίαν. ἀλλὰ τῷ νῷ ἀσθενὴς καὶ ἀδόκιμος ὤν, οὐχ ὁρῶ. αὐτὸς οὖν ὄρεξον χεῖρα, ὁ Θεός, ὥς ποτε τῷ. ἐκ μήτρας τυφλῷ, χορηγῶν κἀμοὶ φωτισμὸν λογισμοῦ, τοῦ μετρίως ἀνυμνεῖν σε, πρεσβέυει γὰρ ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

δ. Γνώρισόν μοι, Χριστὲ ὁ Θεός μου, τῷ μετρίῳ εἰρήνην ἐκ τῶν σου θησαυρῶν, ἰσχύν μοι νέμων τῇ δόξῃ σου, ἵνα κἀγὼ ὁ πτωχὸς καὶ πένης δυνηθῶ τοῦ σκοποῦ ἀποδοῦναι λόγον. εἰ γὰρ καὶ τῶν ἀνεφίκτων οὐχ οἷός τέ εἰμι ἐγὼ τὸν ὄγκον κατανοῆσαι, ἀλλὰ κἂν τῶν εὐλήπτων ἐμοὶ καὶ φρικτῶν εὐχερῶς ἐπιστήμην τοῦ ἑνὸς χορηγήσῃ αὐτὸς κελευσθεὶς ὑπὸ σοῦ ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

ε. Δώρησαι οὖν φωτὸς ἐμπειρίας κἀμοὶ πλῆθος τῷ τάλᾳ ἐκ τῶν σῶν ἐνθηκῶν δεκαπλασιάσαι τάλαντον. εἰ γὰρ καὶ ἄπειρος ὢν πλουτηρῶν, ἀλλὰ σῶν ταμιεῖον κατεπιστεύθην ἤδη πολλῶν παλαιῶν τε καὶ νέων ἐγγραφῶν ὁλκήν. τῇ σῇ οὖν δόξῃ, σωτήρ μου, ἱκανώσῃς κἀμὲ ἐν τῷ σου Πνεύματι διαπλεῦσαι τὸν πλοῦν ἐν σκάφει στερρῷ. κυβερνήσει γὰρ με τῇ δυνάμει τῇ σῇ ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

ς. Ἔυδιον πλοῦν παράσχου, σωτήρ μου, πάντων μόνος ὑπάρχων εὐεργέτης ψυχῶν καὶ ὀφλημάτων ἀνεύθυνος. ἵνα τῷ Πνεύματι τῷ ἁγίῳ ἀκινδύνως ὁ νοῦς ἐμοῦ ἐμβατεύων, ἐπὶ τῷ σῷ προσορμήσει λιμένι, καὶ τῷ σου φωτί, εὑρήσει τὴν πραγματείαν δαψιλῆ καὶ ἐν ἅπασιν ὠφέλιμον, ἔμψυχον σώσει σὸν τὸ κεφάλαιον. τὸν γὰρ σπόρον φρουρήσει, ὡς ὢν σοι πιστός, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

ζ. Ἔφης, φιλάνθρωπε, ἐν Γραφαῖς σου. Πλήθη χαίρει ἀγγέλων ἐν οὐρανῷ ἑνὶ μετανοοῦντι, ἀθάνατε. ὅθεν ἡμεῖς, οἱ ἐν ἁμαρτίαις, ἀναμάρτητε μόνε, καρδιογνῶστα, σὲ δυσωπεῖν καθεκάστην τολμῶμεν, ὡς εὔσπλαγχνον, οἰκτεῖραι καὶ καταπέμψαι ἀναξίοις κατάνυξιν, δέσποτα, παρέχων ἡμῖν συγχώρησιν. ὑπὲρ πάντων ἡμῶν γὰρ πρεσβέυει σοι ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Св. Архистратигу Михаилу 3-го творца.

p. 541. 542. Πρὸς τό. Ἐπεφάνης. α. Τῶν ἀγγέλων ἔξαρχοι καὶ στρατηγέται, Μιχαὴλ ὁ πρώτιστος, καὶ Γαβριὴλ ὁ σὺν αὐτῷ, τὴν οἰκουμένην πυρσέυετε, τῶν ἀσωμάτων ἀγγέλων οἱ πρόκριτοι.

β. Τῷ ἐπὶ θρόνου Χερουβεὶμ ἐν δόξῃ ὀχουμένῳ παρίστανται, τῷ φόβῳ καλύπτουσαι τὰς ὄψεις, αἱ τῶν ἀγγέλω στρατιαί, ὧν πρῶτοι οὖσι Μιχαὴλ καὶ Γαβριήλ, οἱ θεῖοι ἀρχιστράτηγοι, οἱ τὴν ὑπ' οὐρανὸν πᾶσαν ἱππεύοντες, καὶν τὰς τῶν ἀνθρώπων, ἐξαιτήσεις καὶ δεήσεις ἀνάγοντες τῇ ταξιαρχίᾳ, πῶς γλώττῃ ἐξειπεῖν ὁ πένης τολμήσω τὴν ἀόρατον αὐτῶν δραματουργίαν; πέμπονται πρὸς γῆν ἐξ ὕψους Θεοῦ προστάξει τῶν ἀσωμάτων ἀγγέλων οἱ πρόκριτοι.

γ. Ὅταν ἐξ ὕψους ἡ φωνὴ τῆς σάλπιγγος ἠχήσῃ, ἐξ ὕπνου τοὺς ἀνθρώπους ἐγεῖραι, πρὸς τὸ βῆμα καὶ παραστῆσαι τῷ κριτῇ, τότε παραστάντες τῶν βροτῶν οἱ ἀσφαλεῖς πιστοὶ σωματοφύλακες, τὸν κτίστην ὑπὲρ πάντων ἱλεώσασθε, ὅτε δὲ αἱ πράξεις καὶ εὐθῦναι φανεροῦνται, κατάκριτοι τετραχηλισμένοι, ἱστάμεθα γυμνοί, μὴ ἀντοφθαλμοῦντες πρὸς τὸν ἴλεον κριτήν. καὶ γὰρ αἰτεῖσθε, οἱ τὸν οὐρανὸν καὶ γαῖαν ἐμπιστευθέντες, τῶν ἀσωμάτων ἀγγέλων οἱ πρόκριτοι.

Св. Іоанну Предтечи.

p. 547. 548. α. Ὡς αὐλὸς ὀργάνου φωναῖς οὐκ ἐκφαίνεται, καὶ ἀστὴρ ἡλίου βολαῖς οὐκ αὐγάζεται, οὕτω καὶ ἡμεῖς. ὁ γὰρ μείζονά σε, Πρόδρομε, ἐν γεννητοῖς προειπὼν ὡς σφοδρότερος τοὺς ἐπαινέτας σου ἠμάυρωσεν. διὸ ἐξ ἀνθρώπων μὴ χρήζων ἐγκωμίων, μακαρίζου τοῖς θεόθεν ἐπαίνοις σου.

β'. Τῷ ὑπὲρ δόξαν πολλὴν καὶ σφοδρὸν λαβόντι χάρισμα διαφανὲς καὶ ἔπαινον ζωῆς ἀνθρωπίνως εἰπεῖν. τῶν τοιούτων ὑφόρασις. τῷ δὲ προθυμουμένῳ καὶ ἐπιδεομένῳ εὐεπίχειρα ἅπαντα. οὐκέτι γὰρ ὁ νοῦς πρὸς τὸ ὕψος ἐπέ-

χει. ὀλλ᾽ ὡς ποθῶν, θαῤῥεῖ, καὶ ζητῶν τὰ μεγάλα. ἀγαθὸν γὰρ μὴ κρύπτειν τὰ γνήσια. ὅθεν τὸν νῦν ὑμνούμενον θερμῶς, καὶ μαρτυρίας Θεοῦ ὑπὲρ πάντας τυχόντα, εὐφημήσωμεν ἐν τούτοις, μακαρίζου.......

γ. Ὁ προπηδήσας γαστρὸς πρὸς Χριστὸν (πρὸς σὲ γὰρ μέτειμι, τὸν βαπτιστὴν, τὸν ἄψαντα φωτὶ τὸν λύχνον, (γραφικῶς γὰρ αὐτῷ ἑτοιμάζου πρὸς ἔλλαμψιν) τῶν προφητῶν τὸ σέβας, καὶ τῶν ἁμαρτανόντων φιλοπλήσιος σύμβουλος, βοῶντος ἡ φωνὴ πρὸς τρίβον τὴν εὐθεῖαν, ὁ ἅπασι Θεὸν ἐν σαρκὶ προμηνύσας, λογισμοῖς τὸν πλανῶντα χαρέστιξας). τῆς γὰρ αὐτοῦ κακόφρονος ἀρχῆς οὐ προσεδόκα, κρατεῖν μετανοίας συγνώμην, ἣν πρὸς ἕκαστον κηρύξας, μακαρίζου.....

δ. Ὑλομανοῦσα τὸν πρὶν καθ᾽ ἡμῶν ἡ πλάνη ἔφυεν ἐν ἑαυτῇ ἀπρόσοδον τροφὴν διδοῦσα, καὶ βορβόρῳ καρποὺς ἀπωλείας ἐπηύξανεν. Ὁ δὲ Θεὸς, ὡς φίλος τῶν ὑπ᾽ αὐτοῦ κτισθέντων, παρεζήλωσεν εὔοπλον. ἐν τέχνῃ γὰρ σοφῇ καὶ ἀφράστῳ εἰδήσει καλλιεργεῖ λαὸν βαπτικῶς πληθυνθέντα εὐδοκῆσαι, προπέμψας εἰς Πρόδρομον σὲ, τὸν εὐθὺς θεόγνωστα φυτὰ ὑδατουμέναις χερσὶ ταῖς ἀγρίαις ἀνθρώπων ἐγκεντρίσαντα καρδίαις. μακαρίζου τοῖς θεόθεν ἐπαίνοις σου.

29-го Іюня св. Апостоламъ Петру и Павлу.

р. 549—554. Ἕτερον Κοντάκιον τῶν ἁγίων ἀποστόλων ἦχ. πλβ. πρὸς τό. Τὴν σωματικήν.

α. Ἡ τῶν ἀποστόλων πανσεβάσμιος δυὰς, Πέτρος καὶ Παῦλος, πιστοὶ, εὐφημείσθωσαν, οἱ τῆς οἰκουμένης ἀληθεῖς σεγηνευταὶ, καὶ τῆς ἐκκλησίας στύλοι καὶ ἑδραίωμα. συνδράμωμεν τῇ τούτων πανηγύρει, πιστοὶ, καὶ λάβωμεν πταισμάτων τὴν συγχώρησιν. αὐτοὶ γὰρ τοῖς ἐκ σκότει καθημένοις ἀνεκήρυξαν ὑμνοῦντες σε, τὸν φανέντα καὶ φωτίσαντα πάντα.

β. Ἐπὶ τὸ πλῆθος τῶν σῶν οἰκτιρμῶν κατέφυγον ὁ ταλαὸς ἐγὼ, Τριὰς, μονὰς καὶ ὁ θεός μου, τὸ τρισόλβιον θεὶς εἰς βοήθειαν ἄιτημα. πίστει γὰρ καὶ ἐλπίδι. ἔργω τε καὶ ἀγάπῃ, σοὶ προσπίπτω δεόμενος. ἐγκαίνισον κἀμοὶ, ὑπερούσιε πάτερ, τὸ πνεῦμα τὸ εὐθὲς τοῖς ἐγκάτοις, ὡς πάλαι τῷ προφήτῃ Δαυὶδ ἀνακράζοντι. ὅπως τιμήσασ ὕμνοις τοὺς σοφοὺς Πέτρον καὶ Παῦλον, πιστῶς ἀνυμνήσω, τῇ τούτων πονηγύρει, καὶ δοξάσω τὸν φανέντα, τὸν φωτίσαντα πάντα.

γ. Ἰδοὺ ἡμέρα Κυρίου δεκτὴ, πανήγυρις εὐωχίας, πιστοί. προσέλθωμεν ἐν κατανύξει τοῖς σοφοῖς μαθηταῖσ τοῦ Κυρίου, καὶ λάβωμεν ἄφεσιν τῶν πταισμάτων, λύσιν τῶν ἐγκλημάτων καὶ ζωὴν τὴν αἰώνιον. ὁ μέγασ γὰρ Κηφᾶς, ὁ καὶ Πέτρος, λαμβάνων τὰς κλεῖσ τῶν οὐρανῶν, μετὰ τοῦτο κληροῦται τὸ δεσμεύειν καὶ λύειν τὰ πταισμάτα. τούτῳ λοιπὸν προσδράμωμεν θερμῶς, οἱ τῶν καλῶν ἐρασταὶ, τῷ αὐτῷ τε καὶ Παύλῳ, ἵνα ψάλλοντες ὑμνῶμεν τὸν φανέντα......

δ. Συνεορτάζει ἡμῖν μυστικῶς τὰ πλήθη τῶν ἀγγέλων, ὦ πιστοὶ, ἐπὶ τῇ μνήμῃ τῶν ἐνδόξων ἀποστόλων Χριστοῦ, Πέτρου καὶ Παύλου, σήμερον. τούτους γὰρ καθορῶντες ἐκλάμποντας τῇ δόξῃ τοῦ Χριστοῦ, ἀγαλλίζονται. συμμύσται γὰρ αὐτοῦ καὶ συνόμιλοι ὄντες ὑπάρχουσιν ἀεὶ ἐν τοῖς ἐπουρανίοις, οἱ καὶ κάτω σαρκὶ προσωμίλησαν. μᾶλλον δὲ ὃν τὰ τάγματα ὁρᾶν τῶν οὐρανῶν οὐ χωρεῖ, οἱ αὐτοὶ καὶ κρατοῦντες καὶ κηρύττοντες ἑώρων τὸν φανέντα...

ε. Πέτρος, ἡ πάντων κρηπὶσ τῶν πιστῶν, ὁ ἔξαρχος ἀποστόλων, Χριστοῦ τὸ κήρυγμα πληρῶν, πρὸς πίστιν τοὺς ἀπίστους Θεῷ προσκομίζων οὐ παύεται. Παῦλος ὁ νοῦς ὁ μέγας, ἡ εὔλαλος κιθάρα, ὁ πολὺς ἐν τῇ χάριτι, τὰ ἄνωθεν ἀφρονεῖν καὶ αὐτὸς ἐκδιδάσκει. μὴ τὰ ἐπὶ τῆς γῆς. οὐ γὰρ ἄξια ὄντως τὰ ἐντεῦθεν δεινὰ πρὸς τὴν μέλλουσαν δόξαν ἡμῖν δωρεῖσθαι, ἀδελφοὶ, παρα Κυρίου Θεοῦ. διὰ τοῦτο σπουδαίως δεῦτε, δράμωμεν ὑμνοῦντες τὸν φανέντα......

ς. Ἔχων ὑμᾶς ὁ λαμπρὸς οὐρανὸς οἰκήτορας ἀληθεῖς ἑαυτοῦ, καὶ τοῦτον ἐμπεριπατοῦντες κορυφαῖοι φαιδρῶς, τῷ ποιήσαντι φθέγγεσθε. Δόξα σοι, ζωοδότα Χριστὲ, ὅτι δοξάζεις τοὺσ πιστῶς δοξάζοντας. ἰδοὺ γὰρ οἱ σοφοὶ τῆσ σῆς οἰκονομίας κήρυκες εὐσεβεῖς, Πέτρος τε καὶ ὁ Παῦλος, ἐν τῷ θρόνῳ τῷ σῷ παριστάμενοι, δόξης τῆσ σῆσ, ὡσ ἄξιοι τῶν σῶν, ἀπολάυουσιν ἀεί. ὁ δὲ κόσμος δοξάζει σε τῇ τούτων παραινέσει τὸν φανέντα....

ζ. Τὸν Παῦλον ἔχουσα. μέγα σκιρτᾷ ἡ πάνσεμνος ἐκκλησία Χριστοῦ. σαλπίζει γὰρ ἀδιαλείπτως τῶν αὐτοῦ διδαχῶν τὰ θεάρεστα λόγια, τρέπει τοὺς ἐναντίους, θραύει τοὺσ ἀντιτάκτασ, ἐκπορθεῖ δὲ τὰ βλάσφημα, πρὸς γνῶσιν τὰσ ψυχὰς τῶν πιστῶν διεγείρει, οὐ μόνον τῶν πιστῶν, ἀλλὰ καὶ τῶν ἀπίστων. παραινεῖ γὰρ τὰ κάλλιστα ῥήματα. τίς οὖν τοῖς τούτου λόγοις γλυκανθεὶς ἄπρακτος ἔσται λοιπόν; ἐκμανθάνει γὰρ ὄντως πίστει ψάλλειν καὶ δοξάζειν τὸν φανέντα....

η. Ῥάνατε οὖν τοὺς ὑμῶν οἰκτιρμούς, ἀπόστολοι, ἐπὶ πάντας ἡμᾶς τοὺς χαίροντασ ἀδιαλείπτως τῇ καλλίστη ὑμῶν διδαχῇ παμμακάριστοι. Ῥάνατε, ὡς τοῖς πάλαι πιστοῖς προσερχομένοις τοῖς ποσὶν ὑμῶν, ἅγιοι. ἰδοὺ γὰρ δι ὑμῶν καθορᾶται ὁ κόσμοσ Τριάδα προσκυνῶν. εἰς αἰῶνα αἰῶνος, ἣν ὑμεῖσ ἐμφανῶς ἐκηρύξατε. χαίρει λοιπὸν ἐντεῦθεν οὐρανός, σκιρτᾷ δὲ πᾶσα ἡ γῆ. καὶ ἡ θάλασσα ὕμνοισ, καὶ τὰ ὄρη εὐφροσύνη, τὸν φανέντα....

θ. Ὅτε τοὺσ σοὺς μαθητὰς, Ἰησοῦ, νεάζοντας ἐν τῇ πίστει ὁρᾷς, πρὸς θείαν γνῶσιν ἐπανάγων, ἐπηρώτας ζητῶν τὸν θερμὸν ὑπὲρ ἅπαντας, εἶτα δὲ ὡς ἐβόασ. Τίνα λέγουσιν εἶναι τὸν Υἱὸν ἀνθρώπου; φησὶν ὑπάντων ὁ θερμὸς καὶ πιστὸσ ὑπὲρ πάντασ ἐβόησε Κηφᾶσ τὴν φωνὴν τῆς ἀξίας. Σὺ εἶ, λέγων, Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Ὅθεν κληροῦται τότε καὶ αὐτὸς τὴν ἐκκλησίαν τὴν σήν. τὸν γὰρ ἄνω τοῖς κάτω θεωρῶν, σὲ ὡμολόγει τὸν φανέντα....

ι. Νῦν ἑορτάζομεν πόθῳ, πιστοί, καὶ ψάλλωμεν ἐν κατανύξει λοιπὸν τιμῶντεσ πίστει τοὺς ἁγίους ἀποστόλους Χριστοῦ Πέτρον καὶ Παῦλον σήμερον. τούτων γὰρ ἡ παροῦσα πανήγυρις ὑπάρχει τὰ ἐγκώμια νέμουσα. σιγὴν δὲ τῷ λαλεῖν ἐπιδόντες, τὸν τούτους δοξάσαντα Θεὸν μεγαλύνωμεν πάντες. Σῶσον ἡμᾶς καὶ ῥῦσαι τοῦ πυρὸσ καὶ τῆς μελλούσης ὀργῆς, ὁ Θεός, ἵνα πίστει προσκυνοῦντες σὲ ὑμνῶμεν τὸν φανέντα......

ια. Κατακαυχᾶται Ταρσὸς ἐν ταῖς σαῖς, παμμακάριστε Παῦλε, διδαχαῖς. κραυγάζῃ οὖν ἡ Κιλικία, Δάμασκοσ τε ὁμοῦ ἡ ἑῴα δὲ ἅπασα, Πόντος καὶ ἡ Φρυγία, Ῥώμη καὶ Σικελία, τὰ Ἑσπέρια ἅπαντα. κυκλώσας γὰρ τὴν γῆν, ὥσπερ ἥλιος ἄλλος, καὶ σπείρας ἐν αὐτῇ τοῦ Χριστοῦ τὴν ἀγάπην, καρποφόρον αὐτὴν ἀπετέλεσας. πέμπει γὰρ οὖν αὐτοῦ τοὺς ἐκλεκτοὺς εἰς γενεὰς γενεῶν τῷ Θεῷ καὶ ἁγίους, ἵν' ἀπαύστως ἀνυμνῶσι τὸν φανέντα......

ιβ. Α.·. **ιγ.** Ἴδε, εἴ τίς που ὁ ψάλλων πιστῶς ἐν τῇ μνήμῃ τῶν σαφῶν μαθητῶν, καὶ ζήλωσον ἐν κατανύξει, ἵνα γίνῃ καὶ σὺ μαθητὴς τοῦ Κυρίου σου, Πέτρου μὲν τὰς ὀδύνας Παύλου δὲ τὰς διώξεις καὶ τοῦ ψύχους τὴν γυμνωσιν. κἂν δέῃ που παθεῖν καὶ νανάγια, δέξαι, ῥαβδίσθητι τρισσῶς, καὶ λιθάσθητι ἅπαξ, καὶ φρουρᾷ δὲ οἰκεῖν ἐπιθύμησον. φεῦγε τα πάθη πάντα τῆς σαρκός, ὡς ἐν ὀργῇ τῇ σπουδῇ, ἀποτμήθητι κάραν, ἵνα φθάσῃς ἐπὶ πᾶσι τὸν φανέντα..........

ιδ. Πέτρος ἡ παντων κρηπὶς τῶν πιστῶν, ὁ (καὶ) τῆς ἐκκλησίας ὄροφος. ὁ τὸ πρὶν ἁλιεύς, νυνὶ δὲ (πρῶτος) ἀπόστολος, ὁ σαγήνην ῥηξάμενος, κώπας τε ἀπελάσας, καὶ κάλαμον συντρίψας, οὐχὶ φέρει ἐν τῷ σταυρῷ πίστει ἡλούμενος ἀνὰ τούτῳ ὀρθίως παγῆναι τοῖς ἥλοις. ἀλλ' ἐβόα τρανῶς τοῖς (τοῦ αὐτὸν ἀδικῆσαι) τολμήσασιν. Ἐγὼ θνητὸς ὑπάρχω, ἀπο γῆς σπεύδω εἰς τοὺς οὐρανούς. διὰ τοῦτο τὴν κάραν κάτω θέτε (ἵνα φθάσω) τὸν φανέντα...

ιε. Ἄνωθεν παντας ἡμᾶς ἐν ταῖς σαῖς, ὦ θεία καὶ ἱερὰ κεφαλή, ἐπόπτευε ἀεὶ πρεσβείαις, τους τὴν σὴν ἐπὶ γῆς εὐφημοῦντας μετάστασιν. ἔχεις γὰρ παῤῥησίαν, Πέτρε, πρὸς τὸν δεσπότην καὶ οἰκτίρμονα Κύριον. Τῇ γῇ γὰρ ἀκραιφνὴς κατεχόμενος, μύστα, ἐξήρανας ὁμου. ἐν τῷ λόγῳ σου μόνῳ, Ἀνανίαν καὶ τούτου τὴν σύζυγον, ὡσ πειραστὰς ὑπάρχοντας αὐτοὺς τῶν ἐντολῶν τοῦ Θεοῦ. νῦν δὲ πάντας σωθῆναι τοὺς τιμῶντας σε δυσώπει τὸν φανέντα.

ιϛ. Υ... **ιζ.** Λ... **ιη.** Ο... **ιθ.** Νῦν ἑορτάζει φαιδρῶς σὺν ἡμῖν ἡ πάνσοφος ξυνωρίς, ὦ πιστοί, τῶν πρωτοβάθμων ἀποστόλων, χορηγοῦσα λοιπὸν μυστικῶς τὸ καθ' ἕκαστον. δεῦτε οὖν, ἐπαξίως τούτους τοῖς ἐγκωμίοις εὐφημήσωμεν ᾄσμασι. καθαίροντες ὁμοῦ τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν λόγον, τὸ στενόν, σὺν τοῖς αἰσθητηρίοις, ἀκοήν, ἀφήν τε καὶ τὴν ὄσφρησιν. ὅπως ὕμνους ᾄδοντας δέξηται, ὡς παρ' ἡμῶν, ἀπ' αὐτοῦ προσφερόμενον δῶρον, καὶ σὺν τούτοις ἀνυμνῶμεν τὸν φανέντα, τὸν φωτίσαντα πάντα.

30-го Ноября св. Апостолу Андрею. Кондакъ, 1-й икосъ, 10-й и 9-й по счету Питры въ Аөонскомъ есть, но 4-го Аөонскаго начинающагося: Ἴχνη λατῶν Χριστός.. въ Конд. изданномъ Г. Питрою, нѣтъ.

Недостающіе: p. 556. 557. **γ.** Ἐκ καταρχῶν τῶν στίχων στοιχείοις τοῦ γραμματικοῦ ἀριθμοῦ κατ' ἀξίαν, πιστοί, ἀκροστιχίδα ποιήσομαι. ἔστι γὰρ πρῶτος Χριστοῦ τῇ κλήσει, καὶ τὸ ὄνομα πρῶτον στοιχεῖον φέροι. πάλιν αὐτὸς ἀπαρχὴ τῆς ἀρχῆς ἀναδέδεικται ὥσπερ προκορυφαῖος. ἐμπνευσθεὶς δὲ εἰπεῖν ἀληθέστατα, τοῦ Λόγου τὸν Πέτρον προτάττοντος, ἀδελφὸν ἐν σπουδῇ προσκομίζει, βοῶν. Εὑρήκαμεν, δεῦτε, ποθούμενον.

δ. Ἴσχυσόν με, ὁ μόνος δυνάστης, δός μοι λόγον, ὁ ὄντως ἐνυπόστατος ὢν Θεοῦ Πατρὸς Θεὸς Λόγος τε, ἵνα ἀνδρείᾳ τῇ πρὸς τὰ πάθη καὶ φρονήσει πανούργῳ πρὸς τὸν Βελίαρ, δίκαιος ὢν σταθμιστὴς σωφροσύνης τοῦ ἅρματος Ἀνδρέου ἡνιοχοῦντος, καὶ σταυρῷ, τὸ βραβεῖον, ὡς πρὶν αὐτὸς ἐκ σοῦ ἀθλοθέτα, κομίσωμαι, σὺν αὐτῷ καὶ νικῶν, καὶ βοῶν τοῖς λαοῖς Εὑρήκαμεν....

ε. Νόμων λαῷ, ὡς κλάδοις ἀκάρποις, τῆς ἐρήμου τὸ κρίνον διαπνέων καρπὸν δικαιοσύνης ἐν χάριτι, ἦλθεν ἐκπλήττων τῇ παῤῥησίᾳ, ἐκ τριχῶν τὴν ἐσθῆτα συμπεπλεγμένος, ὅπως αὐτοῦ λοιδορίᾳ τισ ὅλωσ μὴ ἅψηται κραυ-

γάζων. Μετανοεῖτε, τὸν Ἀνδρέαν εὐθὺς ἐμαθήτευσεν ὡς τέκνον ὑπάρχοντα τοῦ Ἀβραάμ, ἵνα Πέτρω βοήσῃ, ἰδὼν τὸν Χριστόν. Εὑρήκαμεν....

ε. Ρῆμα, ὡς ἔφη τὸ θεῖον γράμμα. τίμιον ἦν, καὶ οὐκ ἦν ἐν τῷ τότε καιρῷ ἡ ὅρασις διαστέλλουσα. ὅμως Ἀνδρέας σὺν Ἰωάννῃ τὴν φωνὴν ἐξ ἐρήμου ἀκηκοότες, Λόγον Θεοῦ προδεικνῦσαν, καὶ ἴδε, κραυγάζουσαν, ὁ αἴρων τὴν ἁμαρτίαν ὁ ἀμνὸς τοῦ Θεοῦ τὴν παγκόσμιον, εὐθὺς ἠκολούθησε τῷ Χριστῷ ἵνα πέτρῳ βοήσῃ αὐτοῦ σύγγονος εὑρήκαμεν.....

ζ. Φῶς τὸν Χριστὸν ἰδὼν ὁ Ἀνδρέας, ὑπολαβὼν δὲ λύχνον ἀληθῶς, τὸν αὐτοῦ διδάσκαλον, ὡς ἐτύγχανε, σὺν Ἰωάννῃ τῷ θεολόγῳ, καὶ κατόπιν ἠρέμα Χριστοῦ βαδίζων, ὡς προκληθεὶς ἀνεβόα. Ποῦ μένεις, διδάσκαλε; πρὸς τούτους δὲ ψυχοφίλος ἔφη. ἔρχεσθε ἅμα καὶ ἴδετε. ὡς δὲ ὡς δεκάτη ὥρα ἦν, παρ' αὐτῷ οὖν κατέμειναν κραυγάζοντες. Εὑρήκαμεν......

η. Βλέπειν καλόν ἐστιν ἑωσφόρον. ἐπιτρέχειν δὲ κρεῖττον τῷ ἡλίῳ πολὺ, λαμπραῖς ἀκτῖσι τοῦ θάλπεσθαι. οὕτως Ἀνδρέας καὶ Ἰωάννης, οὐ διδάσκαλον πρῶτον ἠτιμηκότες, ἀλλ' ἐξ αὐτοῦ προτιμῆσαι Χριστὸν διδασκόμενοι, ὡς ἔλεγε σαφῶς. Οὗτος ὁ βαπτίζων ὑπάρχει ἐν Πνεύματι, προτρέποντος τοῦ μαθητεύοντος, οὐκ ἀφέντες, πεμφθέντες δὲ, ἐκραύγασαν. εὑρήκαμεν.

23. Арпѣля св. Апостолу Іакову.

p. 458. 259. Μηνὶ ἀπριλλίῳ λ'. τοῦ ἀποστόλου Ἰακώβου ἀδελφοῦ Ἰωάννου τοῦ θεολόγου, ἦχ. πλ. δ.

Πρὸς τό. Τῷ φαεινῷ.

α. Τὸν Ζεβεδαίου γόνον τιμήσωμεν ἅπαντες, ὡς τοῦ Χριστοῦ αὐτόπτην, καὶ κήρυκα ἄριστον, Ἰάκωβον, ἀναβοῶντες τούτῳ πιστῶς. Ἀπόστολε ἅγιε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἐπιτελούντων ἐν πόθῳ τὴν μνήμην σου.

β. Ὡς ἔφη γόνον βροντῆς τε ὁ Κύριος σὺν Θεολόγῳ, οὕτω πάντας διδαχαῖς κατεβρόντησας, ἐπανάγων πρὸς μίαν πίστιν τοῦ βοᾶν ἀνελλιπῶς. Ἅγιε Ἰάκωβε, τῷ σωτῆρι καὶ Θεῷ ἱκετεύων μὴ παύσῃ τοῦ σωθῆναι τοὺς πίστει ἐκτελοῦντας τὴν μνήμην σου, φθορᾶς καὶ ἁμαρτίας ἁπάσης, τῶν κινδυνευόντων προστάτα θερμότατε.

γ. Δυσώπει, μάκαρ, τὸν κτίστην καὶ Κύριον καὶ σωτῆρα, καὶ διδάσκαλον τὸν σόν, τῆς κολάσεως ἵνα ῥύσῃ πάντας τοὺς πόθῳ τὴν σὴν μνήμην ἐν ᾠδαῖς, ἅγιε Ἰάκωβε, ἐκτελοῦντας, καὶ ἐχθρῶν ὁρατῶν, ἀοράτων, ψυχικῆς ἀσθενείας καὶ παθῶν (πονηρῶν) τοῦ σώματος ὡς ὢν Κυρίου αὐτόπτης, καὶ κινδυνευόντων.

δ. Ἡ θήκη, μάκαρ, τῶν θείων λειψάνων σου φευγαδεύει τῶν δαιμονων τὴν πληθὺν καὶ τὰ πάθη τῶν ἀσθενούντων, πάντων τῶν πίστει προσιόντων ἐκ ψυχῆς, ἅγιε Ἰάκωβε. ὅθεν πόθῳ σε αἰτῶ, τὴν ψυχὴν καὶ τὸ σῶμα ἴασαί μου, θεόπτα, καὶ τὸν νοῦν φόβῳ ἔδρασον Χριστοῦ ταῖς πρὸς αὐτόν σου εὐκταίαις, τῶν κινδυνευόντων προστάτα θερμότατε.

16-го Ноября Св. Ап. и Евангелисту Матѳію.

p. 559. 560. Μηνὶ Νοεμβρ. ις. Κονδάκιον εἰς τὸν ἀπόστολον Ματθαῖον καὶ εὐαγγελιστήν, ἦχ. β'.

φέρον ἀκροστιχίδα ᾠδήν. πρὸς τὸ. Τὴν ἐν πρεσβείαις.

α. Τὸν ἐκ τελώνου ἀπόστολον κηρυχθέντα, καὶ ἐκκλησίᾳ τοὺς ἅπαντας ἀγαγόντα, πάντες Ματθαῖον ὕμνοις τιμήσωμεν, ὡς τοῦ Χριστοῦ αὐτόπτην καὶ κήρυκα γενόμενον. πρεσβείαν ποιεῖ γὰρ ὑπὲρ πάντων ἡμῶν.

β. Ὡς τοῦ Χριστοῦ αὐτόπτης ὑπάρχων καὶ μαθητῶν συμμύστης, ὦ Ματθαῖε σοφὲ, καὶ κόσμου παντὸς διδάσκαλε, δίδου μοι λόγον τοῦ σε δοξάσαι, τὸν σωτῆρα πρεσβεύων, ὡς παῤῥησίαν ἔχων πολλὴν πρὸς αὐτόν. ὡς γὰρ δοῦλος ἀνάξιος, προσῆλθον ἐγκωμιάσαι, μᾶλλον δὲ ἱκετεῦσαί σε, κράζων σοι. Τὴν βορβορώδην καρδίαν μου ταῖς εὐκταίαις σου κάθαρον, τοῦ βοᾶν. Πρεσβείαν ποιεῖ γὰρ ὑπὲρ πάντων ἡμῶν.

γ. Δαυιτικῶς τὸν ὕμνον βοῶντες λέξωμεν τῷ Κυρίῳ. Ἀντίπαλοι τῶν σῶν υἱοὶ πατέρων γεγέννηνται, οὓς κατὰ πάσης γῆς καταστήσεις ἄρχοντας ἀποστόλους καὶ εὐεργέτας, ὧν εἷς ἐστιν ὁ Ματθαῖος υἱώσας τὴν σύμπασαν, τὸ εὐαγγέλιον γράψας, μαθητὴς καὶ διδάσκαλος δείκνυται ἀντὶ τελώνου. πρὸς ὃν πιστῶς ἐκβοήσωμεν. Οἴκτειρον σοὺς ὑμνητάς. Πρεσβείαν....

δ. Ἡ σὴ, σοφὲ ἀπόστολε, γλῶττα κάλαμος ἐγεγόνει Παρακλήτου ἀεὶ, εὐθέως ὄντως τὴν λύτρωσιν γράφουσα. πάντων τῶν μεταγνόντων ἐκ ψυχῆς ἀπὸ πάντων πλημμελημάτων. ὅθεν πιστῶς ἱκετεύοντες πάντες βοῶμέν σοι. Μη

διαλείπῃς πρεσβεύων, δυσωπῶν, ἱκετεύων τὸν Κύριον, ῥησθῆναι πάντας ἐκ θλίψεων καὶ πταισμάτων καὶ νόσων τοὺς κράζοντας. Πρεσβείαν ποιεῖ γὰρ ὑπὲρ πάντων ἡμῶν.

14-го Ноября св. Ап. Филиппу.

p. 560. 561. Κονδάκιον τοῦ αὐτοῦ ἁγίου Φιλίππου. ἦχ. πλ῀ δ, πρὸς τό. φαεινῶ.

α̃. Ταῖς διδαχαῖς σου, μάκαρ, τὸν κόσμον ἐφώτισας καὶ ἀσθενοῦσι πᾶσι τὴν ῥῶσιν διένειμας ὦ Φίλιππε, χριστομιμήτως, πάντα τελῶν ἐν θείω προστάγματι. πρέσβευε ὑπὲρ ὑμῶν τῶν ἐπιτελούντων ἐν πόθω τὴν μνήμην σου.

β̃. Πρὸς τό. Τῷ μυρῳ θείῳ. Ὡς πέλων μύστης τῆς ἄνω σοφίας, Χριστοῦ θεράπον, καὶ φωτίζων τοὺς λαοὺσ ἐπιστρέφων τε ἐκ τῆς πλάνης πάντας ἐν πίστει, ἱκετεύω σε, σοφὲ Φίλιππε ἀπόστολε, μὴ παρίδῃς τὰς φωνὰς τῶν πιστῶν σε ὑμνούντων ἐν ᾠδοῖς καὶ βοώντων. Πειρασμῶν λυτρωθείημεν πολλῶν, οἱ πρὸσ σὲ καταφυγόντες. τῶν κινδυνευόντων προστάτα θερμότατε.

γ̃. Δρομαίως, μάκαρ, ἀκούσας ἠκολούθησας καλοῦντος σοῦ Χριστοῦ σε ἀκλινῶς, τῶ ζωγρεῦσαι ἐν πλάνῃ ὄντας πάντας ἀνθρώπους πρὸς ὁδὸν τὴν ἀπλανῆ, Φίλιππε ἀπόστολε. διὰ τοῦτο σὲ ποιεῖ ἐκλογῆς σκεῦοσ ὄντως καὶ δοχεῖον σοφίασ πηγαζούσης ἐκ Πνεύματος αὐτοῦ, καὶ προστάτην τῶν βοώντων τῶν κινδυνευόντων....

δ̃. Ἡνίκα δώδεκα θρόνοις καθήσῃ σὺν τῷ Κυρίω τῶν φυλῶν τοῦ Ἰσραὴλ κατακρίνων τοὺς ἀπιστοῦντασ, τότε, προστάτα, τὸν Θεόν μοι εὐμενῆ, Φίλιππε ἀπόστολε, τῷ ἀθλίῳ ὑμνῳδῷ σου ὑπάρχοντι ποίει, ἵνα πάσης βασάνου ἐκλυτρώσῃ τούς σε ἐκ τῆς ψυχῆς ὑμνολογοῦντας, παμμάκαρ, τῶν κινδυνευόντων......

25-го Августа св. Апостолу Вареоломею

p. 561. 562. Μηνὶ αὐγούστω, κε̃. Κονδάκιον τοῦ ἁγίου Βαρθολομαίου τοῦ ἀποστόλου ἦχ. δ̃. πρὸς τό. Επεφάνης σήμερον.

α̃. Δεῦτε, πόθῳ σήμερον Βαρθολομαῖον ἐπαξίως ᾄσμασιν ἀνευφημήσωμεν, πιστοί, ἐν κατανύξει κραυγάζοντεσ. πρέσβευε, μάκαρ, σωθῆναι τὴν ποίμνην σου.

β̃. Ὡς πέλων μύστης τοῦ Χριστοῦ καὶ ὀπαδὸς εὐγνώμων, Βαρθολομαῖε μάκαρ, τά τούτου εἰς τὸ σῶμα στίγματα ἔχων, πρὸς τὸ φῶς τῆς θεογνωσίας ἐφωδήγησας λαοὺς τοὺς ὑπηκόους ἅπαντας, μᾶλλον δὲ Ἀρμενίας γῆν ἅπασαν, σέβειν καὶ δοξάζειν τρισυπόστατον Τριάδα ἀσύγχυτον, θεότητα μίαν διὸ ἡ πᾶσα γῆ τελεῖ σου τὴν μνήμην, εὐφροσύνως ἐν ᾠδαῖς κράζουσα πίστει. ἔχων πρὸς Θεὸν φαιδροτάτην παρρησίαν, πρέσβευε....

γ̃. Δοχεῖον Πνεύματος ὡς ὂν τὸ θεαυγὲς σου σῶμα τοῖς εὐσεβῶς φοιτῶσιν ἐκβλύζει τὰς ἰάσεις, καὶ τῶν δαιμόνων τὴν πληθὺν πᾶσαν ἐκδιώκει, ὅθεν σύμπασα ἡ γη τελεῖ σὴν μνήμην ᾄσμασι. μᾶλλον δὲ ἡ νῆσος ἡ Λιπάρεωσ, ὡς ἀπὸ Πυργάνου τοῦ φθορέως λυτρωθεῖσα, ως ἔφθασε τὸ πέλαγος σχίσαν, ὡς ἐρρίφη σὺν τῇ θήκῃ Ἀρμενίας, καὶ εὐθὺς ὁ γειτνιῶν πόρρω μετέστη, θαῦμα φοβερὸν. διὰ τούτου βοᾷ κτίσις. Πρέσβευε....

δ̃. Ἧς ἀνεδείχθης εὐσεβῶς διδάσκαλος καὶ κῆρυξ, Βαρθολομαῖε, μύστα τῶν θείων μυστηρίων, πίστεωσ κράτυνον θεσμούς, καὶ τοὺς βασιλεία καθοπλίζων πρὸς ἐχθροὺς δυνάμωσον εὐκταίαις σου, ὑποτάσσων τὰ φῦλα τὰ βάρβαρα. τοῦτον δὲ λαόν σου. ὃν ἐδίδαξας σεπτοῖσ σου διδάγμασι, περισκέπων σῶσον, κἀμὲ τὸν ὑμνῳδὸν τὸν σὸν ῥῦσαι πάσης ἁμαρτίας, καὶ πρὸς φῶς τῆς μετανοίας ἴθυνον, σοφέ, ἵνα βοῶμεν σοι. Πάντες. Πρέσβευε.

20- Февраля св. Льву, Епископу Катанскому.

p. 563. 564. Μηνὶ Φεβρ. κ̃. Κονδάκιον τοῦ ἁγίου Λέοντος ἐπισκόπου Κατάνης, φέρον ἀκροστιχίδα. ᾠδὴ. ἦχ. β̃.

α̃. Τῶν θαυμάτων τὴν χάριν ὡς δεδεγμένος, ἐπομβρίζεις σοι προσιοῦσιν ἐκ τῆς σοροῦ τῶν λειψάνων σου, ὅσιε, καὶ τὰς ἰάσεις ἐκπέμπεις ἑκάστοτε Λέον μάκαρ ἱερώτατε. διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β̃. Ὥσπερ Χρέος, τῷ ὁσίῳ προσενέγκωμεν τὸν ὕμνον, ἐπαξίως Λέοντα τὸν πανιερὸν καταστέφοντεσ, δεῦτε ἅπαντες ὁμαδὸν φιλέορτοι ἐπαγαλλόμενοι. αὐτὸς ἀληθῶς ἐκ τῆς Ῥαβέννης ἀνέτειλε. Κατάνη αὐτὸν δέχεται ὄντωσ ὡσ ἄξιον. αὐτῆσ τὸν θρόνον κατεκόσμησε, στηρίζων τοὺς ἐπάδοντας. Χριστὸν ὑπὲρ ἡμῶν ἀπαύσεως ἱκέτευε.

γ̃. Δεῦτε πάντεσ τῷ τεμένει τοῦ ὁσίου νῦν ἐν πόθῳ, τῶν θαυμάτων παροχὰς ἀρυόμενοι, ἄκος λάβετε. βρύει πᾶσιν ὡς ἀληθῶς ἰάματα, ὡσ ἀφθονόπλουτα. αὐτὸς γυναικὸσ αἵματοσ ῥύσιν ἐξήρανε, καὶ πάντασ πιστῶσ τοὺσ προσιόντασ ῥωννύεται, ὡσ εἰληφὼς χάριν παρὰ Θεοῦ ἀρδεύειν τοὺσ ἐπάδοντασ. Χριστόν....

д. Ἤρθης, μάκαρ, πρὸς τὸ ὕψος ἀναβάσεως τῆς θείας. καὶ Χριστῷ μετ᾽ ἀγγέλων ἱερέων τε παριστάμενος, ἔχεις πάντοτε πρὸς αὐτὸν παῤῥησίαν ἄκραν, θαυμάσιε. μὴ παύσῃ, σοφέ, ἐκλιπαρῶν τὸν φιλάνθρωπον δοθῆναι ἡμῖν τῶν ἐπταισμένων τὴν ἄφεσιν. εἰρήνην τε πᾶσι τοῖς πέρασι, φυλάττων τοὺς ἐπάδοντας. Χριστὸν ὑπὲρ ἡμῶν δυσώπει, πανόλβιε.

11-го Декабря св. Даніилу Столпнику.

р. 564. Кондакъ и икосъ 1-й есть въ Аѳонскомъ Кондакаріи.

г. Ὡς προγνώστης τῶν ὅλων, ὁ Κύριος τοῦ σοφοῦ Δανιὴλ σε ὁμώνυμον καὶ ὁμότροπον, πάτερ, ἀνέδειξεν. καὶ γὰρ οἷα ἐκεῖνος, τὰ πόῤῥωθεν διαγινώσκειν κατηξίωσαι, καὶ προλέγειν μέλλοντα πρὶν γίνεσθαι. ἡ χάρις γὰρ σοι ἡ θεία συνέπραττεν, ἣν λαβὼν ἀληθῶς ἐκομίσω, σοφέ, φῶς τῆς γνώσεως.

д. Δρόμον μοναδικὸν ἐξετέλεσας, οὐδ᾽ ὅλως ἐστράφης εἰς τὰ ὄπισθεν, ἀλλὰ μᾶλλον ἀεὶ πρὸς τὰ ἔμπροσθεν ἀποστολικῶς ἀπεκτεινόμενος, τὸν εὐεργέτην καθικέτευες. κατευθῦναι τὰ σὰ διαβήματα, καὶ παγίδων τοῦ Βελίαρ λυτρώσασθαι, ὧν ῥυσθεὶς ἐκ Θεοῦ ἐκομίσω, σοφέ, φῶς τῆς γνώσεως.

8-го Декабря св. Патапію.

р. 565. Кондакъ и 1-й икосъ есть въ Аѳонскомъ Кондакаріи.

г. Ὡς ποτε Ἰσραὴλ ἐξ Αἰγύπτου διέφυγεν ὁδηγοῦντος Θεοῦ, οὕτως καὶ σύ, Πατάπιε, ἐκεῖθεν ἐξῆλθες, καὶ τῇ Βυζαντίδι δῶρον ἐδόθης θεῖον καὶ ἄμωμον, πάτερ ἡμῶν ὅσιε. πρεσβευτὴν γὰρ σε πάντοτε ἔχοντες πλούσιοι ὁμοῦ καὶ οἱ πενόμενοι, τῶν ἀοράτων ἐχθρῶν τὴν πλάνην ὑπερνικῶμεν κραταιῶς καὶ κατισχύομεν αὐτῶν, διὰ τοῦτο ἀξίως σὲ ὑμνοῦμεν. σὺ γὰρ πάντων προστάτης ὤφθης, Πατάπιε ὅσιε.

д. Δωρεὰν ἐκ Θεοῦ εἰληφὼς τὰ χαρίσματα, δωρεὰν τοῖς ἐν γῇ καταπέμπεις τὴν ἴασιν, καὶ σώζεις τὸν κόσμον, Πατάπιε πάτερ. δέχεται γάρ σε ὁ ὑπεράγαθος αὐτὸν ἱκετεύοντα. οἶδεν γάρ, οἶδεν τὰ σὰ αἰτήματα πάντοτε πληροῦν. ὑπάρχεις γὰρ αὐτοῦ πιστὸς οἰκέτης καὶ φίλος μέγας, μύστης τε πάλιν ἀψευδής, καὶ οἰκονόμος θαυμαστός. διὰ τοῦτο ἀξίως σε ὑμνοῦμεν. σὺ γὰρ πάντων.....

6-го Апрѣля св. Евтихію есть и въ Аѳонскомъ Кондакаріи, но здѣсь икосъ: Ἡ βασιλεὺς τῶν πόεων.. написанъ первый а въ Кондакаріи Г. Питрою изданномъ онъ означенъ 5-мъ. стр. 567.

1-го Октября св. Апостолу Ананіи въ Аѳонскомъ Кондакаріи есть Кондакъ [1]) и первыя два икоса; а недостающіе слѣдующіе:

р. 569—571. д. Ἴσχυσας φρένας τοῦ ἀντιπάλου, Ἀνανία αἰσχῦναι, μηχανάς τε αὐτοῦ πεπάτηκας καὶ κατέαξας. θυμῷ ἀγρίῳ τὸν λυμεῶνα κατὰ σου διεγείρας ὁ δολιόφρων, Λουκιανὸν τὸν ἀντίθασσον θῆρα παρώτρυνεν, καὶ σαρκὰ σου ξέων μένει τοῖς βουνευροῖς (αὐτὴν) ἰλιγγίασεν. ἐν γήρᾳ πίονι ἤθλησας καὶ ἀπέλαβες στέφος οὐράνιον, ὁ θαύμασι λαμπρύνας ἑσπέρια.

е. Ἐν οὐρανοῖς δεδόξασαι, πάτερ, καὶ ἐπὶ γῆς εὐκλεῶς ἀνυμνεῖται ἡ σὴ πανέντιμος μνήμη, ὅσιε. ἐν γῇ γαρ, Ἀνανία, πολεύων οὐρανοὺς ἐνεβάτευσας, θεοκῆρυξ. ἔνθα καὶ νῦν ἀυλιζόμενος, πᾶσι προΐστατο τοῖς πίστει ἐξαιτουμένοις τὰς πρεσβείας τὰς σάς, παναοίδιμε, λύσιν παράσχου τῶν θλιβερῶν, καὶ ἐκλύτρωσον ἅπαντας τῶν δεινῶν, ὁ θαύμασι..........

s. Ῥώμην βιαίαν τῶν ἐκ τῆς Ἄγαρ θραῦσον, μόνε δυνάστα, ταῖς πρεσβείαις τοῦ σου ἱερομάρτυρος, δέσποτα. λαός σου πάντες ἔσμεν καὶ ἔργα, καὶ τῷ σῷ ἐγκαυχώμεθα κράτει. Λόγε. σύντριψον οὖν ὅπλον, δόρυ, κράνος καὶ πᾶσαν αἰχμήν. εἰσέλθοι αὐτῶν καρδίαν ἡ ῥομφαία καὶ δόξα τὰ ἴδια. ἡμεῖς λαός σου καὶ κλήματα, καὶ νομῆς σου ὑπάρχομεν πρόβατα, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

з. Ὅλως οὐκ ἴσχυσαν ἀπαλῦναι λογισμοῦ τὸ ἀνδρεῖον καὶ γενναῖον τοῦ σοῦ ἱερομάρτυρος, Κύριε, ὁ αἱμοβόρος καὶ δολιόφρων, ὁ τοῦ σκότους υἱὸς, καὶ τῆς ἀπωλείας, Λουκιανὸς, ὁ ἀνήμερος θὴρ καὶ ἀπάνθρωπος, προστάττει λίθοις βληθῆναι τὸ πανίερον σῶμα τοῦ μάκαρος. ὁ δ᾽ ἐνισχύετο ὑπὸ σοῦ, καὶ ἐβόα σοι ἄπαυστον τὴν ᾠδήν. Ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

и. Μέγας Χριστοῦ ὁ ἱεροκῆρυξ Ἀνανίας ἐδείχθη, καὶ ἐξάκουστος νῦν τῇ ὑφηλίῳ ἐγένετο. ὅστις γὰρ νῦν πειρασμοῖς ἐμπίπτει καὶ ἀλγήμασι νόσου θανατηφόρου, μόνον θερμῶς εἰ προσψαύσῃ αὐτῷ καθαρότητι, εὐθὺς λυτροῦ-

[1]) Акростихъ τῷ ἱερομύστῃ

ται τοῦ πάθους, ἐρρωμένος τε ἄπεισιν οἴκαδε. τοία γὰρ χάρις δεδώρηται ἐκ Θεοῦ τῷ ἁγίῳ διὰ παντός. ὁ θαύμασι λαμπρύνας ἑσπέρια.

ѳ҃. Г.... ї҃. Т ... і҃в. Ἵλεως ἔσο μοι, πονοικτίρμων, ἐν ἡμέρα τῆς δίκης, ὅταν μέλλης, Χριστὲ, ἐταζειν τὰ πεπραγμένα μου. ῥῦσαι κολάσεως ἀνηκέστου καὶ βρυγμοῦ τῶν ὀδόντων καὶ τῆς γεέννης, τοῦ σοῦ λιταῖς ἀποστόλου καὶ ἱεροκήρυκος. αὐτὸν μεσίτην ἰκνοῦμαι, εὐσπλαγχνίαν τὴν σὴν ἐξαιτήσασθαι. εἰς σὲ γὰρ ἤλπισα, Ἰησοῦ, καὶ ἐν σοὶ προσερρίφην ἔκ μου μητρὸς, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ему же 2-го Творца.

p. 571. а҃.... в҃... г҃. Σὺ τοῦ πάνθηρος ἀκέστωρ τοῦ ψυχάρπαγος ἐγένου, Ἀνανία μέγιστε, τοῦ Βενιαμὶν, τοῦ φωτίσαντος κόρας τῶν ἐν ψυχῇ πηρῶν, πολύολβε, κοσμοεμπόρευτε. αὐτὸς τὰς ἡμῶν τοῦ νοὸς λεπίδας ἀπόξεσον, τοῦ βλέπειν τρανῶς τὰ θεῖα κάλλη. ἀξίωσον καὶ Παύλου ποίησον μιμητὰς τῷ ναῷ σου ψάλλοντας. διὸ ὑπὲρ ἡμῶν.

д҃. Μέγα κλέος ἐκληρώσω ἐν τῇ δύσει καὶ ἑῴα, Ἀνανία πρόκριτε, τῶν θεραπευτῶν κοσμολάλητε. ἐν σοὶ γὰρ πάντες ἀσθενεῖς ῥωννύμενοι πανηγυρίσουσιν. αὐτὸς τῶν παθῶν ἀλεξιτήριον πέφυκας, φρενήρεις ποιῶν τοὺς παραιτήσαντας οἴκαδε, καὶ σοὶ προσφεύγοντες, τερατουργὲ, θιάσῳ σου ἐπᾴδομεν. διὸ ὑπὲρ ἡμῶν......

29-го Генваря св. Священномученику Игнатію Богоносцу.

p. 571—573. Μηνὶ δεκ. к҃. τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου.. Κονδ. ἦχ. а҃. φέρον ἀκροστιχίδα. Ἆσμα.

а҃. Τὰ θερμότατα τῆς θεϊκῆς σου τόλμης, ἆθλα πυρπολούμενος ἐκ τῆς Θεοῦ ἀγάπης φέρων. τὴν ἀθεΐαν ἀπετέφρωσας, Ἰγνάτιε. θηρσὶ μὲν πλακεὶς, ἀποχωρεῖς ἐκ κόσμου. Χριστοῦ δε τυχὼν, τοῦ σοῦ ἔρωτος, χαίρεις, ἱεράρχα, ὁ ἀποστολικώτατος. ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

в҃. Αἰνόν σοι ἅπαντες ᾄδομεν τῷ θεοφόρῳ, ὡς διαδόχῳ ἀληθῶς τῶν ἀποστόλων. Ἰγνάτιε σοφὲ, σκεῦος ἐκλογῆς Θεοῦ ἱερώτατον θεότολμε ἀθλητὰ, ῥεῖθρον θεολογίας ἀέναον. σὺ ἐβύθισας αἱρετικῶν τοὺς θῆρας, καὶ ἀνέβλυσας ἡμῖν ποταμοὺς δογμάτων ὀρθοδόξων κόσμον ἄρδοντας. διὸ βοῶμεν σοι ᾀσματικῶς. Μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ, ἀλλὰ τῷ Κυρίῳ ὑπερ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

г҃. Σὲ ἠγκαλίσατο Κύριος παιδίον ὄντα, ἡνίκα μέσον ἔλαβεν τῶν ἀποστόλων, προβλέπων ὡς Θεὸς τούτοις τὸν ἐφάμιλλον δρόμον θέειν σε. σεπτὴ σου ἡ κορυφὴ, ὅτι θείας παλάμης ἠξίωται. ἀπεντεῦθεν γὰρ σὺ γνωρισθεὶς, τελείως ἀφιερώθης αὐτῷ τῆς Ἀντιοχέων προεδρεύσασθαι τῆς πόλεως. διὸ βοῶμεν σοι, ἱερουργὲ, μὴ......

д҃. Μέγας ἀνέτειλας ἥλιος ταῖς ἐκκλησίαις, ὥσπερ ἀκτῖνας (τηλαυγεῖς) ἐπιστολάς σου ἐκπέμπων πανταχοῦ, ζόφον ἐκδιώκουσας τῶν αἱρεσέων καὶ λαμπούσας τὸ σεπτὸν φέγγος τῆς εὐσεβείας, Ἰγνάτιε. ὡς ἀπόστολος γὰρ καὶ αὐτὸς ὁ μέγας κῆρυξ ὑπάρχεις, λαμπρῶς τοῦ εὐαγγελίου καταγγέλλων τὸ μυστήριον, διὸ... μὴ.....

є҃. Ἄνθρακα ἄϋλον κτώμενος Θεοῦ ἀγάπης ἐνεπυρίσθης τοῦ πιεῖν τὸ μαρτυρίου ποτήριον, σοφὲ, ὅθεν πρὸς τὴν ἄθλησιν ἐπειγόμενος ἐκραύγαζες τοῖς λαοῖς. Μήτις σφαγιασθῆναι κωλύσῃ με ὑπὲρ Χριστοῦ ὄντως τοῦ δἰ ἐμὲ θανόντος. ἐν προθυμίᾳ κἀγὼ μέλλω ἀποθνήσκειν, πίστιν φέρων τοῦ δεσπότου μου. Διὸ βοῶμεν σοι ᾀσματικῶς. Μὴ ἐπιλάθῃ..... ....

Св. Мученикамъ Конону и Аристею.

p. 574. Μηνὶ Ἰουλ. д҃. Κονδ. εἰς τοὺς ἁγίους μαρτυρ. τοῦ Χριστοῦ Κόνωνα καὶ τὸν υἱὸν αὐτοῦ. Πρὸς τὸ. τὴν ἐν πρεσβείαις.

а҃. Τὸν ἐν ἀσκήσει θερμότατον Ἀριστέα καὶ ἐν ἀγῶσι στερρότατον ἀθροφόρον Κόνωνα ἅπαντες εὐφημήσωμεν, ὅτι αὐτὸν ὁ κτίστης ὡς ἀγαθὸς ἐδόξασεν, ὁ μόνος ὑπάρχων παντοδύναμος.

в҃. Πρὸς τό. Τράνωσον. Ἀνευφημεῖν μέλλων, ὁ Θεός μου, τὸν πιστὸν σου οἰκέτην, ἱκετεύω τὴν σὴν ἀμέτρητον ἀγαθότητα, δοῦναι μοι λόγον εὐρύθμως φράσαι τὴν αὐτοῦ πολιτείαν καὶ ἀριστείαν, πῶς τὸν ἐχθρὸν τὸν δεινὸν ἕως τέλους ἐνίκησε, καὶ πάλιν εἴληφε χάριν παρὰ σου τεραστείων ὁ ἔνδοξος. πᾶσι παρέχεις ἀφθόνως γὰρ τοῖς πιστῶς αἰτοῦσι σε, δημιουργὲ, ὁ μόνος.....

г҃. Μέγας ἡμῖν ἐδείχθης, θεόφρον, ἐκ μητρικῶν γὰρ, Κόνων, ἀγκαλῶν τὸν Χριστὸν ἐζήτησας, ὦ θερμότατε, αὐτοῦ ἐργαζομενος θελήσεις. διὸ καὶ ἠξιώθης τερατουργῆσαι, ὡς καὶ αὐτὸς ἐν τοῖς θείοις εὐαγγελίοις βοᾷ. Ὁ ἔχων πίστιν βεβαίαν, ὃ ἐὰν ἐκζητήσῃ γενήσεται, ὃ καὶ ποιῶν ἐξετέλεσας θαυμαστὰ, ἐκβοῶν αὐτῷ. Δόξα σοι, ὁ μόνος...

δ. Ἅπαντες μὲν τῇ πλάνῃ οἱ πλάνοι ὑπέκυπτον, εἰδώλοις, ὡς θεοῖς, τὰς σπονδὰς προσάγοντες οἱ πανδείλαιοι. σὺ δὲ σοφώτατε καὶ γενναῖε, τῷ Χριστῷ σὺν τῷ θείῳ θαρρῶν υἱῷ σου, ὡς εὐσεβὴς καὶ σοφὸς, τοὺς ναοὺς εἰδώλων αὐτῶν κατέστρεψας, καὶ τὸ θεῖον τοῦ Χριστοῦ διὰ σοῦ ἐδοξάζετο, Κόνων πανόλβιε. Ὁ Θεός, ἐκβοῶν, πάντων ἀνθρώπων, δόξα σοι, ὁ μόνος......

23-го Генваря св. муч. Клименту и Агаѳангелу.

Кондакъ и 1-й икосъ есть въ Аѳонскомъ Кондакаріи, недостающіе слѣдующіе:

р. 576. γ. Σὺ βότρυς πᾶσι πρόκεισαι θεῖος, ἐξ ἀμπέλου Κυρίου ἀποστάζων ἡμῖν τὸ γλεῦκος τῶν ἰαμάτων σου, καὶ διὰ τοῦτο ἐληλυθότες εὐφραινόμεθα πάντες ἐπὶ τῇ μνήμῃ τῆς θαυμαστῆς καὶ ἁγίας σου, μάρτυς, ἀθλήσεως, τὴν μέθην τῶν παθημάτων ἀπορρίπτοντες πόρρω, ὡς βλάπτουσαν, καὶ καὶ τοὺς ἐπαίνους σου πλέκοντεσ οὕσπερ δέξαι, καὶ βλῦσον, πολύαθλε, εὐφραίνοντα........

δ. Μετ' εὐσεβείας ἐκ παιδιόθεν διαπρέπων ἐν βίῳ ἐκ μητρὸς εὐσεβοῦς, μητρὶ ἑτέρᾳ κατήντησας, χάριτι λαμπούσῃ καὶ σοφίᾳ, φερωνύμως τὴν κλῆσιν σου μετεχούσῃ, ἣ ὡς υἱὸν θρεψαμένη, Χριστῷ σε προσήγαγεν, ὡς θῦμα ἀβραμιαῖον, τῷ πυρὶ τῶν βασάνων ὀπτώμενον, σταυροῦ τὸ ξύλον βαστάζοντα ἐπὶ ὤμων, καὶ βρύοντα ἅπασιν εὐφραίνοντα οἶνον ταῖς ψυχαῖς ἡμῶν.

5-го Декабря св. Саввѣ.

р. 576—578. Μηνὶ δεκεμβρίῳ ε. τοῦ ὁσίου Πατρὸς ἡμῶν Σάβα Κονδ. ἦχ. β. πρὸς τό. Τῷ Θεῷ ἀπὸ μήτρας.

α. Ἐρασθεὶς ἐκ παιδόθεν τῆς εὐσεβείας, ἀνδρικῶς τοὺς ἀγῶνας καθυπεδύσω, τῆς ἐγκρατείας φυτεύσας παράδεισον, καὶ γεωργήσας τὴν πρᾶξιν ἀθάνατον, θαυματουργὲ πάτερ ἡμῶν διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β. Ἆσμα ᾄδωμεν κατὰ χρέως, οἱ λαοί, τῷ θείῳ Σάβᾳ, καὶ γὰρ δρόμον ἤνυσε τὸν ἀσκητικὸν ὁ θεόσοφος, κράτος γέγονε μοναστῶν, ταῖς ἀρεταῖς ἀπαστραπτόμενος, τὴν ὑπ' οὐρανὸν κατεφώτισε τοῖς θαύμασιν, ταῖς θείαις μοναῖς κατεκόσμησε τὴν ἔρημον, πατὴρ πατέρων γενάμενος, φυλάττει τοὺς ᾄδοντας. διὸ......

γ. Στερροψύχως παιδιόθεν ὁ σοφὸς τὸν σταυρὸν αἴρει, τῷ πόθῳ βαλλόμενος τοῦ Ἰησοῦ, κόσμον πέφευγεν, ἦλθεν, εὕρηκεν τὸ τερπνὸν κοινόβιον τῆς ἀσκήσεως. ἐν τούτῳ γυμνὸς τῆς ὑπάρξεως εἰσβέβηκεν, εὐθὺς ἐκμαθὼν το ψαλτήριον εὐνούστατα, κανόνα πάντα μοναχικόν, βοῶν πρὸς τὸν ἡγούμενον. Χριστὸν ὑπὲρ ὑμῶν.....

δ. Μειρακίσκος ἔτι πέλων, ἔργα γῆς ὁ θεῖος Σάβας, πλοῦτον καὶ εὐγένειαν, καὶ τὸ τρυφερὸν μὴ σκοπούμενος. δεῦτε, μάθωμεν ἐξ αὐτοῦ, ἀδελφοί, τὸ ταπεινόψυχον, ἡλίκον αὐτοῦ τὸ ἐγκρατείας κατόρθωμα, ουχ εἵλετο ὡσ ταῖς μηλοβρωτῆσαι, κἂν ἥψατο, ὡ αὔτως μάθωμεν τὶ προσεχές, κραυγάζοντες, ἐπᾴδοντες. διὸ ὑπὲρ.....

ε. Ανδρειότατ ις νεανίας ἀληθῶς σὺ ἀπεδείχθης ἐν τοῖς συμφοιτηταῖς σου, προὔχων ἅπαντας τοὺς ἑξήκοντα ἄλλαις πράξεσι, μεῖζον δὲ ὑπακοῇ καὶ ταπεινότητι. εἰς πῦρ εἰσελθὼν ἀκατάφλεκτος διέμεινας, ὡς δρόσον Χριστοῦ ἐν τῇ ψυχῇ σου δεξάμενος. τὸ θαῦμα βλέποντες, οἱ ἀδελφοὶ ἐκραύγαζον ἐπᾴδοντες. Χριστὸν ὑπὲρ....

ϛ. Ἐκτελέσας τὸν κανόνα τοῦ κοινοβίου. ἐπὶ μείζους ἄνεισι δόξας ἀρετῶν ὁ θεόληπτος. πόθον δέχεται ἐκ Θεοῦ ἡσυχίαν κατασπάσασθαι, ἀπαίροι λοιπὸν ἐν ὀπτασίᾳ ὁ δίκαιος λατρεύειν Θεῷ ἐν τῇ ἐρήμῳ, ὡς γέγραπται, λαβὼν ἐφόδιον τὴν εὐχὴν ποιμένος, πρὸς ὃν ἔκραξεν. Πρεσβεύων ἀπαύστως... ...

ζ. Ἰδὼν χαίρει ὃν ἐπόθει ἐκζητῶν ὁ θεῖοσ Σάβας, τὸν κλεινὸν Εὐθύμιον, καὶ σὺν δάκρυσι καθικέτευε. Πρόβατον δέξαι, ὦ ποιμὴν, καὶ σῶσον μέ σοι θεόπεμπτον. Πρὸς ὃν ὁ σοφὸν ἀπεκρίνατο Εὐθύμιος. Οὐκ ἔστι καλὸν ἐν τῃ Λαύρᾳ σε οἰκίζεσθαι. ἀλλ' ἴθι, ζῆσον κοινωνικῶς, και ψάλλε τῷ ποιμένι σου. Διὸ ὑπὲρ ἡμῶν....

η. Συνεισῆλθεν ὁ γενναῖος, κατέδυ ἐν ὑπηκόοις, τὸν σοφὸν Θεόκτιστον ἔχων ἔφορον, ὡς παράγγελον, πράττων ἄριστα ἐν αὐτῷ καὶ μέγιστα κατορθώματα, πρὸ πάντων φοιτῶν ἐν ἐκκλησίᾳ, καὶ ἔμπαλιν κτηνίτης λαϊκῶν, κατεδέξατο ἄτιμον, κομίζων ξύλα, ὑδροφορῶν, τῷ ποιμένι ἐκραύγαζεν. Διὸ ὑπὲρ.....

θ. Ὑπὲρ πάντων τῷ Κυρίῳ λιπαρῶν μὴ διαλείπῃς, τοῦ ἱεράρχου ἡμῶν, τῶν εκκλησιῶν καὶ τοῦ ἄνακτος, ὑπὲρ τούτου σου τοῦ μικροῦ ποιμνίου, Σάβα πανόλβιε, τοῦ εἰρηνικῶς τὴν ζωὴν ἡμῶν τελέσαντας. χωρῆσαι καλῶν ἐκ τῶν ἐνθένδε πρὸς Κύριον, κἀμοῦ μνημόνευε τοῦ πτωχοῦ ἐπαινέτου σου ἐπᾴδοντος. Διὸ υπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

Св. Феодору Стратилату.

р. 580. 581. ε. Νικηθεὶς ὁ ἐτάζων προσέταξε διωρίαν δοθῆναι τῷ μαρτύρι, ἀπατῆσαι ζητῶν δὲ τὸν δίκαιον. ἐπορεύθησαν θῦσαι τοῖς δαίμοσι, αὐτὸς διὰ τάχος ἐνεπύρισε τὸν ναὸν Ἀρτεμίδος αἰφνιδίως, καθελὼν τὰ σεβάσματα τῶν ἀσεβῶν, κραταιούμενος πνεύματι ὁ ἀθλητής, ὡς ἀήττητος.

ς. Ὅτε τῶν ἰοβόλων ἀκήκοεν, ὑπερζέσας θυμῷ ἀνεκραύγασεν, εἰσαχθῆναι τοὺς φίλους τοῦ μάρτυρος, ἰδὼν τὴν τῶν εἰδώλων εἰρήμωσιν. τῶν δὲ ἀχθέντων ἐν τῷ βήματι, ζοφεροὺς λογισμοὺς λέλεχεν ὁ πλάνος. πρὸς ἀδόκιμον νοῦν δελεάζων αὐτούς, κραταιῶς δὲ ἀντέστησαν τῷ δικαστῇ οἱ ἀήττητοι.

ζ. Σύννους ἦν τῷ θυμῷ ὁ παράνομος, καὶ ἐτρύχετο ἐπὶ τῷ ὁράματι, ὅτι πῶς ἡ θεὰ συναπώλετο τοῖσ ἀψύχοις εἰδώλοις αἰφνίδιον. σαφῶς οὖν ὁ θεόπνευστος, ρωμαλέος ὑπάρχων τῇ διανοίᾳ. ὃν ἰδὼν ὁ ἐχθρὸς ἐταράχθη πικρῶς, ἐννοῶν ἐνισχύοντα τὸν Ἰησοῦν, ὡς ἀήττητον.

η. Ὑμνῶ σε, ὦ περίφημε ἅγιε, τὸν ταχὺν εἰς βοήθειαν πάντοτε, τῇ ἐμῇ ταπεινώσει ἐπίβλεψον. οἶδα γάρ σε σπουδαῖον προκλήσεως. μὴ οὖν ἀπώσῃ με, ὦ πανεύφημε, ἀλλὰ δεῖξον ταχὺ ἐν ἐμοί, παμμάκαρ, τὴν θερμήν, δυσωπῶ, ἀντίληψίν σου. καὶ γενοῦ τοῖς ὑμνοῦσί σε τεῖχος ἀεί. ὡς ἀήττητος.

15-го Іюня св. мученику Виту.

р. 582. 583. Μηνὶ Ἰουνίῳ ιε. Κονδ. τοῦ ἁγίου μάρτυρος Βίτου, ἦχ. β. πρὸς τό. ὁ σοφίσας.

α. Ὁ ποιήσας τὰ σύμπαντα ὡς δυνατός, καὶ ἰσχύσας τοὺς ἁγίους σου ὡς ἀγαθός, τοῦ νικῆσαι τον δράκοντα, Χριστὲ ὁ Θεός. δι' αὐτῶν ἐλέησον τοὺς ἀνυμνοῦντας σε, καὶ τὴν ὀφρὺν κατάβαλε τῶν ἀθετούντων σε, ὁ μόνος ὑπάρχων παντοδύναμος.

β. Ὕμνον ἐπάξιον σοι προσφέρειν, ὦ Χριστέ μου, οὐ σθένω, ταῖς σειραῖς τῶν ἐμῶν ἁμαρτιῶν συσφιγγόμενοσ. ἀλλὰ μοι δίδου σοφίαν γλώττης, ὡς σοφίας ὑπάρχων πηγὴ καὶ φάος, ὅπως τοὺς σοὺς ἀθλοφόρους ὑμνήσας σωθήσομαι. αὐτὸς γὰρ εἶπας. οἰκτίρμων. Ἐκζητεῖτε ἐν πίστει, καὶ λήψεσθε. Διὸ ζητοῦντι δὸς, ὡς εἴρηκας, ἀψευδὴσ γὰρ ὑπάρχεις, φιλάνθρωπε, ὁ μόνος........

γ. Μνήμη δικαίων μετ' ἐγκωμίων γίνηται, ὡς ἡ Γραφὴ ἐκδιδάσκει ἡμᾶς, καὶ τούτων οὔπω σβεσθήσεται μνημόσυνον, στὰν εἰς τοὺς αἰῶνας, αἰωνίζων καὶ μένον εἰς τοὺς αἰῶνασ ὅθεν ἡμᾶς, ἀδελφοί, ἀνυμνεῖν τοὺς ἁγίους Χριστοῦ μὴ παύσωμεν, ὅπως τούτων ἱκεσίαις λαβόντες τὰ πρόσφορα τῆσ τε ψυχῆς ὁμοῦ καὶ σώματος. ἀνακράζωμεν. Κύριε, δόξα σοι, ὁ μόνοσ.....

δ. Ναὸς ἐφάνης, ὦ μακαριστέ, ὡς Ἠλίας ὁ μέγας, ἐκ παιδόθεν βιῶν ἐν ἀρεταῖς καὶ σεμνότητι, λατρεύων τῷ κτίστῃ παρὰ κτίσιν, καὶ μισῶν τοὺς τὰ εἴδωλα προσκυνοῦντασ. ὅθεν ἐχθρὸς ὁ πανώλης καὶ ὄντωσ παγκάκιστοσ ρημάτως πείθειν πειρᾶται κολακίαις. ἀλλ' ἔστης ἀκράδαντος, ἀδάμασ τε ὥσπερ ἀήττητοσ, τῷ Χριστῷ ἐκβοῶν. Βοήθει μοι, ὁ μόνος ὑπάρχων παντοδύναμοσ.

9-го Іюля св. мученику Панкратію.

р. 583—585. Μηνὶ Ἰουλίῳ. θ. Κονδ. τοῦ ἁγ. Παγκρατίου ἀρχιεπισκόπου Ταυρομένου, ἦχ. δ. πρὸς τό. Τὰ θεόβρυτα.

α. Τὰ ἡδύτατα τῆς μελουργοῦς σου γλώττης ἔπη λαμπρυνόμενοσ, ἐκ θεϊκῶν βολίδων πάντας τοὺς ἐν τῇ δύσει κατεφώτισας, Παγκράτιε, κηρύξας τρανῶσ τῆσ Τριάδοσ τὴν πίστιν, καὶ πᾶσαν ἀχλὺν εἰδωλικὴν ἐξάρας, τῶν οὐρανῶν ὁ ἱεραρχικώτατε. ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

β. Πρὸσ τό. Τέρπεται. Νοῦν καὶ διάνοιαν τῆσ ἐμπαθοῦσ ἰλύοσ ἐκ παιδόθεν ἐκάθαρασ, πρὸσ ὕψοσ ἤρθησ, Παγκράτιε σοφὲ, θείας ἀναβάσεωσ. ὅθεν εἴληθασ Τριάδοσ τῆσ παμφαοῦς γνῶσιν, ὁσιομάκαρ, τὴν ἔνθεον, δι' ἧσ φωταγωγεῖσ ἅπαντας, χριστόφρον, τοὺσ ἀθροισθέντασ πιστῶσ ἐν τῇ πρὸσ Θεόν σου ἐκδημίᾳ καὶ βοῶντασ σοι. Ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, μὴ επιλάθῃ.....

γ. Οἷον ἰσχύσειε στόμα σοι ἐγκωμιάσαι τῶν τεράτων σου τὴν πληθὺν, θαυματοκράτορ Παγκράτιε σοφὲ, ῥῆτορ ἀψευδέστατε τῆς θεότητοσ, συμμύστα τοῦ Ἰησοῦ, ἄστρον τῆσ οἰκουμένης πολύφωτον, τῶν ἀποστόλων ὁ ὀπαδὸσ μαρτύρων καὶ ἱερέων χαρὰ, κλέος τῶν ὁσίων καὶ μοναστῶν ἐγκαλλώπισμα. διὸ βοῶμέν σοι ἐκτενῶσ. Μὴ....

δ. Ὕμνοισ κλεΐζοντες σήμερον τὴν ἱερὰν σου καὶ παγκόσμιον ἑορτὴν τῆς ἐκδημίασ, ἀκέστορ φαεινὲ, θήκην τὴν τιμίαν σου ἀσπαζόμεθα, ἐν ᾗ τὸ μυροσταγὲς θεῖον τέ σου ἀπόκειται σκήνωμα, ὦ Παγκράτιε τερατουργέ. ἄκος οὖν οἱ ἐκ ποικίλων παθῶν δυσαλθῶσ σχεθέντεσ ἀρυόμενοι βοῶσί σοι, Ὁ ἐποπτεύων ἐξ οὐρανοῦ, μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ. .....

Ему же 2-го Творца.

р. 584. 585. Ἦχ. δ΄. πρὸς τό. Τῷ φαεινῷ. α̃. Τῆς ἀληθείας λάμψας τὸ φῶς ἐν τοῖς πέρασι, τῆς τῶν εἰδώλων πλάνης τὸν ζόφον ἐδίωξας, Παγκράτιε ἱερομάκαρ, τῶν Σικελῶν τὸ μέγα προσφύγιον, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἑορταζόντων προστάτα θερμότατε.

β̃. Πρὸς τό. Τὸν Θείῳ μύρῳ. Ἀξίους νίκης στεφάνους τὴν θείαν στεφανώσας κορυφήν, ὁ δι' ἡμᾶς καθ' ἡμᾶς πεπολιτευμένος, Λόγος ὑπάρχων τοῦ Πατρὸς ἀληθινὸς, ἅγιε Παγκράτιε, χορηγὸν σε τῶν καλῶν ἐπιστάμεθα πάντων. διὸ δίδου μοι λόγον ἐν ἀνοίξει τοῦ στόματος, σοφὲ, εἰς τὸ ὑμνεῖν σε ἀξίως, τῶν κινδυνευόντων προστάτα θερμότατε.

γ̃. Ἱεραρχίας τὸ χρίσμα δεξάμενος ἐκ Κυρίου, ὑπὲρ ἥλιον τὸ φῶς ἐπαστράψας ἐν πάσῃ κτίσει, πᾶσαν ἐνθέως περιέλαμψας τὴν γῆν, τίμιε Παγκράτιε, καὶ ἐφώτισας λαοὺς καθημένους ἐν σκότει καὶ σκιᾷ τοῦ θανάτου, συνεργοῦντας ἐν πᾶσι σοι Χριστοῦ, τοῦ δι' ἡμᾶς μυρωθέντος τῶν κινδυνευόντων....

7-го Мая св. мученику Дометію.

р. 585. 586. Μηνὶ μαΐῳ ζ̃. τοῦ ὁσίου μάρτυρος Δομετίου κονδάκιον ἦχ. β̃. α̃. Πρὸς τῷ θεῷ ἀπὸ μ... Ὑψωθεὶς, ἱεράρχα, τῇ ταπεινώσει, καὶ δειχθεὶς πελεμήτωρ τοῖς ἐναντίοις, τῶν γὰρ δαιμόνων κατέβαλες φάλαγγας, καὶ τῶν ἀγγέλων συνόμιλος γέγονας, ὁσιομάρτυρος Δομέτιε, Χριστὸν ὑπὲρ ἡμῶν δυσώπει, πανθαύμαστε.

β̃. Πρὸς τό. Τὸν φωτιστῆρα. Ψευδοχρίστου ὢ μανίας τοῦ σατᾶν! πῶς τοὺς ἁγίους πολεμεῖν οὐ παύεται, πάντοτε αὐτὸς καθηττώμενος; θέλων λάθρα γὰρ τοῖς ἀνδροῖν χειρώσασθαι, οὗτος τιτρώσκεται. Διὸ καὶ βοῶν πρὸς Δομέτιον, ἔλεγε. Πορέυου αὐτὸς, τούτους δὲ ἄφες συνεῖναί μοι. Οἱ δὲ ἐκραύγαζον μετ' οἰμωγῶν τῷ ὁσίῳ εὐνουστότατα. Χριστὸν ὑπὲρ ἡμῶν δυσώπει, πανθαύμασθε.

γ̃. Ἀνακλίνας τὸν αὐχένα ἑαυτοῦ τῇ γῇ, ἐβόα ὁ ἐσθλὸς Δομέτιος πρὸς τὸν λυτρωτήν. Δεῖξον, δέσποτα, πτῶσιν δαίμονος τοῦ δεινοῦ πλανήτορος, σῶτερ. Τὸ τάχιον ἠχῆς δὲ βροντῆς γεγονυίας, ἠλάλαξεν ὁ δαίμων βοῶν. Οἴ μοι! ἐντεῦθεν διώκομαι. Διὸ γηθόμενοι οἱ πορισταὶ. τῷ ὁσίῳ ὑπέψαλλον. Χριστόν.....

δ̃. Λυτρωθέντες τῆς ἀπάτης τοῦ ἐχθροῦ οἱ ὁδοιπόροι, τὸν Θεὸν ἐδόξαζον, καὶ τὸν ἀσκητὴν ἐμκάρυζον, ὅθεν ἤρξατο νουθετεῖν αὐτοὺς χρηστὰ ὁ παναοίδιμος. Μηδὲν ἐξειπεῖν. ἀδελφοί μου, θελήσετε ἃ εἴδετε νῦν. οὐ γὰρ συμφέρον ἐστὶν ὑμῖν. ἀλλ' οὖν ἀπέλθωμεν ἐν τῇ μονῇ τῶν ἁγίων ἐπᾴδοντες. Χριστόν....

11-го Февраля св. Священномученику Власію.

р. 586. 587. Μηνὶ φεβρ. ιᾱ. Κονδάκιον τοῦ ἁγίου Ἱερομάρτυρος Βλασίου. ἦχ. κ̃. Πρὸς τό. Τοῖς τῶν αἱμάτων σου ῥείθροις Δημήτριε.

α̃. Τῇ τοῦ ἀμέμπτου σου βίου λαμπρότητι τὴν ἐκκλησίαν νῦν ὅλην ἐφαίδρυνας. Χριστὸς γὰρ τὴν χάριν ἐβράβευσεν, ὁ δοὺς σοι τὴν δόξαν ἀθάνατον, διόπερ καὶ στέφει σε κατεσκόμησε.

β̃. Πρὸς τό, Τράνωσον. Χάριν μοι δώρησαι οὐρανόθεν, Ἰησοῦ ὁ Θεός μου, ὁ ἀρρήτῳ βουλῇ τὰ πάντα λόγῳ πηξάμενος (σὺ γὰρ ἐι πάντων ἡ προμηθεία, σὺ καὶ λόγου τὸ πέρας σαφῶς προσνέμεις), ὅπως τὸν σὸν ἀνυμνήσω πιστῶς νυνὶ Βλάσιον. μέγας γὰρ τῇ ἐκκλησίᾳ ἱεράρχης ἐξέλαμψεν ἔνθεος. διὸ λιταῖς αὐτοῦ, εὔσπλαγχνε, τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον. διόπερ καὶ στέφος ἐκομίσατο.

γ̃. Ἄνθος ἀνέτειλεν ἐν ἀκάνθαις τῆς εἰδωλομανίας, ὁ φωσφόρος ἀστὴρ καὶ μέγας ὄντως πατὴρ ἡμῶν. βίον γὰρ μέγαν τὸν τῶν ἀγγέλων ἐν ἀσκήσει τελέσας τοῖς πᾶσιν ὤφθη, διὰ Χριστὸν τὸν ποθούμενον, ὃν νῦν καὶ εὕρατο, τῇ πράξει καὶ θεωρίᾳ τὸν Ἰὼβ ἐκμιμούμενος ἔχαιρε, διὸ καὶ ὡς ἄκακος ἀριστεὺς ἀκακίᾳ συζήσας ὑπέτυχε, διόπερ..

δ̃. Ῥεῖθρον ζωῆς ἐδείχθης ἐν ὄρει, τοὺς πιστοὺς καταρδεύων καὶ νασύσαις πηγαῖς τὰς διανοίας ζωοποιῶν. ξένον γὰρ θαῦμα νῦν κατωράθη, πάντα λόγον νικῶν διανόημά τε. ἄγρια γὰρ ζῶα τῷ ποιμενάρχῃ ἐπέλαζον, καὶ ὥσπερ ἐν ἰατρείῳ λογικῶς τὰς ἰάσεις ἐλάμβανον, ὡς τῆς χάριτος πληρούμενα τοῦ Θεοῦ συνεργείᾳ, ὡς γέγραπται, διόπερ.

ε̃. Εἶδον ὃ εἶδεν πάντα ὁ βλέπων, πρὶν γενέσθαι τὸν κόσμον, τὴν ἑκάστου βουλὴν σαφῶς γινώσκει ὁ Κύριος. ἄνωθεν τούτῳ χειροθετεῖται, καὶ τοῦ θρόνου τῆς πόλεως Σεβαστείας σοφώτατον ἀρχιποιμένα ἀναδείκνυσιν. ὁ δὲ γε εἵλετο μᾶλλον ἐν ἐιρήμοις καὶ ὄρεσιν ἔσεσθαι, εὐχὰς ἐκπέμπων Χριστῷ τῷ Θεῷ, τῷ τὰ κρύφια βλέποντι ἀληθῶς. διόπερ καὶ στέφος ἐκομίσατο.

18-го Іюля св. муч. Емиліану въ Аөонскомъ Кондак. есть Конд. и два икоса, а недостающій слѣдующій:

p. 588. ǀ҃д. Ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου ἐλλαμφθεὶς τῇ καρδίᾳ ὁ πιστὸς ἀθλητής, τοῦ βίου πᾶσαν ἐμίσησεν δόξαν ματαίαν, Χριστὸν δὲ μόνον ἐπεπόθει ἰδέσθαι, τὸν ἐκ Παρθένου, δούλου μορφὴν δι' ἡμᾶς περιθέσθαι ἑλόμενον, δουλείασ δὲ τῶν εἰδώλων καὶ φθορᾶς τοῦ θανάτου ῥυσάμενον Ἀδὰμ τὸν πρὶν παρακούσαντα, καὶ τοῖς πίστει αὐτῷ ἀνακράζοντας. Οὐδεὶς......

11-го Августа св. мученику Евплу.

p. 590 — 592. Μηνὶ αὐγ. ιβ҃. Κονδ. τοῦ ἁγίου Εὔπλου. ἦχ β҃. Πρὸς τό. Τῷ θεῷ ἀπὸ μ.

α҃. Ἱερῶς ἐναθλήσας ὑπὲρ Τριάδος, ἰατρὸς ἀνεδείχθης τῶν ἀσθενούντων τοὺς γὰρ ἐν πίστει καὶ πόθῳ προστρέχοντας ἐν τῷ ναῷ σου ἰᾶσαι ἑκάστοτε. εὖπλε, μάρτυς σοφώσατε. Χριστὸν ὑπὲρ ἡμῶν δυσώπει, πανθαύμαστε.

β҃. Πρὸς τό. Τὸν φωστῆρα. Τὴν τὰ πάντα ἐν μὴ ὄντων εἰς τὸ εἶναι ἀγαγοῦσαν σέ, Τριάς, ἐκδυσωπῶ ὁ πανάθλιος λύσιν δοῦναί μοι τῶν πολλῶν μου ἁμαρτιῶν, ὧν ἐπλημμέλησα ὁ ἄσωτος, ἵν' ἐκ καθαρᾶς καρδίας ᾄσω ἱκέσιον ᾠδὴν ἐκτενῶς Εὔπλῳ τῷ ἱερομάρτυρι, σὺν τοῖς προστρέχουσιν ἐν τῷ ναῷ αὐτοῦ πίστει, καὶ μέλπουσι. Χριστὸν ὑπὲρ ἡμῶν δυσώπει, πανθαύμαστε.

γ҃. Ὁ γὰρ λόγοις τεθραμμένος ἱεροῖς, ἐν τῷ χειμῶνι τῆς εἰδωλολατρείας, Καλουισιανῷ ἐξελήλυθεν Εὔπλος λέγων. Ὁ τοῦ Θεοῦ ἐγώ εἰμι, ὦ παράνομε. Κεκράτηται δὲ ὑπ' αὐτοῦ, θύειν τοῖς κτίσμασι, καὶ τὰς ἱερὰς βίβλουσ προδοῦναι τοῦ καίεσθαι. Ὁ δέ φησιν. Οὐ δίδωμι αὐτάς. Ὦ μέλπωμεν πάντεσ πιστοί, Χριστόν.....

δ҃. Ὑπεισέδυ ὁ Βελίαρ ἐν νοΐ τοῦ ἀνθυπάτου τούτου Καλουισιανοῦ, καὶ τὸν ἅγιον ἐμαστίγωσεν, ὅτε ἤκουσε παρ' αὐτοῦ τοὺς θείους λόγους ὁ παγκάκιστος. Ὁ δὲ τοῦ Θεοῦ θεράπων πάντα ὑπέμεινε, βοῶν πρὸς αὐτόν. Οὐδὲν ἀντάξιον, ἄθλιε, ὧν ἐπιφέρεις μοι τῆς οὐρανῶν βασιλείασ. Ὦ κράζομεν. Χριστόν......

ε҃. Ὢ σοφίας τοῦ ἁγίου Εὔπλου! ὡς τὸ αὐτοῦ σῶμα προδιδόναι εἵλετο μᾶλλον ἢ τὴν πίστιν ἀρνήσασθαι, οὕτως ἔθηκε τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ ἐκχύσαντος τὸ αἷμα αὐτοῦ ὑπὲρ ἡμῶν ὁ πανίερος, καὶ ἐξ οὐρανοῦ νίκης βραβεῖα ἐδέξατο. αὐτὸν αἰνέσωμεν οἱ γηγενεῖς, προσκυνοῦντες καὶ λέγοντες. Χριστόν.....

ѕ҃ Λόγοις ποίοις ἐγκωμίων ἐπαινέσομεν σου, μάρτυς Εὖπλε, τὰ παθήματα, ἢ τοὺς πειρασμοὺς ἢ τὰ φόβητρα, αὖθις πάλην τὴν τῶν δεινῶν κολακευμάτων, καὶ τὰ ἔνεδρα Καλουισιανοῦ, καὶ τῶν τυμμάτων τοὺς μώλωπας, οὓς καρτερικῶς ὑπὲρ τῆς πίστεως ἤνεγκας; διὸ ἑστῶτές σου ἐν τῷ ναῷ ἀντὶ πάντων βοῶμεν σοι. Χριστόν....

ζ҃. Ὁ τοῦ σκότους ὑπηρέτης πολυτρόπως βασανίσας, νοῦν τὸν ἀδαμάντινον Εὔπλου τοῦ σοφοῦ οὐ κατέκαμψεν, ὅθεν πρόσταγμα τεθεικὼς τούτου τὴν κάραν ἀπέτεμε. Θεὸς δὲ λαβὼν αὐτοῦ τὸ πνεῦμα κατέταξεν ἐν τοῖσ οὐρανοῖς σὺν ἱερεῦσι καὶ μάρτυσιν. αὐτῷ προσπέσωμεν ὡς νικητῇ τοῦ Βελίαρ. ἐπάδοντες. Χριστόν....

η҃ Ὑπὲρ κόσμου τὸν σωτῆρα, Εὖπλε μάρτυς, ἐκλιπάρει; ὑπὲρ βασιλέων τε καὶ τῶν μοναστῶν ἱερέων τε, ἅμα καὶ ὑπὲρ τῶν σεπτῶν ἐκκλησιῶν καὶ ὑπὲρ πίστεως. Ποιεῖ γὰρ ἀεὶ τῶν φοβουμένων τὸ θέλημα αὐτόν, ὡς Θεός, καὶ τῆς δεήσεως τάχιον ἀκούει, ὡς πάντων δημιουργός. ὅθεν πάντες βοῶμεν σοι. Χριστὸν ὑπὲρ ἡμῶν δυσώπει, πανθαύμαστε.

22-го Генваря св. Анастасію Персскому.

p. 492—594. Μηνὶ Ιαν. κβ҃. τοῦ ἁγίου Ἀναστασίου τοῦ Πέρσου. Πρὸς τό. Τῷ φαεινῷ.

α҃. Ἐκ τῆς Περσίδος ἄστρον ἐκλάμψας ἀείφωτον, τοῦ νοητοῦ ἡλίου τὸν δρόμον ἐξίχνευσας Ἀναστάσιε θαυματοκράτορ, ὁ ἀθλητῶν κοσμήσας τὸ θέατρον, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν φιλομαρτύρων προστάτα θερμότατε.

β҃. Πρὸς τό. Τῷ θείῳ μύρῳ. Τὰ δῶρα πάλαι οἱ Μάγοι προσήγαγον τῷ δεσπότῃ ἐν τῇ πόλει Βηθλεέμ, ἐκ Περσίδος γῆς ἐπιστάντες. νῦν δὲ ὁ μάρτυς τῶν αἱμάτων τοὺς κρουνούς, μύρα ὡς πολύτιμα, ἀφ' οὗ ἕκαστος πλουτεῖ παροχὰς τῶν θαυμάτων, ἀμοιβὰς ἰαμάτων, εἰς ψυχῶν καὶ σωμάτων ἀρωγήν, πρὸς ὃν οἱ πάντες βοῶμεν. Πρέσβευε ὑπὲρ ἡμῶν, τῶν φιλομαρτύρων.........

γ҃. Ὁρμῶσαι φράσαι σχεδίως τὰ ἆθλα καὶ τοὺς ἀγῶνας, οὓς προσήνεγκας Θεῷ ἐκ μικροῦ σε ἀποσεμνύνων. κἀμοὶ παράσχου τὸν τοῦ λόγου πυρισμόν. Θεῖε Ἀναστάσιε, αὐτὸς δίδου τὰς ἀρχάς, τράνωσον μου τὴν γλῶτταν, καθαρόν μου τὸ πνεῦμα ταῖς ἀκτῖσι σεπτῶν σου προσευχῶν, εἰς τὸ ὑμνεῖν σε ἀξίως, τῶν φιλομαρτύρων........

δ. Ὑπῆρξε ξένη ἡ κλῆσις, ἣν ἔσχες θεόθεν, μάκαρ. ὁ γὰρ τίμιος σταυρὸς ἐπιλάμψας σοι ἐν Περσίδι, ἦρεν ἐκ σκότους ἀσεβείας πατρικῆς. θέμενος ὡς ἥλιον τοῦ βαπτίσματος Χριστοῦ, υἱὸν φωτός σε γνωρίσας, τέκνον Θεοῦ ἐκφάνας, ζηλωτὴν ἀληθῶς ἔργων καλῶν. διό σοι πάντες βοῶμεν. τῶν φιλομαρτύρων.......

ε. Σὺ αἴρεις δόξαν ἐν δόξῃ. εὐθὺς γὰρ μετὰ τὴν χάριν ἄλλον δέχῃ φωτισμὸν τοῦ μονήρους βίου, θεόφρον, ἔν τε ἀσκήσει καὶ τὰ ἐξ ὑποταγῆς σκάμματα, πυκτεύματα, ἐξ ὧν λάμψας ἀρεταῖς, προὔχεις αὐτοὺς συνάθλους, ὑπαστράπτεις τὰ μείζω, καὶ δηλώσας τὰ ἑξῆς θαυμαστικῶς εἰς τὸ υμνεῖν σε ἀξίως. Τῶν φιλομαρτύρων... .

ς. Οὐ στέργων, μάκαρ, τὸν πόθον, ἐξῄεις ἀπὸ τῆς μάνδρας, τὸ ἀρνίον τοῦ Χριστοῦ μαχησόμενος πρὸς τοὺσ λύκους. ξένον τὸ θαῦμα! πρὸς τοὺς θῆρας ὁ ἀμνὸς οὐ πτήσσεις ἐρχόμενος, (ἀλλὰ μέγας ὁ ποιμὴν, Κύριοσ γὰρ ἁπάντων) οὕτως τελεῖν θαρρήσας, ἐθελόθυτος ἐγένου προσφορά. διὸ ἐπᾴδων βοῶ σοι. Τῶν φιλομαρτύρων προστάτα θερμότατε.

9-го Генваря св. Муч. Поліевкту, въ Аѳонскомъ Конд. нѣтъ 1-го икоса, а 3-й, хотя, есть, но не тотъ.

p. 594. 595. α. Πρὸς τό. Τῇ Γαλιλαίᾳ ἦχ. δ'. Ἐν Ἰορδάνῃ ποταμῷ ὁ κτίστης τῶν ἁπάντων, τὴν κάραν ὑποκλίνας, τὸ βάπτισμα λαμβάνει, καὶ τῶν δρακόντων κεφαλὰς ἀοράτως θλάσας, ῥώμην παρέσχε βροτοῖς κατὰ τοῦ μεγαλόφρονος, τοῦ πρὶν ἐν παραδείσῳ πτερνίσαντος τὸν Ἀδὰμ, ἐν βρώσει τῇ τοῦ ξύλου, καὶ θανάτῳ ὑποβαλόντοσ αὐτὸν παρ' ἐλπίδα. διὸ ὁ ἀθλητὴς νυνὶ Πολύευκτος κολακείαις γυναικὸς μὴ ὑποκύψας, ἤθλησε στερρῶς, προτείνασ τὴν κάραν, ἥνπερ ἀποτμηθεῖσα τὸν δόλιον ᾔσχυνε. (Въ Аѳонскомъ оканчивается ἀποτμηθεῖσα ὁ δόλιοσ).

γ. Ὅλην τὴν ἔφεσιν αὐτοῦ ὁ μάρτυς κεκτημένος, τρυφὴν πρὸς τὴν ἀγήρω, ἀπερρίψατο πάσας τὰς ἐν τῷ βιῷ ἡδονὰς καὶ σαρκὸς μαράνας, τὰς περιφλέκτους ὁρμάς. τὸ πῦρ οὐκ ἐδειλίασε τὸ αἰσθητὸν καὶ δόλιον ὑπάρχον, μᾶλλον δὲ τὸ μέλλον ἐφοβεῖτο, ὃ ἐσθίει, ὥσπερ χόρτον, τοὺς ἐξαρνουμένους. τὸ ὄνομα Χριστοῦ, καὶ προσκυνοῦντασ τῶν ἀψύχων τὰς μορφὰς, καὶ μὴ νοοῦντας τί ἐστι Θεὸς, ὁ βαπτισθεὶς ἐν Ἰορδάνῃ. καὶ στεφανώσας τὴν κάραν του μάρτυρος.

23-го Апрѣля св Великомученику Георгію.

p. 596. 598. α. Πρὸς τό. Ὁ ὑψωθείς. Ἐν τῇ δυνάμει σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐν ταῖσ βασάνοις κραταιὸσ ἀνεδείχθη ὁ γενναῖος ἀθλοφόροσ καὶ μάρτυσ σου, ὅθεν καὶ τὴν πάνσεπτον καὶ φαιδρὰν αὐτοῦ μνήμην πιστῶσ ἑορτάζομεν, ἐκτενῶσ σοι βοῶντες. Ὦ φιλοικτίρμον, μόνε, ἀγαθὲ, πᾶσι παράσχου πταισμάτων συγχώρησιν.

β. Εὐχαριστήριον ᾠδὴν, προσκύνησιν καὶ δόξαν προσοίσωμεν Κυρίῳ, τῷ ποιητῇ τῶν ὅλων καὶ λυτρωτῇ ἡμῶν Θεῷ. σήμερον γὰρ πᾶσιν ἐξανέτειλεν ὡς φῶς, διὰ τῆς αὐτοῦ χάριτοσ, ἡ μνήμη Γεωργίου τοῦ μάρτυροσ, πάντασ συγκαλοῦσα, νοητῶσ τῶν φιλεόρτων φωτίζουσα νῦν τὰς διανοίας. διο οὖν καὶ ἡμεῖς ἀπαύστως ὑμνοῦμεν μελῳδοῦντεσ τὰς αὐτοῦ μεγαλουργίας. νῦν γὰρ ἐφορᾷ ἀπουρανόθεν ὁ κτίστης, πᾶσι παρέχων πταισμάτων συγχώρησιν

γ. Ἰδοὺ πανήγυρις ἡμῖν ἐπέστη τοῖς ἐν πίστει συντρέχουσι τοῖς πόνοισ, τοῖς κόποις καὶ ἐπαίνοις νῦν Γεωργίου τοῦ σοφοῦ. οὗτινος τοὺς ἄθλους ἐξανοίγω ἐν ὑμῖν, ἐπάγων καὶ ῥωννύμενος. Ἀλλ' ὦ ἱεροσύντακτον ἄθροισμα, ἄνοιξον τὰ ὦτα καὶ τὰ ὄμματα, ἐν τῇ ταύτῃ τῇ ἐνθέῳ νῦν ἐκδιηγήσει. πτοοῦμαι γὰρ μήπως φανῶ ὡσ ὁ δοῦλοσ ὁ τὸ τάλαντον εἰς γῆν ἐγκατακρύψας, καὶ κατακριθῶ διὰ ἐμῆς ἀμελείας. ἀλλ' ἵνα εὕρω τὸν ἄφθαρτον στέφανον.

δ. Ῥωμαλεότητι φρενῶν καὶ πίστεως ἐλπίδι, τῷ τοῦ σταυροῦ σημείῳ αὐτὸν περιτειχίσας, καὶ ἀνωθήσας πρὸσ Θεὸν νοῦν καὶ τὴν καρδίαν, ἀναλάμψας ὡς ἀστὴρ, καὶ ὥσπερ στῦλος ἄτρεπτος, ὁ τοῦ Χριστοῦ ὁπλίτης Γεώργιος, στὰς ἐν τῷ σταδίῳ ἐπὶ πάσης τῆς συγκλήτου ἀνέκραγε. Χριστιανὸς ὑπάρχω, πιστῶς ὁμολογῶν Τριάδα ἁγίαν, ἐν θεότητι μιᾷ προσκυνουμένην, εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἵνα καὶ λάβω τὸν ἄφθαρτον στέφανον.

ε. Ἰδὼν ὁ σύμβουλος εὐθὺς τοῦ ἄνακτος καὶ φίλος Μαγνέντιος τὰς ῥήσεις, ὡς λέων ἐκπηδήσασ, ἐβόα πρὸσ τὸν ἀθλητήν. Τίσ ὑπάρχεις; δεῖξον, τίσ πέλων τῷ βασιλεῖ τὰ τοιαῦτα ἀποφθέγγεσαι; πρὸς αὐτὸν δὲ ὁ μάρτυς ἀντέφησε. Τὸ ἐπιτεθὲν μοι εν τῇ θείᾳ κολυμβήθρᾳ, Γεώργιοσ κέκλημαι, καὶ γνῶθι. τὸ τέλειον δὲ νῦν Χριστιανὸσ τυγχάνω, βδελυττόμενος τὰ σὰ ἀκίνητα εἴδωλα. Πτύω τοὺς ὑμῶν θεοὺς, ἐλπίζων λαμβάνειν ἐκ τοῦ Χρίστοῦ μου τὸν ἄφθαρτον στέφανον.

ς. Τὸν ὑπὲρ κόσμου τῆς ζωῆς τὴν ψυχὴν αὐτοῦ θέντα, Χριστὸν τὸν βασιλέα ποθῶν, ὁ στρατιώτης σπεύδει θανεῖν ὑπὲρ αὐτοῦ. ζῆλον μέγαν θεῖον ἐν καρδίᾳ ἐσχηκὼς, αὐτῷ αὐτὸν προσήγαγε. Τοῦτον δὲ οἱ πάντεσ τὸν

Γεώργιον ὡς θερμὸν προστάτην ἀνυμνήσωμεν ἐν πίστει, ὡς ἔνδοξον ὄντα Χριστοῦ δοῦλον, μιμούμενον σαφῶς τὸν ἴδιον δεσπότην, τὸν ἑκαστότε αὐτῷ ἐπιφοιτῶντα. σπεύδει οὖν ἀεὶ αἰτούμενος τὸν σωτῆρα πᾶσι δοθῆναι πταισμάτων συγχώρησιν.

ζ. Ὑπὸ τοῦ πόθου τοῦ Χριστοῦ ὁ πιστὸς οὗτος μάρτυς ζέων τότε τῇ πίστει, ὡς ἔφην, καὶ ἐκδίδει ἑαυτὸν καὶ καταφρονῶν κόσμου καὶ ἀξίας ἡγεμόνος τε τιμῆς καὶ πάσης ἄλλης σχέσεως, καὶ τρέχει ἀφνιδίως, καὶ τὴν θεὰν Ἄρτεμιν ἐμπρήσας, ἀνεβόα τοῖς ὁρῶσιν. Ἐγὼ Χριστῷ θύω καὶ λατρεύω, πληγάς τε καὶ ποινὰς ὑμῶν οὐ πτοοῦμαι. ἀλλὰ σῶμα τὸ ἐμὸν ὑπὲρ Χριστοῦ μου δίδωμι ὑμῖν, αὐτὸν ἐπείγομαι φθάσαι πᾶσι διδόντα πταισμάτων συγχώρησιν.

26-го Генваря св. Ксенофонту и дружинѣ его

p. 598. 599. α. Πρὸς τό. Ἐπεφάνης, ἦχ. δ. Τὴν τοῦ βίου θάλατταν διαφυγόντες Ξενοφῶν ὁ δίκαιος σὺν τῇ συζύγῳ τῇ σεπτῇ, ἐν οὐρανοῖς συνευφραίνονται μετὰ τῶν τέκνων Χριστὸν μεγαλύνοντες.

β. Πρὸς τό. τῇ Γαλιλαίᾳ. Ξένην ὁδὸν θεοπρεπῶς, Ξενοφῶν, διοδεύσας μετὰ καὶ τῆς συζύγου, ἐλάθετε τὴν φύσιν, ὥσπερ ἀσώματοι σαφῶς ἐν τῇ γῇ ὀφθέντες. διὸ καὶ πύλαι ὑμῖν οὐράνιοι ἠνοίγησαν, καὶ μετὰ τῶν ἀγγέλων χορεύετε, ὡς τοῦ ἀμπελῶνος γεγονότες οἱ ἐργάται. διὸ προσπίπτω ὑμῖν ἱκέτης, πρεσβεύσατε Χριστῷ δωρήσασθαι αἴγλην φωτισμοῦ τῇ ζοφερᾷ ὄντως ψυχῇ μου, ὅπως τὴν ὑμῶν μέλψω μνήμην φωτοφόρον. μετὰ τῶν τέκνων Χριστὸν μεγαλύνοντες.

γ. Ἐπὶ τῶν ὤμων τὸν σταυρὸν λαβόντες τοῦ Κυρίου, προσήλθετε προθύμως αὐτῷ, δι᾽ ἐγκρατείας ἀγωνισάμενοι στερρῶς, ξυνωρὶς ἁγία ζεῦγός τε θεόλεκτον, Ἀρκάδιε πανόλβιε, σὺν Ἰωάννῃ θείῳ, καὶ ἅπασαν τοῦ ἐχθροῦ μανίαν καθελόντες, στεφανῖται ἐδείχθητε σὺν τοῖς θεοφόροις γονεῦσι, καὶ Θεῷ ἀεὶ παρεστῶτες, καὶ τῆς δόξης καὶ χαρᾶς τούτου τρυφᾶτε ἔνθα οἱ χοροὶ ἀγάλλονται τῶν δικαίων, μετὰ τῶν τέκνων.....

δ. Νεοφανὴς ὡς ἀληθῶς, Ξενοφῶν θεοφόρε, Ἰὼβ ἐν τῇ ἀθλήσει, τὰ τέκνα ἀπολέσας, ὥσπερ ἐκεῖνος ἐν τῇ γῇ, πίστει δὲ ὡς τείχει περιτειχίσας ψυχὴν τὴν σήν, οὐδ᾽ ὅλως ἴσχυσεν ὁ δόλιος συλῆσαι τὴν ἔνθεον ἀρετήν σου, ἥνπερ ἐκπαιδόθεν ἐπεδείξω σὺν γαμετῇ τῇ σωφρονεστάτῃ. διὸ καὶ ὁ Χριστὸς ἐξ ὕψους προβλέπων τὴν στερρὰν ὑπομονὴν τῶν ἀμφοτέρων, ἔδειξεν ὑμῖν τὰ τέκνα, ὡς ἠβουλήθη, ἀκαταπαύστως Χριστὸν μεγαλύνοντα.

9-го Марта св. 40. мученикамъ Севастійскимъ въ Аѳонскомъ Кондакаріи Конда къ не тотъ, а съ 7-го икоса по счету Г. Питры, до конца недостаетъ.

p. 599—603. α. Χαίροις, ὁ στρατὸς τῆς δόξης τοῦ βασιλέως. χαίρετε, φαιδροὶ φωστῆρες τῆς εὐσεβείας. ἐκκλησίας, χαίρετε, ὦ φρουροὶ ἀσφαλεῖς. βασιλέων κλέος, χαίρετε, πολιτείας πύργοι, χαίρετε. ἀθληταὶ οἱ τεσσαράκοντα, ἐν τῇ μνήμῃ τῇ ὑμῶν, οἰκτείρατε ἡμᾶς.

ζ. Ποῖον στόμα ἀρκέσει πρὸς εὐφημίαν; ποία γλῶττα ἰσχύσει ἐγκωμιάσαι τοὺς ἁγίους μάρτυρας, τοὺς λιπόντας τὴν πρόσκαιρον δόξαν διὰ τὴν μέλλουσαν, τοὺς ἀποχωρισθέντας ἀπὸ τοῦ διαβόλου, κολληθέντας τε πίστει τῷ σωτῆρι ἡμῶν. τοὺς ἀποσπασθέντας πάσης ἀπὸ ἁμαρτίας, καὶ συναφθέντας δικαιοσύνῃ. τοὺς ἀπροσίτους ἐν τοῖς ἐπαίνοις. τοὺς ἅπασαν τὴν ἤπειρον τῆς πλάνης ἀπαλλάξαντας, καὶ δόγματα ὀρθόδοξα κηρύξαντας τοῖς πέρασι. τοὺς στρατιώτας τοῦ Χριστοῦ, τοὺς ὑπὲρ τῶν εὐσεβῶν προμαχοῦντας ἀεί, καὶ θερμῶς τοὺς τοῦ Θεοῦ πολεμοῦντας ἐχθρούς. οἷς δεδώρηται αὐτὸς δόξαν ἐκ τῶν οὐρανῶν καὶ στεφάνων πληθύν;

η. Ε.... θ. Ἰσχυροὶ ἐν πολέμοις ἀναδειχθέντες, ἰσχυροὶ ἐν τοῖς ἄθλοις ὤφθησαν αὖθις ἄγαν οἱ πανόλβιοι. οἱ πολλοὶ καὶ διάφοροι, εἷς δὲ ὄντες ἐν ἅπασι. ἓν θέλημα δὲ τούτοις ἐν μιᾷ ὁμονοίᾳ, λατρεύειν ὁλοψύχως τῷ τῶν ὅλων Θεῷ. ὁμόφρονες ὄντες, καὶ ὁμογνώμονες ὄντως, ὁμοῦ τὴν πλάνην ἀπολιπόντες, ὁμοῦ ταῖς στρέβλαις ἐγκαρτεροῦντες, ὁμοῦ καὶ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν ἐκτήσαντο. ὁμοῦ τὴν θείαν οἴκησιν τοῦ παραδείσου ἤνυαντο. ὄνομα τοῖς ἅπασιν ἕν, ὃ ἐκτήσαντο ἐκ τῆς καρτερίας αὐτῶν. τεσσαράκοντα ὄντως ὁ εὐσεβῶν ἀριθμός, ᾧ δεδώρηται Χριστὸς δόξαν ἐκ τῶν οὐρανῶν. καὶ στεφάνων πλῆθυν.

ι. Ν.... ια. Ο.... ιβ. Ὕψωθεν δὲ ὁ κτίστης, ὥσπερ ἐν θέρει, ἥλιον ἀνατέλλει τοῖς ἀθλοφόροις. καὶ στεφάνους ἔπεμψεν ἐννέα καὶ τριάκοντα τοῖς τὸ κρύος ἐνέγκασι. τοῦτο δὲ θεωρήσας εἷς ἐκ τῶν φυλαττόντων, εἰσῆλθεν ἐν τῇ λίμνῃ πιστεύσας Χριστῷ. ἀπῆλθεν Ἰούδας, καὶ ἀντεισήχθη Ματθίας. τὸ πρὶν αὐθάδης, ὁ χθὲς διώκτης. συνηριθμήθη ταῖς ἀθλοφόροις. πρωΐᾳ δὲ ὡς εἴδοσαν οὗτοι οἱ ἀσεβέστατοι, προσέταξαν θυμούμενοι βάκλοις κλονεῖσθαι τοὺς

μηθη τοῖσ ἀθλοφόροισ. πρωΐᾳ δὲ ὡσ εἶδοσαν οὗτοι οἱ ἀσεβέστατοι, προσέταξαν θυμούμενοι βάκλοισ κλονεῖσθαι τούσ στερρούς, καὶ διεξάψαντεσ πυρὰν, κατέκαυσαν ἐν αὐτῇ τὰ σώματα αὐτῶν, καὶ τὰ λείψανα αὐτῶν ἔρριψαν ποταμῷ, καὶ ηὗρον ταῦτα πιστοί, δόξαν ἐκ τῶν οὐρανῶν καὶ στεφάνων πληθύν.

γῙ. κ̄. Ρ. Ω. Μ. Α. Ν. Ο. Υ.

14-го Генваря св. Отцамъ избiеннымъ въ Раиѳѣ.

р. 606. 608. Μηνὶ Ἰαν ιδ̄. τῶν ἁγίων πατέρων τῶν ἐν Ραΐθοῦ ἀναιρεθέντων ὑπὸ τῶν βαρβάρων, φέρον ἀκροστιχίδα. πατράσιν.

ᾱ. Πρὸσ τό. Τῷ Θεῷ ἀπὸ μήτρασ. ἦχ. β̄. Ἀρετῶν ταῖς ἀκτῖσι προαγασθέντεσ, ἀθανάτοισ στεφάνοισ κατακοσμεῖσθε. ἐν γὰρ ἀσκήσει ὡσ κρίνα ἀνθήσαντεσ, μυροδοτεῖτε τῶν ἄθλων τὰ σκάμματα, τῶν πατέρων οἱ ἄριστοι. διὸ ὑπὲρ ἡμῶν δυσωπεῖτε τὸν Κύριον.

β̄. Πεφευγότεσ ἀπὸ κόσμου, καὶ Θεῷ ἐν τῇ ἐρήμῳ ἑαυτοὺσ ἀναθέντεσ, μονοτροπικῶσ, ὥσπερ ἄγγελοι ὤφθητε τῆσ Ἐδὲμ οἰκήτορεσ, ἀθλοπάτορεσ, ἀτρώτουσ καρποὺσ τῆσ ἐγκρατείασ δρεπόμενοι, καὶ ὀμφὴν παθῶν ἀπονεκροῦντεσ πυκτεύμασιν. δι᾽ ὧν τοῦ ξύλου τῆσ ζωῆσ ἐν ἀπολαύσει γεγόνατε. Ἀλλὰ ὑπὲρ ἡμῶν Χριστὸν ἱκετεύσατε.

γ̄. Ἀμβροσίᾳ ἐντρυφῶντεσ ἐξ ἐσθλῶν ἐννοημάτων, ὃν ἐγεωργήσατε ἀναθρώσκοντεσ τὰ οὐράνια, ἀπρὶξ φύλακεσ ἐντολῶν γεγόνατε, παμμακάριστοι, χρυσὸν ὡσ πηλὸν τῇ ἀκτησίᾳ ἡγούμενοι, τροφὴν ὡς ποινὴν νεκροπαθείᾳ τιθέμενοι, ἓν ἔργον ἔχοντεσ ὡσ Ἀδὰμ μὴ ἁλῶναι τῷ βρώματι, διὸ ὑπὲρ.....

δ̄. Τίσ τοὺς πόνουσ θριαμβεύσει, οὓσ κρυφῇ διετελεῖτε, τῷ ἀνατενίζοντι ἅπαντα Θεῷ φανερούμενοι, τήξει σώματοσ τὴν ψυχὴν. λιπαίνοντεσ, καρτερόαθλοι; ἐντεῦθεν στερρῶσ, ἀντικατέστητε, πάθεσιν, ἀσάρκουσ ἐχθροὺσ νενικότεσ ἐν σώματι, καὶ βίον ἕλκοντεσ γλυκερὸν ἐν ἀπαθείαισ ἡδύτητι, διὸ ὑπὲρ.......

ε̄. Ῥοὴν βίου ἐκδραμόντες γαληνῶς ἐν τῇ ἐρήμῳ, ὡσ ἐπι ἀκυμάντου καθωρμίσθητε λιμενεύματοσ, κομποτάραχον τῶν παθῶν καθελόντεσ, πανδαμάτορεσ. σιγῆσ γὰρ βυθοῖσ θεοδορκοῦντεσ ἀπόρρητα, ναὸς ἁρπαγῇ τοῖσ ἀσωμάτοις συνθέοντες, τὴν γῆν ὡς ἕτερον οὐρανὸν ᾠκεῖτε διατρίβοντες, ἀλλὰ ὑπὲρ ἡμῶν...

ς̄. Ἀριδήλως τὰς ἐρήμους τῶν παθῶν κλείσαντες πύλασ, τὸ τῆς ἀγαθουργίας διηνοίξατε χωνευτήριον, πόλιν δείξαντεσ τοῦ Θεοῦ τὴν ἔρημον, οὐρανόφρονεσ, ὡσ δόμους χρυσοῦσ ὑμεῖσ καλύβασ πηξάμενοι, Θεὸν ἐν αὐταῖσ σὺν τοῖσ ἀγγέλοισ ξενίζοντεσ, πρὸς μόνον μόνοι ἐρωτικῶς ὁρῶντες καὶ ὁρώμενοι. ἀλλὰ ὑπὲρ ἡμῶν Χριστὸν ἱκετεύσατε.

ζ̄. Σελασφόροι γεγονότεσ ἀρετῶν ταῖς λαμπηδόσι, τοὺς ἐν τῇ οἰκουμένῃ καταυγάζετε, ἥπερ ἥλιοσ, ζόφον λύοντεσ νοητῶς ἁμαρτιῶν, καλλιπάτορεσ, ἀγάπης θεσμοῖς συνδεσμούμενοι τῷ πνεύματι, καὶ φθόνου βολὰσ ἐν ταῖσ ἁμίλλαισ συντρίβοντεσ, ἀλληλόσταθμοι πρὸς ἀρετὴν καὶ ὄντεσ καὶ ὑμνούμενοι, διὸ....

η̄. Ἰσορρόπωσ τοῖσ ἀγγέλοισ ἐπὶ γῆσ βεβιωκότεσ, τὴν ὑπερουράνιον ἐκληρώσασθε ἀγαλλίασιν, κόσμου ἅπαντα τερπνὰ παριδόντεσ, πολυύμνητοι, Χριστοῦ δὲ ἀεὶ τὴν τερπνότητα προβλέποντεσ, καὶ πόθου ἀεὶ κατεντρυφῶντες ἀκόρεστα, αὐτῆσ ἐλάθετε, ὡσ εἰπεῖν, τῆς φύσεως ὑπομνήσκεσθαι, διὸ ὑπὲρ ἡμων Χριστὸν ἱκετεύσατε.

17-го Ноября св. Григорiю Чюдотворцу.

р. 608. 609. ᾱ. Πρὸς τό. Ἡ Παρθένος. Ὁ πολὺς ἐν θαύμασιν θαυματουργὸς ἀνυμνείσθω, ὡσ πιστὸς διάκονοσ τῶν τοῦ Χριστοῦ μυστηρίων. πίστιν γὰρ ἐτράνωσεν ἐνθεεστάτην. δόγμασιν ἐκράτυνε. τὴν ἐκκλησίαν, ὀρθοδόξως καταγγέλλων Τριάδα μίαν τιμᾶν ἀχώριστον.

β̄. Πρὸσ τό. Τὴν Ἐδὲμ. ἠχ. γ̄. Ἀρετῶν ἀστραπῇ ἔφανας ἐν τοῖς πέρασι, δαδουχῶν ταῖς βολαῖσ τῶν ἱερῶν λογίων σου, κηρύττων Τριάδα, Γρηγόριε μάκαρ, καὶ ἐπιστρέφων πρὸς θείαν πίστωσιν λαοῦ τὰ συστήματα, καὶ ἄγων πάντας πρὸς τὴν ἐπίγνωσιν, λύων τὴν ἀχλὺν τῆς ἀθεότητοσ νευραῖς τῶν λόγων τῶν ὀρθοδόξων, στῖφος αἱρέσεων δεινῶν διασκεδάζων κραταιῶς, καταγγέλλων, διδάσκων τὸ σὸν ποίμνιον ἐν πίστει Τριάδα μίαν τιμᾶν.

γ̄. Σοῦ εἰς πᾶσαν τὴν γῆν φθόγγος νῦν ἐξελήλυθε, καὶ ρημάτων βολαὶ ἅπαντα περιήχησαν τὰ πέρατα, μύστα Θεοῦ ἀπορρήτων. μεμυημένος γὰρ τὰ ἀπόκρυφα ἐνθέως, Γρηγόριε. σὺ δὲ ἐτράνους τρία συνάναρχα, ὁμότιμα, σύνθρονα, Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, μίαν οὐσίαν τρισὶ προσώποις διῃρημένην ἰδικῶς, μοναδικὴν δὲ ἐν ταὐτῷ. εἷς Θεὸς τὸ κατ ἄμφω ἡ Τριάς, γνωριζομένη Τριάδα......

δ̄. Μεμηνότες ποτὲ οἱ ἀσεβεῖς ἀλάστορες κατα σοῦ φθονερῶς μῶμον προστρῖψαι, ἤνεγκαν κόρην φατριῶσαν σοῦ τὴν πολιτείαν. ἡ παραυτίκα θᾶττον κατέπεσεν εἰς γῆν καὶ συντέτριπται, τῷ δαιμονίῳ συνεχομένη δεινῶς. ἀλλὰ τῇ

πολλῇ μακροθυμίᾳ σου ἀνεξίκακως ἰάσω ταύτην, καὶ λίμνην ἔψυξας, δεινὴν φιλονεικίαν ἀδελφῶν, καὶ ποτάμια ρεῖθρα σὺ διέστειλας τιμώντων Τριάδα μίαν ἀχώριστον.

11-го Генваря св. Θеодосію начальнику Общежитія.

p. 610—612. Μηνὶ Ἰαννουαρ. ιβ. (sic) Κονδάκιον τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιμανδρίτου ἐρήμου ἱεροσαλύμων Θεοδοσίου ἦχ. β.

α. Πρὸς τό. Τῷ Θεῷ ἀπὸ μ. Φυτευθεὶς ἐν τῷ οἴκῳ τῷ τοῦ Κυρίου, ἐξανθεῖς ἐγκρατείᾳ τὰς ἀρετάς σου, ὁ τῆς ἐρήμου πολίτης παγκόσμιος, ὁ ἀγελάρχης τῶν θείων ἐπάυλεων, σημειουργὲ Θεοδόσιε, Χριστὸν ὑπὲρ ἡμῶν ἀπαύστως ἱκέτευε.

β. Πρὸς τό. Τὸν φωστῆρα. Τῆς ἑῴας τὸν λαμτῆρα, τὸν σοφὸν ψυχαγελάρχην, Θεοδόσιον πάντες μακαρίσωμεν τὸν τρισόλβιον.. αὐτὸς ἤστραψεν ἀρεταῖς καὶ θαύμασιν ἐις τὰ πέρατα. τιμάτω αὐτοῦ τὴν θείαν μνήμην ἡ Αἴγυπτοσ, τὰ τῶν μοναστῶν ἑορταζέτω συστήματα, καὶ ὀρθοδόξων ἅπαξ χορὸς βοάτω ἐπᾴδων αὐτῷ. Χριστὸν.......

γ. Ὡσιώθης ἀπὸ βρέφους, ἐραστὰ τῆς εὐσεβείας, ἐξ ἀγαθῆς ἀνθήσας ρίζης, ἀληθῶς εὐθὲς βλάστημα. ὅθεν ἅπαντα παριδὼν, τῷ Κυρίῳ κατηκολούθησας. Ἀπαίρεις ἰδεῖν ἱεροσόλυμα ἅγια. λαμβάνεις εὐχὴν εν τῇ παρόδῳ ἐπάξιον πρὸς τοῦ λαμπτῆρος Συμεὼν τοῦ στυλίτου, βοῶν αὐτῷ. Χριστὸν.

δ. Ὑποκλίνεις τὸν αὐχένα ταπεινώσεως Κυρίου μιμήσει, τῷ Λογγίνῳ καθυποταγεὶς ἐννομώτατα. ὅθεν ἄρχεσθαι ἐκμαθὼν, ἐις τὸ ἄρχειν ἄλλων προβέβηκας. τὸν δόλιον γὰρ μονομαχήσας, κατέαξας. λοιπὸν ἀρχηγὸς στρατοῦ ἁγίου γεγένησαι, μόνην ἐγειρασθαι ὅτι χρηστὸν, ἐν ᾗ σὺν σοὶ ὑπέψαλλον. Χριστόν.

ε. Πῶς ἐξείπω τοῦ ὁσίου τὸ φρικτὸν τῆς ἐγκρατείας; καὶ γὰρ δὶ ἑβδομάδος ἅπαξ ἤσθιε τροφὴν σχέδιον. χλωροὺς φοίνικας. ὄσπρια. ἔστι δὲ καὶ ὅτε ὀστᾶ ἀπολόβρεκτα. τρὶς δέκα ἔτη ἄρτου μηδόλως γευσάμενος, καὶ πιὼν ποτὸν τὸ νηφαλέον ὑδάτιον, ἐν οἷς θαυμάζοντες οἱ αὐτοῦ φοιτηταὶ ᾖδον, λέγοντες, Χριστόν... .

ς. Τίς ἐκείνου μὴ θαυμάσῃ τὸ πολὺ τῆς ἀγρυπνίας. τοὺς κρυφῇ κρεμαστῆρας, ἐν οἷς ἀγρυπνῶν ἐστηρίζετο, στάσιν ἄμετρον ἐκτελῶν ἐξ ἧς αὐτῷ βουβόνων ἄλγημα; τίς δὲ τὸ αὐτοῦ ἀείψαλτον οὐκ ἀγάσαιτο, εὐχῆς καθαρὸν, καὶ τῶν δακρύων τὸ πλούσιον, τὴν ἄλλην ἅπασαν ἀρετὴν, δὶ ἧς αὐτῷ ἐπᾴδωμεν. Χριστόν.....

ζ. Ὡς δὲ ταῦτα ἐπετέλει, τοῖς αὐτοῦ προστάσσει τέκνοις μνῆμα κατασκευάσαι. τὸ τοῦ Ἀβραὰμ ἐκμιμούμενοσ. ἔιτα γίνεται καὶ φρικτὸν ἐκτελεῖται τερατούργημα. ἐν τούτῳ γὰρ ζῶν πατροκελεύστως ἐνθάπτεται Βασίλειος τισ καὶ ἐκβιώσασ ὀπτάνεται τῷ Ἀετίῳ σὺν τῷ πατρὶ, ὡς εἶδεν καὶ ὑπέψαλλεν. Χριστόν.....

η. Χρεὼν φράσαι τοῦ ἁγίου τὴν θερμὴν πρὸς Θεὸν πίστιν. ἐπέστη γὰρ τὸ Πάσχα, καὶ οὐκ ἦν τροφὴ μεταλήψεως, ὄντων δώδεκα ἀδελφῶν, οὐδ' ἄρτοσ μυσταγωγήσιμος, καὶ ἄφνω Θεὸς παρέσχε ξένα ἀμφότερα, ἡλίου δυσμὰς, τινὸς ἐλθόντος καὶ φέροντος πεφορτωμένον ζεῦγος κτηνῶν, καὶ ταῦτα συγκραυγάζοντος. Χριστόν....

θ. Οἶον ξένον ἀπεντεῦθεν ἐκτελεῖν ὁ πατὴρ ἤρκται, μονὴν γὰρ προθέμενοσ ἀνοικοδομεῖν, ὡσ ἐδίσταζεν, βάλλει κάρβονασ πλὴν πυρὸσ ἐισ ἅγιον θυμιατήριον, ποιεῖται εὐχὴν πρὸς τὸν Κύριον εὐήκοον, καὶ οὗτοι εὐθὺς μετ' εὐωδίας ἀνήφθησαν. ὃ θεασάμενοι, πρὸσ αὐτὸν οἱ μαθηταὶ ἀνέκραζον. Χριστόν.....

ι. Υ...... ια. Σιὼν, χαῖρε, ἡ ἁγία, οἰκιστὴν σχοῦσα τοιοῦτον, τὸν πολλὰ τὰ τέκνα σου διὰ πνεύματοσ πληθυνάμενον. χαῖρε μάλα γὲ ἡ πατρὶς ὁσίου, Καππαδόκων ἔδαφοσ. ἡ τούτου μονὴ ὡσ κεκτημένη προπάτορα τοιοῦτον, ἀεὶ περιέποντα τὰ τέκνα σου ἐκ πάσης βλάβης πρεσβευτικῶς κραυγάζουσα καὶ ᾄδουσα. Χριστόν.

6-го Декабря святителю Николаю Чюдотворцу.

p. 613—614. α. Τῇ ὑπερμάχῳ, κραταιᾷ ἀντιλήψει σου, ὡς λυτρωθέντες διὰ σοῦ, πάτερ, τῶν θλίψεων, χρεωστικῶς σοι προσφέρουσι χαριστήρια. ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς Κύριον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι Χαῖρε, προστάτα θερμότατε.

β. Ἅγιε θεοφόρε, τῶν ἁγίων ἡ δόξα καὶ τῶν ἀρχιερέων τὸ κλέοσ, παμμακάριστε Νικόλαε, τοῦ πόθῳ γεραίρειν τὴν θείαν. μνήμην σου πρεσβείαις σου καταύγασον, καὶ φώτισον τοὺ μέλπειν οὕτωσ. Χαιρέ λαμπτὴρ ἀληθείας, μάκαρ. χαῖρε, ὁ καὶ ἔργῳ καὶ πράξει Νικόλαοσ. χαῖρε, τῶν Χριστοῦ θαυμάτων τὸ τέμενος. Χαῖρε, πάντιμε, παμπόθητε καὶ πανάγαστε πάτερ. Χαῖρε, πάντων ἀγαλλίαμα, καὶ χαρὰ ἀνέκλειπτος. χαῖρε, ὅτι ὑπάρχεις σκέπη θεία

τῶν πιστῶν. χαῖρε, ὅτι φυλάττεις ἐκ κινδύνων τοὺς βροτούς. Χαῖρε λιμὴν καὶ τεῖχος ἀπόρθητον. χαίροις, ὁ μέγας ἐν πᾶσιν ἐπίκορους. χαῖρε, δι᾽ ὧν προστατέυεις καὶ σώζεις. Χαῖρε, δι᾽ ὧν πάντας ἐπισκέπεις. Χαῖρε, προστάτα θερμότατε.

γ. Βάθος θείων θαυμάτων ἀπορρήτων καὶ ὕψος ἐν σοὶ τῇ θείᾳ χάριτι ὁρᾶται, παμμακάριστε Νικόλαε, ὁ λόγῳ καὶ ἔργῳ καὶ πράξει (νικητής). ὅθεν ἀξίως μέλπω σε, ὡς τὸν Θεοῦ πιστὸν θεράποντα, ἀλληλούϊα.

δ. Γέγονας τοῖς ἐν θλίψει συμπαθὴς διαθέσει, ὥσπερ πατὴρ φιλόστοργος, παμμάκαρ, τοῖς μὲν ἐν ἀνάγκαις βοηθὸς καὶ τοῖς ἐν κινδύνοις λυτρωτὴς τάχιστος, τοῖς πᾶσι πάντα γέγονας, καὶ πάντες σοι πιστῶς μέλπομεν. χαῖρε, ποιμὴν καὶ λιμὴν καὶ σκέπη. χαῖρε πάτερ, εὐθυμία πάντων. χαῖρε τῶν ἀπεγνωσμένων ἡ βοήθεια. χαῖρε, τῶν καταπονουμένων ὁ πρόμαχος. χαῖρε, καύχημα καὶ στήριγμα τῶν αἰτούντων σε πιστῶς. χαῖρε, σκέπη καὶ ἀντίληψις ἀπροσμάχητος, στερρά. χαῖρε, ὅτι ὑπάρχεις τῶν βροτῶν καταφυγή. χαῖρε, ὅτι πραΰνεις πᾶσαν ζάλην καθ᾽ ἡμῶν. χαῖρε, λαμπτὴρ ὁ φωτίζων τοὺς ἐν (σκότει). χαῖρε, κρατὴρ ἐνθέου εὐφροσύνης. χαῖρε πιστῶν ἀγαλλίαμα θεῖον. χαῖρε, ψυχῶν καὶ σωμάτων ὁ φύλαξ. χαῖρε, προστάτα θερμότατε.

21-го Октября св. Іларіону.

p. 615—617. **α.** Πρὸς τό. Ἐν σαρκὶ τοῖς. Ἱερῶς ἀπὸ βρέφους ἐντεθραμμένος, γονικὴν ἐβδελύξω κοσμολατρείαν, τοῦ Ἀντωνίου φυτεία γενάμενος ταῖς ἀρεταῖς σου πυκάζεις τὰ πέρατα, Ἱλαριών, πάτερ ἡμῶν. διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

β. Πρὸς τό. Τὸν φωστῆρα. Ὁ τυφλόνους πῶς αἰνέσω σὲ τὸν νοῦν τὸν ἑωσφόρον, τὸν προϊθεν τῆς αὐγῆς ἀνατείλαντα; εἰς τὰ πέρατα κόσμου ἤστραψας ἀρετάς, Ἱλαριὼν θαυμασιώτατε, τον ἀσκητικὸν ἤνυσας δρομον, μακάριε, καὶ νικητικὸν ἐκ Θεοῦ στέφος ἀπείληφας. Ἀλλ᾽ οὖν χορέυων ἐν οὐρανοῖς, βοήθει τοῖς ἐπάδουσιν. διὸ ὑπὲρ ἡμῶν.

γ. Τὴν ὁσίαν πολιτείαν τοῦ πατρὸς ἀνακηρύττων, κατὰ μέρος ἅπαντα, ὡς ὑπάρχουσι, διηγήσομαι. οὗτος ἔρωτι πτερωθείς, πρὸς τὸν μέγαν ἧκεν Ἀντώνιον ἐκεινος αὐτὸν τὸ θεῖον σχῆμα ἠμφίασεν. αὐτὸς ὡς υἱὸν πρὸς τοὺς ἀγῶνας ὑπήλειψεν, Σωτῆρι πέμπων πάλαι στερρῶς, κραυγάζοντα, ἐπάδοντα. διὸ ὑπὲρ......

δ. Ὑπεισῆλθες τῷ σπηλαίῳ ἐν χαρᾷ, καὶ ἧς ἐν τούτῳ ὡς θαλαμευόμενος εἰς βασιλεια, παμμακάριστε, ἔχων ἔνδυμα ἐκ τριχῶν, ὥσπερ χιτῶνα πορφυρόχροον, τροφὴν δὲ τρυφῶν πεντεκαίδεκα συκίδια, ποτὸν γλυκερὸν τὸ νηφαλέον ὑδάτιον. ἐν οἷς ὁρῶντες σε οἱ λαοί, κραυγάζοντες ἐπῆδον σοι. διὸ.....

ε. Φεῦ! τοῦ φθόνου Βελιαρ! εὐθὺς γὰρ ἤρξατο βρύχειν κατὰ τοῦ φιλαρέτου ὁ μισόκαλος, ἐπαφεὶς αὐτῷ βέλη ἔμπυρα ἡδονῶν, ἵνα ῥήξῃ τὸν ἀθλητὴν Χριστοῦ. ὁ δὲ πρὸς αὐτὸν ταῖς ἱκεσίαις ὡπλίζετο, καὶ στηθοκρουστῶν ἐφυγάδευσε τὸν δόλιον. αὐτῷ βοήσωμεν ὡς νικητῇ τοῦ Βελίαρ ἐπάδοντες. διὸ ὑπὲρ....

ς. Λέξαι, ἔφη ὁ γενναῖος ἀθλητὴς πρὸς σοφὸν σῶμα. οὐ κριθὰς ψωμίσω σοι, ἀλλ᾽ ἄχυρα, δίψει δὲ τήξω σὲ κρύει, καύσωνι θλίψω σε, ἵνα μήπως ἀπολακτίζῃς με. Διὸ τριήμερον ἐν τοῖς βοτάναις τρεφόμενος, ξηρὰ τὰ ὀστᾶ μόνον ἔφερεν ὁ ὅσιος, πρὸς ὃν βοήσωμεν ἐκτενῶς. Βοήθει τοῖσ ἐπάδουιν. διὸ...

ζ. Ὀλολύζων κατεπέστη ὁ Σατὰν τῷ πατρὶ αὖθις, δείματα φρικτὰ αὐτῷ φανταζόμενος προσεφόβησεν, θρήνουσ ἔθετο γυναικῶν, καὶ θηρῶν βρυγμὸν ἀπειρότατον. Ὁ δὲ σφραγισμῷ κατεσίγασε τὸν θόρυβον, καὶ ψάλλων Θεῷ ἀπενίκησε τὸν δόλιον. ὃν τοῖς ἐγκωμίοις στέψωμεν, καὶ εἴπωμεν ἐπάδοντές. διὸ.....

η. Νῦν ἐξῆλθεν τοῦ σπηλαίου ὁ πατήρ, σκηνὴν ποιήσας ἑαυτῷ ἐν τῇ χώρᾳ, καλύβην στενὴν ὡς ἐντάφιον ταύτην ᾤκησε. μὴ προβὰς ὁ ἅγιος ἐν πέντε ἔτεσιν, τὴν στρωμνὴν ἀεὶ χαρακόπλεκτον ἐκέκτητο, χιτὼν αὐτῷ ἦν, ὡς χρυσόνημα, τὸ τρίχινον, παρ᾽ Ἀντωνίου τοῦτο λαβὼν τοῦ μεγάλου, ᾧ ἔμελπεν. διὸ ὑπὲρ.....

θ. Ὄντος ἔτους δισενατου τοῦ σοφοῦ καὶ θεοφόρου, τῶν ληστῶν τὴν ἔφοδον οὐκ ἀπέπτηξέν... ἀλλ᾽ ἔλεγε φόβητρα αὐτῷ ἐμποιοῦσιν, ὡς δέδεικται. Γυμνὸς ὡς ἐγὼ οὐ πεφόβηται ληστεύοντας, διὰ γὰρ Χριστὸν εἰμὶ ἕτοιμος τεθνήξεσθαι. Ὃν οὖν θαυμάζοντες οἱ λαοί, ἐκραύγαζον ἐπάδοντες. διὸ ὑπὲρ......

ι. Ὡς οὖν ταῦτα ἐκτελέσας, ἱερέ, καὶ ἐγχωρήσας πρὸς ζωὴν τὴν ἀγήρω, τοῦ ἀπολαβεῖν γέρας πόνων σου, μνήσκου πρώτιστα τοῦ οἰκτροῦ καὶ ταπεινοῦ ἐπαινέτου σου, τοῦ κόσμου παντός, τῶν μοναζόντων ἐξαίρετον, τῶν πόθῳ θερμῷ ἐπιτελούντων τὴν μνήμην σου, σωθῆναι πάντας ἐκ περασμῶν, καὶ μέλπειν σοι ἐπάδοντας. διό ὑπέρ ἡμῶν δυσώπει τὸν Κύριον.

22-го Апрѣля св. Θеодору Сукеоту въ Аθонскомъ Кодакаріи Кондакъ и 1-й икосъ есть, недостающіе слѣдующіе:

p. 617. 618. г Δῶρον τοίνυν Θεοῦ ἐπὶ τῆς γῆς ὁ ὅσιος ἐκ σπαργάνων εὐθὺς θείᾳ ἐδείχθη χάριτι, ἐμφαίνων τοὺς τρόπους τοὺς τῆς εὐσεβείας, καὶ προδεικνύων τῆς ἀρετῆς αὐτοῦ τὰ σύμβολα ἅπασιν, καὶ προκηρύττων ἐν τῇ νεοτητι τῆς τελειοτάτης τὰ παράδοξα, ἀεὶ μελέτῃ ἔχων τὰ θεῖα, καὶ τὰ ἐντάλματα Χριστοῦ ἀποπληρῶν ὡς ἀληθῶς. διὰ τοῦτο ἀξίως σὺ ὑπάρχεις ἐκβοῶμεν, θαυμάτων......

д. Ὄντως, πάτερ σοφέ, σὺ ποταμὸς τῆς χάριτος ἀνεδείχθης τῇ γῇ ὑπὸ Θεοῦ, Θεόδωρε, θαυμάτων προχέων τὰ ῥεῖθρα ἐν κόσμῳ, καὶ κατευνάζων παθη ἀνίατα, καθαίρων καὶ πταίσματα καὶ ἀπελαύνων πνέυματα ἅπαντα τὰ τῆς πονηρίας θείῳ πνεύματι. διὸ καὶ στάντες ἐν τῇ σορῷ σου, ὡς ἰατρείῳ ψυχικῷ, παρεστηκότες σοι πιστῶσ, ἐκβοῶμεν ἀπαύστως. Ἐκ Θεοῦ σὺ ἀνεδείχθης, θαυμάτων.........

24-го Февраля св. Іоанну Θеристѣ.

p. 619. а. Ὥσπερ ἐν ἄλσει ἔρνος ἐλαίας, ὡς μῆλον ἐν τῷ δρυμῷ, κρίνον ἐντῷ ἀγρῷ, ὡς ἐν ἀκάνθαις ἡδύπνοον ῥόδον, εὑρόν σε τὸ θεῖον Πνεῦμα, ἐξ ἀπίστων ἐξῆξε σοφῇ προνοίᾳ, καὶ φωτισμῷ τοῦ βαπτίσματος ὅλον ἐλάμπρυνε. ἐντεῦθεν ἦρας ἐπ' ὤμοις τὸν σταυρὸν, καὶ ὁσίως ἐμόνασας, σκιρτῶσαν σάρκα κατέτηξας, Ἰωάννη, ὁσίων τὸ καύχημα διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον.

в. Ἄριστοσ ὢν καὶ πρὸ τοῦ μονάσαι, ἐξ οἰκείων ἱδρώτων καὶ καυσώδους κόπου τοὺς πεινωμένους διέτρεφεσ, ἀσύγκριτον ποιῶν ἐργασίαν ἐν τῷ θέρει, ὡς ἄλλος οὐδεὶς ἐν βίῳ ὀνομαστὸς, καὶ ἐπωνομασμένος ἐκ τούτου φανείς. πρὸς τούτοις πόσει και δίψει, προσευχῇ καὶ δεήσει ἐγκαρτερῶν, ναὸν σαυτὸν ἐπετέλεσας καθαρὸν, καὶ δοχεῖον τοῦ Πνεύματος. διὸ.......

24-го Мая св. Сумеону Дивногорцу въ Аθонскомъ Кондакаріи Кондакъ и первые два икоса есть, недостающіе слѣдующіе:

p. 623. д. Δρᾶμα φρικτὸν θηλάζων ἐδείκνυς. θηλὴν ὄντως τὴν λαιὰν οὐκ ἤθελες λαβεῖν. καὶ γὰρ ψεκτὰ τὰ εὐώνυμα. Ἀλλὰ γάλακτι σεπτῷ ἀμέλγει, ἐξ οὗ ἔσχες βούτυρον τῶν ἀρετῶν σου. ὅθεν τρυφῶν ἀπηρεύξω παντοίαν βρῶσιν σχεδόν. Ὦ χάρις ἁγίου βρέφους! ἀναλάμψας φιλάρετος ὢν.... βρώσει μικρᾷ κακίαν παθῶν, ἀσπάζῃ δὲ ἁγνείαν, ἐγκράτειαν, ἀπαύστως πρεσβέυων.....

е. Ἡ πρὸς Θεὸν τελεία σου σχέσις ἔπι ὄντα παιδίον τοῦ τελείου ἀνδρὸς τὰ ἔργα ἔχειν ἐδίδαξεν. ὅθεν ἐρήμους τοπους ἀμείβων, ὁδηγούμενος, μάκαρ, ὑπὸ ἀγγέλου, ἰχνηλατῶν τοῦ Προδρόμου τὸν βίον καὶ Βαπτιστοῦ. οὕτος καὶ προμεταστάντι ἐκ Θεοῦ σοι ἐφάνη, τρισόσιε. σὺν τούτῳ δὲ ἔχων τὴν πίστιν θερμὴν, ὡς πρόβατον θηρίοισ συνέζησας ἀπαύστως πρεσβέυων........

По нашимъ святцамъ 4-го Іюля, по Аθонскому Кондакарію 5-го а по Кондакарію Г. Питры Х. Кондакъ и 3 икоса св. Андрею Критскому есть и въ Аθонскомъ.

26-го Генваря св. Θеодору Студиту.

p. 627. 628. Ἀκροστιχίς. τοῦ ταπεινοῦ. Πρὸς τό. Τὰ ἄνω. α. Τὸν ἀσκητικὸν ἰσάγγελόν τε βίον σου τοῖσ ἀθλητικοῖς. ἐφαίδρυνάς σου πάθεσι, καὶ ἀγγέλοις σύσκηνος, θεομάκαρ, ὤφθης, Θεόδωρε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ πρεσβέυων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

β'. Τῶν ἀσκητῶν τὸ ἔκλαμπρον κάλλος, τῆς Χριστοῦ ἐκκλησίας τὸ ἑδραίωμα, νῦν Θεόδωρον εὐφημήσωμεν. νέος γὰρ στῦλος πυρὸς ἐφάνη, καταφλέγων τὰς δόξας αἱρετιζόντων, τῶν δὲ πιστῶν δαδουχῶν τὰς ψυχὰς πρὸσ πίστιν ὀρθὴν, εἰς θείαν πόλιν τὴν ἄνω, Ἰσραὴλ ὥσπερ ἄλλον εἰσήγαγεν. αὐτῷ συμφώνως, βοήσωμεν. Παμμακάριστε πάτερ, μὴ λάθῃ Χριστῷ πρεσβέυων ἀπάυστως....

г. Ὄντως Θεὸν ἐξ ὅλης καρδίας ἀγαπήσας, παμμάκαρ, τὸν σταυρὸν σου θερμῶς ἀράμενος ἠκολούθησας, κόσμον μισήσας καὶ τὰ ἐν κόσμῳ, προσπαθείας σαρκός τε τὸν νοῦν ἐκσπάσας, θεῖον εὐθὺς καταγώγιον, πάτερ, τοῦ Πνέυματος ἐδείχθης, ἠγλαϊσμένον ἀρεταῖς, ταπεινώσει δὲ μάλιστα. ἐντεῦθεν κράτοσ τῶν ἀρετῶν τῇ ἀγάπῃ πλουτήσας ἐκράτεις Θεῷ πρεσβέυων ἀυταύστως......

д̃. Ὕψωσας βίον τῶν μοναζόντων, τῶν ἐν τοῖς κοινοβίοις, ἑαυτὸν τεθεικὼς ὑπόδειγμα ἀκραιφνέστατον. ὑποταγεὶς ἀόκνως ποιμένι, εὐπειθείας καρπὸν τὴν ἡγεμονίαν ἐκ τοῦ Θεοῦ ἐπαξίως λαμβάνεις σῶν φοιτητῶν. φανεὶς γὰρ δεξιὸς πάνυ, τῷ κλεινῷ σου πατρὶ ὑποτίθεσαι, στήριγμα ὅρου καὶ μίμημα, τῶν βοώντων σοι πάτερ. Μὴ λάθῃ ἀεὶ πρεσβεύων....

ѐ. Τῷ νομοθέτῃ τῷ θεσπεσίῳ τῆς Χριστοῦ ἐκκλησίας, Βασιλείῳ, σοφὲ, ἀκολουθήσας πανάριστα, πόρρω τὰ νόθα τῶν ἀσκουμένων, οἷον δοῦλον καὶ θῆλυ μὴ ἔχειν κτῆνος, βίῳ τῷ σῷ τὰς αὐτοῦ ὑποθήκας δεικνύων σαφῶς. διόπερ δεύτερον πάντες, καὶ τῷ λόγῳ καὶ τρόπῳ Βασίλειον κατέχομεν, οἱ μονάζοντες, καὶ βοῶμεν. Μὴ λάθῃ.....

ѕ̃. Ἆθλον ἐν πρώτοις φιλοσοφίας ἤνεγκας, ἐκμοχλεύων ἐκ τῆς μοναδικῆς τριάδος ἤθη κοσμότροπα. ὃν ἂν ἐντεῦθεν εὕρηκας, πάτερ, ἀντιπίπτοντα σοι καὶ ἀντιμαχοῦντα, τὸν σὺν Θεῷ ἐκνικήσας σὺν πόνοις καὶ θλίψεσι. πατέρων θείαν, παμμάκαρ, κατορθοῖς πολιτείαν πανάριστον, τὰ πάλαι νέα ἀποδεικνὺς, ἐκμαγεῖον σαυτὸν θεοείκελον. πρεσβεύων μὴ λάθῃ ὑπὲρ πάντων ἡμῶν.

14-го Іюня св. Меѳодію Патріарху Константинопольскому. Кондакъ и 1-й икосъ выписанъ изъ Греческой минеи XIII—XIV в. Синод. Библіотеки. Но здѣсь 1-й икосъ начинается: Ἀδιαλείπτως ὑπὲρ τῶν...... а въ Кондакаріи, изданномъ Г. Питрою 1-й икосъ слѣдующій, коего Славянскій переводъ смотри 254. страницу подъ симъ числомъ:

р 629. в̃. Ἁμαρτιῶν μοι λύσιν παράσχου, τοῦ ὑμνῆσαι ἀξίως τοὺς ἀγῶνας τοὺς σοὺς. Μεθόδιε ὦ πανόλβιε, λάκκῳ βαθεῖ γὰρ σὺ ἐνελβλήθης, ἵνα πρώην ψυχὰς, τὰς κατεχωσμένας ἐν τῷ βυθῷ τῆς ἀγνοίας, ἑλκύσας πρὸς ἔλλαμψιν τῆς θείας φωτοχυσίας, ἐκδιδάξῃς σαφῶς τὴν ὑψήλιον, τὴν θείαν ὄντως καὶ ἄρρητον τοῦ Χριστοῦ προσκυνεῖν ἀνατύπωσιν, ἐλέγχων....

г̃. Νῦν καταύγαζει τοὺς ἐν τῷ σκότει ἡ φωσφόρος σου μνήμη, ὡς ἡμέρα φαιδρὰ, ἀχλὺν τοῦ σκότους διώκουσα. φῶς γὰρ δογμάτων σου ἀπαστράψας, ἀπενέκρωσας πάντας τοὺς ἀθετοῦντας τὴν εὐπρεπῆ. τῶν εἰκόνων καὶ θείαν προσκύνησιν, ἣν βλέπων κρατυνομένην Ἰαννῆς τὸ καθόλου, ᾐσχύνετο, Ἰούδας ἄλλος γενόμενος, τὴν μορφὴν τοῦ Χριστοῦ ἀπωθούμενος. ἐλέγχων.....

16-го Апрѣля св. Леониду и 7-ми дѣвамъ.

р. 630—632. а̃. Πρὸς τό. Ἡ Παρθένος. Ἡ φαιδρὰ πανήγυρις τῶν θεοφόρων παρθένων τοῦ Χριστοῦ τὴν γέννησιν προδιαγράφει δηλοῦσα. ἄγγελοι μετ' εὐφροσύνης πλέκουσι στέφη μάρτυρες χοροστατοῦντες ὑμνολογοῦσιν. δι' αὐτῶν γὰρ τελειοῦνται ἑπτὰ παρθένοι σὺν Λεωνίδῃ ὁμοῦ.

в̃. Τῆς σοφίας δοτὴρ, καὶ χορηγὸς τῆς γνώσεως, ἀκατάληπτος νοῦς, ἄβυσσος θείων λέξεων, βρυτὴρ νοημάτων, λαμπτὴρ τῶν ἐν σκότει, αὐτὸς παράσχου λόγον καὶ ἔννοιαν, ὑμνῆσαι τὸ κράτος σου καὶ εὐφημῆσαι τοὺς ἀφλοφόρους σου. δι' οὓς καὶ αὐτὸς σάρκα ἐφόρεσας, καὶ ἐκ παρθένου σαρκὶ ἐτέχθης, σταυρὸν καὶ θάνατον σαρκὶ θέλων ὑπέμεινας, σωτήρ. διὰ σὲ οὖν καὶ οὗτοι τὸν ἀγῶνα ἐκπληροῦσιν, ἑπτὰ παρθένοι σὺν Λεωνίδῃ ὁμοῦ.

г̃. Ὅτε πᾶσαν τὴν γῆν ἔπλησεν ἡ δυσσέβεια, κνίσσαι τε καὶ βωμοὶ ἔχραινον κόσμον ἅπαντα, ἀὴρ ἐμολύνθη, τὸ φῶς ἐσκοτίσθη. πολὺς ὁ φόβος, μέγας ὁ κίνδυνος. πιστοὶ ἐδιώκοντο, καὶ ἠρευνῶντο πόλεις καὶ ἔρημος, σπήλαια πιστῶν ἀνεσκαλεύοντο. ἐν οἷς εὑρέθη καὶ συνελήφθη ὁ Λεωνίδης, καρτερῶν σὺν πέντε ἄλλαις γυναιξὶν. αἷς κοινῇ συνεισῆλθεν ἐν Κορίνθῳ, τοῦ ἀθλῆσαι ἑπτὰ παρθένοι σὺν Λεωνίδῃ ὁμοῦ.

д̃. Ὑπαχθεὶς ὁ στερρὸς ἤχθη, φησὶν, εἰς Κόρινθον, καὶ ἐδέσμουν αὐτὸν τρέχοντα καὶ προβαίνοντα Τραϊανοπόλει, εἰς πόαν τῆς χλόης, πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως προθύμως ἐρχόμενον, ὥστε θαυμάζειν καὶ καταπλήττεσθαι πάντας τοὺς λαοὺς, καὶ τοὺς φρουροὺς αὐτοῦ, καὶ δοῦναι χώραν τοῦ διαδρᾶσαι καὶ ἀνελθεῖν καὶ ἐκφυγεῖν, ὅποι δ' ἂν βούληται αὐτός. βουληθέντες καὶ.... τοῦ σταδίου, ἔνθα ἑπτὰ παρθένοι....

ѐ. Τὴν τοιαύτην βουλὴν ὁ Λεωνίδης πέφευγεν, στηριχθεὶς δὲ τὸν νοῦν, ῥήμασι παρεσκεύασεν, ἀλείφων τοῖς λόγοις τοῦ εὐαγγελίου τὰ τῶν συνάθλων θεῖα φρονήματα, ἀντιπαρατάξασθαι τῷ διαβόλῳ καὶ τῇ βουλῇ αὐτοῦ. ὑπῆρχον λοιπῶν ἐν τούτων ἀριθμῷ κόραι μὲν δύο καθ' ἡλικίαν, τὴν δύναμιν αὐτοῦ Χριστοῦ Χάρισσα καὶ Νουνέχεια κατὰ νοῦν δεδεγμέναι, προθυμίᾳ συναθλοῦσιν ἑπτὰ παρθένοι....

ѕ̃. Ἅμα μὲν τοῖς τρισὶν ἕτεραι δύο πάρεισιν συναθλοῦσαι στερρῶς, ἄτρεπτον τὴν διάνοιαν ἀεὶ κεκτημέναι, ἡ Νίκη, Γαλήνη. αἱ ἀνενδότως ὕμνους καὶ δάκρυα, ἀφ' οὗ συνελήφθησαν, ἀπαύστῳ γλώττῃ οὐ κατεσίγησαν, ἕως τοῦ

παθεῖν, Θεὸν δοξάζουσαι. ἦγε μὲν ταύτας ὁ Λεωνίδης, ὁ συνετὸς ὄντως ἀνὴρ, καὶ πρὸς τὴν τέχνην εὐφυὴς ἐκ τοῦ οἴκου. αὐτὸν δὲ παρθενέυει τὰσ ὁσίασ ἑπτὰ παρθενουσ....

ζ. Παρελόμβανεν οὖν ὁ Λεωνίδης ἕωθεν τὰς παρθένους Χριστοῦ, ἐπὶ τὸ κοιμητήριον τῶν πρώτων μαρτύρων, ἀλείφων ἐκεῖσε γραφαῖς ταῖς θείαις καὶ παραινέσεσιν, διδάσκων τὰ δέοντα ἕως ἂν εἶδεν ὅπερ ἐδέετο. αἱ δὲ καρτερῶς θάρσος ἐλάμβανον, ἀποσκοποῦσαι εἰς τοὺς προάθλους, ὡσ ταῖς βασάνοις καὶ πληγαῖς, ὡς παραδείγμασιν, αὐταῖς Λεωνίδης ἐχρῆτο, καὶ προτρέπων μὴ ἐκκλίνειν ἑπτὰ παρθένους......

η. Ἐμμενόντων αὐτῶν ταῖς προσευχαῖς πρὸς τὸν Χριστὸν, τὸ παιδίον εὐθὺς Χάρισσα κατενήνεκται εἰς ὕπνον, καὶ εἶδεν τὸ ἅγιον Πνεῦμα, ἐξ οὐρανόθεν νικηφοροῦν, αὐτὴν στηρίζον πρὸς ἄθλησιν. καὶ στρατιῶται ἀπὸ τοῦ ἄρχοντος, καὶ ἔτι αὐτῆς ἀπὸ τοῦ στόματος τὸν λόγον οὕτως ἐξηγουμένης, σὺν Λεωνίδη, παρευθὺς οἱ στρατιῶται φθάσαντες, πρὸσ τὸ βῆμα καθεῖλκον ἡγεμόνι παραδοῦναι ἑπτὰ παρθένους.....

θ. Ἰδοὺ δὴ ἅπαντας συγκατασχόντες, ἤγαγον ἄλλας δύο, φησίν, μίαν μὲν χήραν ἔντιμον, τῇ κλήσει Καλλίδα, τὴν δὲ Θεοδώραν, ἀκμῇ ἀνθοῦσαν, καὶ τῇ νεότητι αὐτῆς τὸ κάλλος αὐξάνουσαν. ἡ δὲ ὑπῆρχεν παρθένοσ ἄφθορος. καλὸν γὰρ εἰπεῖν ταύτης διήγημα. πρὶν ἐφειμένη τῇ παρθενείᾳ, τοτ' ἐξεπλήρωσεν αὐτὴν διὰ βασάνου ἀνοχῆς. ὅθεν ταύτη συνέβη ταῖς παρθένοις συναθλῆσαι. ἑπτὰ παρθένοις σὺν Λεωνίδη ὁμοῦ.

17-го Іюля св. Маринѣ.

p. 634—635. Μηνὶ Ἰουλίῳ ιζ. Κονδ. τῆς ἁγίας Μαρίνας. πρὸς τὸ ἄνω, ἦχ. β.

α. Στερρῶς τὴν ψυχὴν, Μαρίνα, καθοπλισθεῖσα, αὐτὴ δὲ σαφῶς τὸν δόλιον κατέτρωσας, καὶ Χριστῷ προσέφερες, πανόλβιε, πλοῦτον ἀσύλητον σεαυτὴν, βοῶσα αὐτῷ. Σὲ μόνον, σωτήρ μου, ἐπεπόθησα.

β. Μύρον εὐῶδες ὑπάρχων, Λόγε, μύρισον μου τὰς φρένας (μύρον γὰρ ἡ γραφὴ σαφῶς σε ὑπεξεφήνατο). ἵνα εὐφήμως ἐγκωμιάσαι ἐξισχύσω Μαρίναν τὴν ἀθλοφόρον, ἵνα αὐτὴν, ὡς θυσίαν δεκτὴν, προσκομίσω ἀεὶ, συννόμῳ τῷ μαρτυρίῳ ὡσ καλῶς τὸν ἀγῶνα τελέσασαν. αὐτῆς γὰρ ὄντως ἡ δύναμις σὺ ὑπάρχεις, πρὸς ὃν καὶ ἀνέκραγε. Σὲ μόνον.....

γ. Ἅπασα γῆ φαιδρύνεται ὄντως σήμερον, ὑμνῳδίας, ὦ Μαρίνα σεπτή, τὴν μνήμην σου ἑορτάζουσα. σὲ γὰρ ἐλάμπρυνε παραδόξως ὁ ὡραῖος νυμφίος σου, ὃν ποθοῦσα. Πίστει θερμῇ καὶ προθύμῳ ψυχῇ μου σὲ ἐπόθησα, τῷ Χριστῷ ἀνακραυγάζεις, καὶ ὀξὺ σπέδομαι κατοπίσω, σου, τῷ σῷ φλεχθεῖσα νῦν ἔρωτι. τὸ θανεῖν γὰρ ἢ ζῆσαι προέκρινα. σὲ μόνον......

δ. Ῥήματα ἔργοις ἐπικυροῦσα, Πνεύματι τῷ ἁγίῳ καὶ εὐχῇ ἑαυτὴν, Μαρίνα, κατωχυρώσασα, ὅθεν τῷ κάλλει τοῦ σοῦ προσώπου τῆς ψυχῆς ἐσέμνυνας τὴν ἀκτῖνα. ὃ κατιδὼν ὁ δεινὸς καὶ παράφρων Ὀλύβριος, προσήγετο κολακείαις, ἀπατῆσαι σε δῆθεν οἰόμενος. ἠσχύνθη οὖν ὁ μισόκαλος, τῷ Κυρίῳ αὐτὴ γὰρ ἐκραύγαζες. Σὲ μόνον....

ε. Εἶξας οὐδ' ὅλως ταῖς συμβουλίαις τοῦ ἀνόμου τυράννου, ὡμολόγησας δὲ ἐν παρρησίᾳ, τὸν Κύριον. πᾶσαν τὴν σὴν γὰρ ἔφεσιν, κόρη, ἐν αὐτῷ ἐσχηκυῖα, πολλὰς βασάνους, σώφρονι νῷ λογισμῷ τε στεῤῥῷ καθυπέμεινας, ἀνδρείᾳ τε καὶ συνέσει τὴν καρδιαν εὐθύμως στομώσασα, στεῤῥὸν τὸ φρόνημα ἔδειξας. διὸ δὴ καὶ προθύμως ἀνέκραζες. Σὲ μόνον.......

ς. Ὢ τῆς ἀφάτου κηδεμονίας τοῦ Θεοῦ καὶ σωτῆρος, ὅτι πλούσιος ὢν ἑκὼν πτωχεῦσαι ἠνέσχετο! ποίοισ οὖν χείλεσι προσενέγκω ἱκεσίαν τῷ οὕτω τετιμηκότι φύσιν ἐμὴν, τὴν σαθρὰν καὶ εἰς γῆν ἀναλύουσαν; ἀλλ' ὅμως οἷάπερ χαίρων, σὲ ἐξαιτούμενον μὴ παρίδης με, εἰ καὶ πολλοῖς συνέχομαι πταίσμασιν, ἀλλὰ φεῖσαι λιταῖς τῆς τεκούσης σε. Σὲ μόνον, σωτήρ μου, ἐπεπόθησα.

24-го Сентября св. первомученицѣ Ѳеклѣ.

p. 636—637. Ὁ Θέκλαν δείξας πρωτομαρτυρα ἐν γυναιξὶν, ὡς καὶ στέφανον ἐκλάμποντα ἐν ἀθληταῖς, τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου οἰκτείρησον ἡμᾶς. τὴν μὲν θῆρες ἄγριοι οὐκ ἐπτόησαν, τὴν δὲ λίθοι οὐκ ἔτρωσαν. αὐτὸσ γὰρ παρέσχες. Ὁ Θεκλαν δοξάσας, Χριστὲ, σῶσον ἡμᾶς.

β. Θεὸν ἡμεῖς πρόδρομον τοῦ λόγου, δεῦτε, πιστοί, ἀσμένως ποιησώμεθα νῦν Θέκλης τῆς πρωτομάρτυροσ παγκόσμιον μνήμην ἐπιτελοῦντεσ. σὺν ἡμῖν γὰρ ἀεὶ νοητῶσ χορέυει, καὶ μυστικῶς ἁγιαζουσα, πάντας προτρέπεται Χριστὸν μεγαλῦναι ἀπαύστως, τὸν αὐτῆς ἐραστὴν καὶ διδάσκαλον, κράζουσα. Δεῦτε γενώμεθα υἱοὶ τοῦ φωτὸς, ἵνα συμψάλλωμεν. Ὁ Θέκλαν....

г. Ἔχουσα Θέκλα Χριστὸν ἀπαύστως. τοῦ ἐπὶ γῆς ἐραστοῦ καὶ νυμφίου φθαρτοῦ ἀνδρείως κατεφρόνησε, καὶ πάντων ἡδείων τῶν ἐν τῷ βίῳ, καὶ λοιπὸν ἀνενδότως αὐτὸν ἐπόθει, καὶ πρὸς αὐτὸν καυχωμένη ἐτρέπετο λέγουσα. Νυμφίε ἄφθαρτε Λόγε, σὲ ποθῶ, σὲ ζητῶ, σὲ ἀσπάζομαι, σὺν σοὶ σταυροῦμαι καὶ θάπτομαι μὴ παρίδῃς με, μόνε ἀθάνατε. ὁ Θέκλαν......

д. Καταυγασθεῖσα Θέκλα τὴν θρένα ἐκ τῆς ἀγάπης Θεοῦ, κατακρυφᾷ λοιπὸν λόγου Θεοῦ ἀκόρεστον, ἐν μέσῳ πάντων πορευομένη καὶ πασῶν νεανίδων αὐτῆς οἰκίας. ἴθυνεν οὖν πρὸς Θεὸν ἀποβλέπειν ἀένναον, το ὄμμα δ' ἄρασα ἄνω, ἀκοήν τε καὶ ὄσφρησιν ὤξυνεν, ἁγνεύειν, ἀεὶ ἐκδιδάσκουσα ἑαυτὴν τῷ θεῷ ἐν τοῖς μέλεσιν. Ὁ Θέκλαν δοξάσας, Χριστέ, σῶσον ἡμᾶς.

22-го Декабря св. мученицѣ Анастасіи.

p. 637—639. Μηνὶ Δεκεμβρ. κв. τῆς ἁγίας μάρτυρος Ἀναστασίας. а. πρὸς τό. Ἡ ἀθλοφόρος σήμερον τὸν πτερνιστὴν τὸν τῆς Εὔας καθελοῦσα ἔκτεινεν ὅλῳ τῆς πίστεως δρόμῳ τύραννοι μετὰ βασάνων πληροφοροῦσιν. ἄγγελοι μετὰ βραβείων δορυφοροῦσιν. δι' αὐτὴν οὖν ἡμᾶς σῶσον, σωτὴρ τοῦ κόσμου, ὁ ἐπὶ πάντων Θεός.

в. Τοῦ σωτῆρος ἡμῶν τὴν θείαν ἐνανθρώπησιν Ἡσαΐας σαφῶς θεολογήσας δείκνυσιν, καθάπερ καὶ Παῦλος ὁ ἱεροφάντης. εἰς γῆν ἐξῆλθε πᾶσαν τὸ κήρυγμα νυνὶ τὸ οὐράνιον, καὶ καρποφόρον ταύτην ἀνέδειξε. τῷ ἐν οὐρανοῖς δῶρα προσφέρουσιν ἁγίων πλήθη, μαρτύρων στίφη. αἱ πατριαὶ γὰρ τῶν ἐθνῶν πᾶσαι προσκυνοῦσιν αὐτῷ. ἐγκαλλώπισμα πέλει ἡ σεπτὴ Ἀναστασία, σωτὴρ τοῦ κόσμου, ὁ ἐπὶ πάντων Θεός.

г. Ὁδηγός. τῶν πιστῶν γέγονεν ἡ θεόκλητος, καὶ καθάπερ Μωσῆς τοῖς ἐν Αἰγύπτῳ πρότερον. μείζω δὲ τῶν πάλαι τὰ νῦν ἀπεδείχθη. ἐκεῖ γὰρ πάντες οὐκ ἐκληρώσαντο τὰ Ἱεροσόλυμα. ἐνταῦθα πάντες ἐκληρονόμησαν πρὶν σταυρὸν ἐτύπου, καὶ νῦν Ἰησοῦς ὁ Χριστὸς, τὴν ἐπουράνιον. ὁ Ἰησους ὁ Χριστὸς, Ἱερουσαλὴμ ὁ προαιώνιος Θεός, (Μωυσέως καὶ οὕτως ἐκδιδάσκοντος), ἐτέλεις, σωτὴρ τοῦ κόσμου, ὁ ἐπὶ πάντων Θεός.

д. Τροπαιοῦχον αὐτὴν καλέσω, ἢ διδάσκαλον; ἀθλοφόρον εἴπω, ἢ νύμφην, ἢ καὶ ἄμπελον; πέτραν ὀνομάσω, ἢ πύργον, ἢ τεῖχος; ὁλκάδα, φόρτον διακομίζουσαν, ἐν ᾧ ὁ παράδεισος; λιμένα θεῖον, ᾧ προσορμίζοντες οἱ ἐν πειρασμοῖς ποικίλοι φεύγομεν; ὅσα ἀνείπω; ὅλα γὰρ πρέπει. πίστει λαμπρᾷ καὶ γὰρ αὐτὴ πάντα ὑπάρχει ἐν Χριστῷ, ἐκτελέσασ πάντα τὰ ἐν τοῖς Εὐαγγελίοις, σωτὴρ τοῦ κόσμου, ὁ ἐπὶ πάντων Θεός.

24-го Ноября св. Великомученицѣ Екатеринѣ.

p. 639—641. Перваго состава Конд. и икоса Славянскій переводъ смотри въ мною изданномъ Конд. стр. 243.

а. Ῥητορεύει σήμερον Αἰκατερίνα ἡ μάρτυς, καὶ ῥητόρων ἤλεγξε φρενοβλαβεῖς ἀπιστίας. ἄγγελος ἐξ οὐρανόθεν αὐτῇ ἐπέστη, δύναμιν ἐκ τῶν ὑψίστων ἐπικομίζων, ἣν λαβοῦσα, ἀνδρείως ἔστη. Χριστὸς ἐστι γὰρ μαρτύρων τὸ στήριγμα.

в. Τῷ φωτί σου, Χριστέ, φώτισον τὴν καρδίαν μου, καὶ τῷ σου Πνεύματι πλήρωσόν μου ἐν στόματι, ὑμνῆσαι ἀξίως τὴν σὴν ἀθληφόρον. αὐτὴ γὰρ ὄντως λόγῳ καὶ χάριτι, σοφίᾳ καὶ πνεύματι περιφραχθεῖσα, τὸ πλῆθος ἤλεγξε τῶν ῥητορευόντων, ματαιότητι καὶ καυχωμένων. τῇ πανοπλίᾳ τῇ τῆς Τριάδος ἡ σεμνὴ τούτους προσήγαγε Θεῷ, τῷ οἰκείῳ δεσπότῃ καὶ σωτῆρι τῶν ἁπάντων. Χριστὸς ἐστι γὰρ μαρτύρων τὸ καύχημα.

г. Ὁ σοφίᾳ τὴν γῆν ὕδατι πρὶν πηξάμενος, ὁ αὐτὸς καὶ τὰ νῦν ἄγγελον ἐξαπέστειλε. αὐτοῦ γὰρ θελήσει τὰ πάντα ὑπείκει. Ὁ δὲ προφθάσας, ἔφη τῇ μάρτυρι. Ἀνδρίζου καὶ ἴσχυε, μὴ δειλιάσῃς τοὺς πολεμοῦντας σε, τοῖς σοῖς γὰρ ποσὶ καταπεπάτηται ὁ πρὶν εἰς ὕψος κέρας ἐπάρας, καὶ ἀπατήσας τὸν Ἀδὰμ ἐν παραδείσῳ δολερῶς. ὑπὸ σοῦ δὲ ἡττήθη τῇ δυνάμει τῆς Τριάδος Χριστός......

д. Ὑπὸ τούτων εὐθὺς τῶν λεχθέντων, ἡ πάνσοφος θαρσαλέῳ νοΐ ἐναντιπαρετάξατο, καὶ στᾶσα ἀνδρείως κατὰ τῶν ῥητόρων. φρενοβλαβεῖς, ὦ ἄνδρες, ἐβόησεν, ἐπίγνωσε τίς ἐστιν ὁ πάντων κτίστης, ὃν οἱ παράνομοι ξύλῳ προσπαγῆναι κατεδίκασαν, ἵνα τοὺς πάλαι θανόντας ἄρτι ζωοποιήσῃ τῆς φθορᾶς, καὶ προσαγάγῃ τῷ Πατρὶ θελήματι ἰδίῳ, σὺν Πνεύματι τῷ ἁγίῳ, Χριστὸς ἐστι γὰρ μαρτύρων τὸ καύχημα.

Ей же другаго творца.

Πρὸς τό. Τὰ ἄνω ζητῶν. ἠχ. в. а. Σοφίαν Θεοῦ ἐκ βρέφους χαριτώσασα, καὶ γλώττας δεινὰς ῥητόρων χαλινώσασα, ἑαυτὴν παρέδωκας πρὸς βασάνους χαίρουσα, ἔνδοξε, εὐμενῶς τῷ σῷ ἐραστῇ πρεσβείαν ποιοῦσα ὑπὲρ πάντων ἡμῶν.

в. Πρὸς τό. Τρώνωσον. Τί σοι, Χριστὲ, προσοίσω ὁ τάλας; τί δὲ ἄξιον εἴπω τῶν πασῶν δωρεῶν, ὧν μοι παρέσχες, φιλάνθρωπε, γλῶτταν μὴ ἔχων πρὸς ὑμνῳδίαν, λογισμὸν ἀδιόρθωτον κεκτημένος; ὅμως θαρρῶν εὐσπλαγχνίᾳ τῇ σῇ, ὑπεράγαθε, τὴν μνήμην Ἀικατερίνης τῆς σοφῆς ἀθλοφόρου ἐξάδοιμι. αὐτὴ γὰρ κλέος καὶ καύχημα θηλειῶν καὶ ἀνδρῶν ἀναδέδεικται, πρεσβείαν ποιοῦσα....

г̃. Ὅλως οὐ σθένει κατ' ἀξίαν νοῦς ἢ λόγος ἐκφράσαι τῶν θαυμάτων τῶν σῶν, Ἀικατερίνα, τὴν ἄβυσσον. σὺ γὰρ θεόθεν ἐκλελεγμένη, ἐκπαιδόθεν σοφίας πεπληρωμένη, πᾶσαν γραφὴν Ἀσκληπίου, Ὁμήρου καὶ Πλάτωνος μαθοῦσα, καὶ Βιργιλίου, Γαληνοῦ, Εὐσεβίου τὰ δόγματα, Ἀριστοτέλους διδάγματα, τοῦ Χριστοῦ ἀνεδείχθης μαθήτρια, πρεσβείαν ποιοῦσα....

д̃. Ὑποβληθεὶς εἰδώλων μανίᾳ ὁ Μαξέντιος ἄναξ ὑπὸ τοῦ πονηροῦ, προστάττει θύειν τοῖς δαίμοσι, γράψας παντὶ τὸ ἄθεον δόγμα. οἱ δὲ πλεῖστοι συνέτρεχον, ἐκπληροῦντες τὸ καλεσθὲν, τοῖς βωμοῖς τὰς θυσίας προσφέροντες. καὶ ταῦτα Ἀικατερίνα κατιδοῦσα, προσῆλθε τῷ ἄνακτι, Τριάδος πίστιν κηρύττουσα, καὶ Χριστὸν αἰτουμένη ἡ ἔνδοξος, πρεσβείαν......

є̃. Τὸν ἀληθῆ τῆς πίστεως λόγον ἐκ χειλέων πανσόφων ἡ ἀοίδιμος παῖς τῷ Μαξεντίῳ κατήγγειλε. Τί σὺ, φησὶ, τὸ ἄπειρον πλῆθος συναθροίσας, ψυχὰς ἀπολλύεις πάντων; Γνῶθι, φησὶ, τὸν ποιήσαντα λόγῳ τὰ σύμπαντα, καὶ πάθει αὐτοῦ τιμίῳ καὶ σταυρῷ καθελόντα τὰ εἴδωλα. ἐγὼ γὰρ τοῦτον ἐπέγνωκα, τῶν θεῶν σου τὴν πλάνην μὴ στέργουσα. Πρεσβείαν ποιοῦσα ὑπὲρ πάντων ἡμῶν.

5-го Февраля св. Агаѳіи. въ Аѳонскомъ Кондакаріи Кондакъ есть, а три икоса другіе, чѣмъ въ Кондкаріи, изданномъ Г. Питрою.

p. 642—644. **к̃**. Πρὸς τό. Τρώνωσον. Ἐκ τοῦ Θεοῦ τὴν κλῆσιν λαβοῦσα. ἀγαθὴν ἐξελέξω ἐκ παιδὸς ἑαυτῇ μερίδα, μάρτυς πανεύφημε, ἥτις οὐδέπω, κατὰ τὸν λόγον τοῦ σωτῆρος ἡμῶν. αἱρεθήσεται σοι. ἀλλὰ ἀεὶ ἀγαθῶν σκηνωμάτων ὁμόσκηνος ὑπάρξασα, τὸν δεσπότην ἀγαθύνουσα ὑπὲρ τῶν δούλων σου, τῶν πονηρῶν αὐτοὺς πράξεων ἀποστῆναι καὶ σώζεσθαι, ἔνδοξε, τόν......

г̃. Ἵνα λοιπὸν τὴν σὴν καρτερίαν εὐμετάπτωτον εὕρῃ ὁ ἀνήμερος θὴρ, Ἀγάθη μάρτυς πολύαθλε, πρὸς ὀργὴν ἐξάπτεται καρδίαν, καὶ κολάζειν ἀθέως ἐπιχειρεῖ σε, πᾶσαν ἐν σοὶ τῶν βασάνων ἰδέαν προσφερόμενος, τὰ μέλη σου κατακόπτων, καὶ τοὺς δύο μαστοὺς ἀφαιρούμενους, οὓς πάλιν βελτιωτέρους σοι ἀποστόλων ὁ πρῶτος προσήγαγε. Τόν.

д̃. Σοῦ ἐν τῇ σκέπῃ νῦν καταφεύγω, ἀγαθώνυμε μάρτυς, καὶ τοῖς ποσὶ τοῖς σοῖς ἐκλιτανεύω ἐκ πίστεως. λῦσον ψυχῆς μου τὴν ἀθυμίαν, μὴ τῇ λύπῃ ἀκαίρως ἐκβαρυνθεῖσα, εἰς τὸν βυθὸν καταπέσῃ τὸν τῆς ἀπογνώσεως, καὶ λήθην λάβῃ ῥητάτων. ὧν καλῶς ἐμελώδησα σήμερον. ἀλλὰ μετροῦσα τὸν πόθον μου, ἀνταπόδος τὴν σήν μοι ἀντάμειψιν. τὸν πάντων δεσπότην ἀγαθύνουσα.

Ей же другаго творца.

Μηνὶ φεβρ. **є̃**. Κονδάκιον τῆς ἁγίας παρθένου Ἀγάθης ἦχ. δ̃. πρὸς τό. Ἐπεφάνης σήμερον. **ã**. Τὴν ἁγνείαν αἵμασι τοῦ μαρτυρίου θεοφρόνως ἔστεψας, Ἀγάθη μάρτυς παγκλεὲς, καὶ σὺν ἀγγέλοις ἀγάλλεσαι, πᾶσιν αἰτοῦσα τὸν ἄφθαρτον στέφανον.

к̃ Πρὸς τό. Τῇ Γαλιλαίᾳ. Παρθενικὴν μὲν ἑορτὴν καὶ ἄφθαρτον νυμφῶνα καὶ πλῆθος νεανίδων λαμπρῶν, σεμνῶν, ὡραίων. ἐνθάδε σήμερον ὁρᾷ, τίμιος ὁ γάμος. ἡ παστὰς ἐν ὑψηλοῖς ὡς οὐρανὸς κεκόσμηται, ὧν τινων καὶ ἡ κοίτη ἀμίαντος. τούτων καὶ τὸ κάλλος εὐφημίαις διαγράψαι οὐχ ἱκανῶ. σκώληξ γὰρ ὑπάρχω, καὶ πᾶς ὁ χαμερπὴς τὰ ὕψη διώξω; τίς δέ μοι περιστερᾶς πτέρυγας δώσει; καὶ φθάσω ἐγὼ ὑμνῆσαι τὰς προδραμούσας πρὸς τὸ βραβεῖον τῆς ἄνωθεν κλήσεως.

г̃. Ὁ τῇ μελίσσῃ δεδωκὼς ἐργάζεσθαι γλυκεῖαν. σωμάτων ἰατρείαν, καὶ σκώληκι ἑτέρῳ σοφίαν μέταξον ποιεῖν, δὸς καὶ τῇ ψυχῇ μου τοῦ ὑφαίνειν ταῖς ᾠδαῖς τὸν ὕμνον τῶν θαυμάτων σου, καὶ τῶν σῶν ἀθλοφόρων τὸν ἔπαινον. σπεῖρον χάριτός μοι σπέρμα, Λόγε, τοῦ ἀνθῆσαι ὁ ἐπὶ γῆς ἕρπων τὰ σὰ ἔπη. καὶ τῆς σε ἐκ ψυχῆς θερμῶς ποθησάσης καὶ βασάνους ὑπὲρ σου ὑπομεινάσης, λέξαι ἀρετὰς Ἀγάθης, τῆς προσδραμούσης πρὸς τὸ βραβεῖον τῆς ἄνωθεν κλήσεως.

1-го Марта св мученицѣ Евдокіи.

p. 644. 645. **ã** Πρὸς τό. Ἀσφαλεῖς ἦχ. **к̃**. Ἡ τοῦ Χριστοῦ τετρωμένη τῷ ἔρωτι, καὶ τοῖς αὐτοῦ ἀκολουθοῦσα, ἴχνεσι βασιλέως ὡς θυγάτηρ, κεκαλλώπισαι, πανσεβάσμιε, ψυχὴν, παρθενομάρτυς. διʼ ἀθλήσεως, Εὐδοκία, καὶ ἀπείληφας στερηθεῖσα νῦν ζωὴν μακαρίαν καὶ ἀπόλαυσιν.

β. Τὸν θησαυρὸν τῆς θείας σοφίας, τὴν σοφίαν τῆς ὄντως, καὶ πηγὴν ἀγαθῶν καὶ χαρισμάτων ἀνάπλεον, λόγου σταγόνα πιστῶς αἰτοῦμαι, ἀνυμνῆσαι ἀξίως τῆς ἀληθείας μαρτυρικοῖς διαδήμασι κόρην ἀστράψασαν, Ἐυδοκίαν τὴν σεβασμίαν, καὶ παρθένον καὶ μάρτυρα ἄμωμον. ἣ καὶ ἀθλήσασα εὕρατο, σὺν δικαίοις στεφθεῖσα, φιλάνθρωπε, ζωὴν μακαρίαν.

γ. Ὄλβον φθειρόμενον τῶν προσκαίρων καταλείψασα, μάρτυς, θησαυρὸν σεαυτῇ ἐταμιεύσω τὸν ἄσυλον. οἷάπερ ῥόδον ἐξ ἀκανθῶν γὰρ, πατρικῆς ἀσεβείας λαμπρῶς ἐκφῦσα, ἑλληνικῆς δυσσεβείας τὴν ὕλην κατέφλεξας, τὴν κλῆσιν ἀπ' οὐρανοῦ δὲ καὶ τὴν χάριν λαβοῦσα, ἀοίδιμε, τὰς νόσους ψυχῆς καὶ σώματος θεραπεύεις ἡμῶν, ἐκλαμβάνουσα ζωὴν......

δ. Ὑπεραστράπτουσα ἐν τῷ κάλλει τὰς ἡλίου ἀκτῖνας, ὡς ψυχῆς τηλαυγῶς κεκοσμημένην εὐγένειαν ὑπερφορεῖ: ἐν θαλάμῳ ταύτην οἱ γεννήτορες ἔθεντο ὡς παρθένον, τούτῳ Θεοῦ εὐδοκοῦντος ἀξίως, ὡς δέδεικται. τὰ κάτω γὰρ παριδοῦσα, καὶ τὰ ἄνω ζητοῦσα, τοὺς ψευδωνύμους συνέτριψεν ὡς μὴ ὄντας θεοὺς, καὶ ἀπείληφε ζωήν....

25-го Іюня св. Февроніи есть и въ Аѳонскомъ Кондакаріи, гдѣ противъ Кондакарія, изданнаго Г. Питрою, есть лишній икосъ, начинающійся такъ: Ὑπὸ τῷ σκάμματι......

11-го Іюня святой Евѳиміи.

p. 646—648. α. Πρὸς τὸ Χειρόγραφον. Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει κατεβάλου θερμῶς ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου. ἀλλὰ καὶ νῦν, ὡσ τὰσ αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασισιλέων ὑποταγῆναι, πρέσβευε διὰ τῆς Θεοτόκου. ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων πατέτων ὅρον λαβοῦσα καὶ φυλάττουσα, πανεύφημε.

β. Πρὸς τό. Τάχυνον. Τί τῶν σῶν ἀθλημάτων, ἢ τί τῶν κατορθωμάτων, ἤτι τῆς σῆς παρθενίας, ἢ τοῦ βίου τοῦ ἀμεμπτου σου τίς θαυμάσειε πρῶτον; σὺ εὔφρανας τὸν Πατέρα, ὡς τῷ Υἱῷ νυμφευθεῖσα, καὶ τῷ παναγιω Πνεύματι σαυτὴν κατακοσμήσασα. τὶ ἱκανοῖ πρὸς ταῦτα, τίς λέγειν νῦν ἰσχύσειεν ὅσαι σε περιλάμπουσιν ἀρεταί, μὴ ὑποδύουσαι; ὡς ἐξ ἀνατολῆς τοῦ τάφου ἀνατέλλουσα, πάντη φαίνεις καὶ ἀκτινοβολεῖς, ἐν γῇ καὶ θαλάσσῃ ἐπὶ πᾶσαν ἤπειρον, ἁγιάζεις καὶ μυρίζεις τὰ πέρατα. διὸ τόμον πεπίστευται, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων ὅρον λαβοῦσα καὶ φυλάττουσα. πανεύφημε.

γ. Ἡ ταφὴ, ἔνθα κεῖται τὸ ζῶν σου λείψανον, μάρτυς, ἀλάβαστρον μύρου πλῆρεσ. Χριστὸς ταύτην ἀπειργάσατο ἄρδειν αἵμασιν, ἅπερ, βασάνων κόρον λαβοῦσα, πηγάζεις, καὶ ἁγιάζεις, ἰωμένη νόσον ἅπασαν. σὺ κιβωτὸσ ὑπάρχεις μείζων τῆς Μωυσέως, ἔνθα αἱ πλάκες τέθεινται, βάβδος τε ἡ βλαστήσασα, καὶ στάμνος ἡ χρυσῆ, ἐν ᾗ τὸ μάννα ἔκειτο. σὺ ἐκείνης ὑπερέχεις πολὺ, σύμβολον τὸ θεῖον ἐγγράφως ἡ κατέχουσα, τοῦ Κυρίου καὶ Θεοῦ πίστιν ἄσειστον, δεξαμένη τηρεῖν αὐτήν. διὸ τόμον πεπίστευσαι, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων ὅρον λαβοῦσα, καὶ φυλάττουσα, πανεύφημε.

δ. Σὺ ἀληθινὸν μάννα, πατέρων ἁγίων τόμον, ἐκ Πνεύματος τοῦ ἁγίου τὸν γραφέντα ἐμπεπίστευσαι. σὺ εἶ τῆς ἐκκλησίας ὁ θησαυρὸς ὁ θειώδης ἡ πᾶσαν τὴν σωτηρίαν τῶν ἀνθρώπων χερσὶν ἔχουσα. ἣν καὶ τινεσ συλῆσαι ἐλπίσαι τε δοκοῦντες, ἤνοιξαν τὸ μνημεῖον σου, καὶ τῇ πείρᾳ αὐτοὶ ἔμαθον. ἀψάμενοι χειρὶ ἐπὶ τὸ ἀφελεῖν αὐτὸν εὕροσάν σε κατέχουσαν στερρῶς, ὥσπερ σοι ἐδόθη, μετ' ὅρκου ἐπικρίσεως τοῦ φυλάττειν, καὶ κατέχειν ἀσύλητον τὴν τοῦ κόσμου ἀσφάλειαν, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων.....

16-го Декабря святому Ѳеофану.

p. 648. 649. α. Πρὸς τό. Ἡ παρθένος. Τὸ ἐκ γῆς διάδημα βασιλικῶς στεφομένη, βασιλὶς ἀοίδιμε, ταῖσ ἀρεταῖς εὐδοξοῦσα, εἴληφας τῆς βασιλείας οὐρανῶν στέφος. φέρουσα τῆς εὐσεβείασ πάντιμον ῥάβδον, ἐν ἀφθάρτοισ βασιλείοισ αὐλίζῃ θείῳ λαμπρυνομένη φωτί.

β. Μεγαλείων Θεοῦ ὁσία ἀνακήρυξις. διὰ τοῦτο Θεῷ αἴνεσιν ἀποδώσομεν. κριμάτων γὰρ βάθη μάτην ἐρευνήσαις. Τελεῖ μεγάλα ὄντωσ μυστήρια ἐκ πλούτου χρηστότητοσ. τὰ γὰρ βροτείᾳ γνώμῃ ἀδύνατα, δεικνὺσ παρ αὐτῷ μὴ ἀπορούμενα, ὑψίστῳ δόξῃ ἐγκαταλέγει, καὶ διαδήματι ζωῆς στέφει διάδημα θνητὸν, ἐν ᾧ στέψας, δοξάζει τὴν ἀξίως βασιλίδα. αὐλίζῃ θείῳ λαμπρυνομένη φωτί.

γ. Θαυμαστὸσ ὁ θεὸς, φθέγματι θείῳ κράξωμεν. δόξαν γὰρ ἀληθῆ ἅπασι τοῖς ποθήσασιν, ὡς πάντων δεσπότης, δωρεῖ. εὐσπλαγχνίασ ἀνοίγει πύλας πᾶσι τοῖς τρέχουσι νυμφῶνα πρὸς εἴσοδον τὰ στέφη πλέκει πένησιν, ἄρ-

χουσιν, οἷς ἔρως ἐστὶν ἐκεῖθεν στέφεσθαι ὥσπερ ἠράσθη νοῒ ἐνθέῳ Θεοφανὼ ἡ βασιλίσ. ὅθεν ἁγίων σὺν χοροῖσ βασιλείοισ σκηνοῦσα, ὧν ἡ τέρψις οὐ γηράσκει, αὐλίζῃ θείῳ λαμπρυνομένη φωτί.

26-го Октября св. Великомученику Димитрію, въ Аѳонскомъ Кондакаріи, кондакъ, 1-й, 3, 4, и 5-й икосы, есть, а 6-го, 7-го и 8. по счету Г. Питры, въ семъ изданномъ Кондакаріи нѣтъ; за то здѣсь нѣтъ 2-го начинающагося: Ὅλοι συνδράμωμεν μετὰ πόθου. Недостающіе:

р. 652. 653. ε̃. Φέρε τὸ θαῦμα τὸ τῆσ αἱμόρρου νῦν προσθήσομαι πᾶσι φανερὸν, ἀδελφοί, καὶ γὰρ ὑπάρχει ἐξαίσιον. τὴν τῶν αἱμάτων ῥύσιν γὰρ στήσας ὁ φιλόπολις μάρτυς (ὦ μέγα κράτοσ) τὴν τῆς ψυχῆς τοῦ ἀνδρὸσ ἀλγηδόνα ἰάσατο, καὶ θεῖον οἶκον, ἐν πλήρει πονηρῷ; τὸν τῇ νόσῳ κρατούμενον, προσιὼν καὶ ἡμῖν κατάπεμψον τὴν πηγὴν τῶν ἰάσεων κράζουσι. πρεσβέυει.....

ζ̃. Ὅλον τὸν νοῦν τοῖς ἄνω πτερωσας, τῶν γηΐνων ἀπέστης ὡς δεινῶν, ὡς φθαρτῶν, Χριστοῦ ὁπλῖτα, Δημήτριε. ὅθεν ποθεῖς τὴν πόλιν σου πάνυ, καὶ τοὺσ αὐτῆς οἰκέτας οἰκτείρεις λίαν. οὐ γὰρ ποτὲ κινδυνεύουσαν ταύτην κατέλιπες, ἀλλ' ἔστης ῥώμη γενναία, ἐναντίους θεόθεν τροπούμενος, καὶ λύων τούτων τὴν φάλαγγα, ἐνθυμίαν χαρίζῃ τῇ πόλει σου, πρεσβέυων.....

η̃. Σῶσον, Χριστὲ, τὴν πόλιν σου ταύτην ἐκ παντοίων κινδύνων ταῖσ πρεσβείαις ἀεὶ τῆς σε τεκούσης δεόμεθα, τοῦ ἀθλοφόρου καὶ τοῦ προδρόμου, ἀποστόλων, ὁσίων καὶ τῶν δικαίων, φύλαττε δὲ τοὺς πιστοὺσ βασιλεῖσ ἡμῶν πάντοτε, καὶ νίκας τούτοις παράσχου καὶ τὸν θεῖον λαόν σου ὑγίασον, ὑπηκόους τοῖς ἄρχουσιν εἰς τὸ δίκαιον τούτους φυλάττεσθαι, πρεσβέυων......

15-го Ноября св. Мученикамъ Едесскимъ, Гурію, Самону и Авиву.

р. 653. 654. Μηνὶ Νοεμβρ. ιε̃. τῶν ἁγίων ὁμολογητῶν, Κονδ. ἠχ. β̃.

α̃. Τοὺς ἐκλεκτοὺς καὶ θεοφόρους μάρτυρας, τοὺς εὐσεβεῖς τῆς ἐκκλησίας κήρυκας, εὐφημήσωμεν καὶ μακαρίσωμεν. ἀνυμνοῦντες Χριστὸν, Γουρίαν, Σαμοῦναν καὶ Ἄβιβον, τὰ στελέχη Χριστοῦ τῆς ἀμπέλου αὐτοῦ. Ἐδέσσησ ἡ δόξα καὶ τοῦ κόσμου χάρα.

Славянскій переводъ сему Кондаку въ моемъ изданномъ Кондакаріи стр. 241.

β̃. Τροπαῖον νίκης ἄνωθεν φαίνει. ὁ σταυρὸς τοῦ Κυρίου, ὃν σοφοὶ ἀθληταί, ὡς θείαν χάριν εὑράμενοι; τοῦτον ἐπ' ὤμων ἀναλαβόντες, τὰ ἐν κόσμῳ τερπνά τε καταλιπόντες, τὰς κατ' αὐτῶν ὡς ἀράχνης ἱστὸν, δόξαντεσ, λαμπάδι τῆς καρτερίας τὴν ψυχὴν ἐκλαμπρῦναι ἐσπούδαζον. διὸ καὶ θῦμα εὐπρόσδεκτον ἀνεδείχθησαν δόξῃ ἀστράπτοντες. Ἐδέσσης ἡ δόξα.....

γ̃. Τῆς τοῦ ἐχθροῦ δουλείας με ῥῦσαι, Ἰησοῦ ζωοδότα, ταῖς τῶν σῶν ἀθλητῶν, ἐντεύξεσι δυσωπούμενοσ, ὅπως ἀδούλωτον κεκτημένος ἐκ παθῶν τὴν ψυχὴν μού τε καὶ σῶμα, ἀνευφημῶ. τὴν ταχίστην αὐτῶν νῦν βοήθειαν, καθάπερ ἡ ἐν τῷ τάφῳ συγκλεισθεῖσα αὐδρὸς δολιότητι, καὶ ταύτην τάχος προφθάσαντες τοῦ θανάτου ἐξείλαντο κράζουσαν. Ἐδέσσης ἡ δόξα καὶ τοῦ κόσμου χαρά

13-го Ноября святому Іоанну Златоусту.

р. 654—658. Μηνὶ Νοεμβρ. ιγ̃. τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου Κονδ. ἠχ. α̃. Πρὸς τό. Τὰ θεόβρυτα.

α̃. Τὰ χρυσότατα τῆς καθαρᾶς σου γλώττης ῥεῖθρα, ὡς θησαύρισμα, ἐκ ψυχικῶν ταμείων φέρων, τὴν οἰκουμένην κατεπλούτισας, Χρυσοστόμε, ποικίλλων αὐτὴν, ἀντὶ σμαράγδου, ταῖς γνώμαις, καὶ θέλγων ἡμᾶς εἰς βασιλείας πλοῦτον, ἱεράρχα ὁ κορυφαιότατος. ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

β̃. Νῦν χρυσοστόλιστος ὤφθη πᾶσα ἐκκλησία, τοῦ Χρυσοστόμου τὴν μνήμην ἐπιτελοῦσα. παγχρύσοις γὰρ αὐτὴν λόγοις ἠυτρεπίσατο τῆς τοῦ Πνεύματος, παρίστησι τῷ Χριστῷ νύμφην ἠγλαϊσμένην τοῖς δόγμασι, τὴν τετράρριθμον τῶν ἀρετῶν λιμβίδα ἐπὶ τραχήλου ψυχῆς περιβεβλημμένην, καὶ πρὸς αὐτὸν ἀνακράζουσαν. Μὴ ἐπιλάθῃ τοῦ σου λαοῦ. ὁ ἐποπτεύων ἐξ οὐρανοῦ. Ἀλλὰ τῷ Κυρίῳ.....

γ̃. Οἷσαι σοι ᾄσματα ἄξια τίς ἱκανώσει; ἀλλ ὡς τῆς χήρας ὁ Χριστὸς λεπτὰ τὰ δύο, προσδέχοιο κἀμοῦ, μάκαρ, τὰ ψελλίσματα, ὡς ἀπάργματα, τὴν γλῶσσαν μου χαριτῶν οἷον περιχρυσῶσαι τοῖς ὕμνοις σου. σὺ γὰρ ἔβλυσας ὡς ποταμοὺς τοὺς λόγους ἐκ τῆς παγχρύσου σου ψυχῆς, ἐκκεκαθαρμένης τῆς τῶν παθῶν βορβορώσεως. διὸ βοῶ σοι εἰλικρινῶς. Μὴ ἐπιλάθῃ μου τοῦ πτωχοῦ, ἀλλὰ τῷ Κυρίῳ.......

д. Ὕμνος καὶ καύχημα ὤφθης τοῖς Ἀντιοχεῦσιν. φυεὶς ἐκ ῥίζης εὐκλεοῦς, νοητὸς ὄρπηξ, κομῶν τοῖς ἀγαθοῖς ἔργοις ἐκ νεότητος, χρυσεπώνυμε. μονάσας γὰρ ἀψευδῶς εχεῖς σκληραγωγίαις τὸ σῶμα σου, καὶ ὡς τῷ ἅρματι ἐπιβὰς πυρίνῳ τῶν ἀρετῶν σου, σοφὲ, πρὸς οὐρανὸν ἐπήρθης, χρυσοστεφὲς τῶν φθόγγοις σου. διὸ ἐκεῖθεν ἵλεως νῦν μὴ διαλείπῃς βλέπων ἡμᾶς, ἀλλὰ τῷ Κυριῳ....

ε. Νῦν τίς ἀπήστραψεν οὕτως ἐν ταῖς θεωρίαις πεποικιλμένον, ὡς οὗτος ὁ χρυσοῤῥήμων; καὶ γὰρ ὡς ἐκ πηγῆς ἄλλης τὰ χρωσσόρρειθρα ἀεὶ ἔβλυζεν διδάγματα ἐκ ψυχῆς, ἄρδων τὴν θρεψαμένην Θεούπολιν. τοὺς γὰρ οἴακας ἐμπιστευθεὶς τῶν λόγων, ἐπὶ λιμένα ζωῆς καθώρμητο ταύτην, ὡς πρὸς αὐτὸν ἀνακράζουσαν. Μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ. ὁ ἐπιβλέπων ἐξ οὐρανοῦ, ἀλλὰ τῷ Κυρίῳ....

ѕ. Σ.,.. ζ. Πῶς ἐνεδέχετο κρύπτεσθαι σε χρυσοῤῥήμων, τὸν ἐν τῷ ὄρει κείμενον τῶν ἀρετῶν σου, ὡς πόλιν τοῦ Θεοῦ; ὅθεν ἡ βασιλεία σε ἔλαβεν εἰς κλέος, ψήφῳ Θεοῦ, μᾶλλον σὺν βασιλεῦσιν καὶ ἄναξιν, καὶ οὐκ ἐψεύσθη τῶν ἐπὶ σοὶ ἐλπίδων, ἐκπλουτισθεῖσα τοῖς σοῖς θησαυροῖς τῶν λόγων, ἐξ ὧν πᾶσα ἡ ὑφήλιος χρυσολογοῦσα ἀναβοᾷ. Μὴ ἐπιλάθῃ...

и. Ἅπασα στέμματα πλέκει σοι ἡ ἐκκλησία τῶν θείων ὕμνων, καὶ τῇ γῇ προσάγει μνήμην, χρυσόστομε σοφὲ, σὲ ἑορτάζουσα καὶ κραυγάζουσα. ποιμὴν ἡμῶν ἀγαθὲ, στῆθι, καὶ προπολέμει τῆς ποίμνης σου, καὶ τὸν διέποντα σου καλῶς τὸν θρόνον φρούρει, καὶ σκέπει ἀεί, σὺν τοῖς βασιλεῦσιν, ὑπήκοον οὕτως ᾄδοντα. Μὴ ἐπιλάθῃ....

ѳ. Νῦν δὲ πῶς ἄσαιμι τοῦ νέου Παύλου τὴν φοίβην, συν ἄλλαις πλείαις ἁγίαις γυναιξὶν; αὗται ὡσεὶ μαθήτριαι ἀξιάγαστοι συνέπασχον τῷ πατρί, ὅνπερ θρηνουσῶν ἔφη ὁ ἅγιος. Μὴ συνθρύπτητέ μου ψυχὴν, τέκνα, ἀλλὰ ἐμπλήσθητε χαρᾶς, ὅτι ὑπὲρ δόξης Χριστοῦ παθῶν ἐκδιώκομαι νῦν. Αἱ δὲ ἐβόων θρηνητικῶς. Μὴ ἐπιλάθῃ.

і. Ὁ ἀπειργάσατο φθέγξας, ἀρχιερατέυει ὁ χρυσορρήτης ἀληθῶς τῆς ἐκκλησίας. εὐθὺ, γὰρ τὴν χρυσῆν γλῶσσαν ἐπαφίησιν ὁ χρυσώνυμος ἐκβλύζουσαν ποταμοὺς ἀνὰ μέσον τῆς γῆς, εἰς τὰ πέρατα, τῆς κακίας ἀφανίζουσαν τὴν ὕλην. τῆς ἀρετῆς δὲ πολλὴν δωρούμενος χάριν ὑπὲρ τὸ μέλι γλυκαίνουσαν. διὸ βοῶμεν σοι ᾀσματικῶς. Μὴ διαλείπῃς.... ....

ıа. Σὴ τί ἐκέρδησας, Ἐάδοξε εὐδοξία, καταμανεῖσα φονικῶς τῷ Χρυσοστόμῳ; τῆς χήρας τοῦ ἀγροῦ ὄντως οὐκ ἀπήλαυσας, ὡς ἐπόθησας. δευτέρα Ἡρωδιὰς ἄλλον Θεοῦ προφήτην ἀπέκτεινας. Ἀλλ' ἡ γλῶσσα τοῦ χρυσεποῦς ἀει σὲ ἐκστηλιτέυει μείνασα, ὡς τὸν ἀμπελῶνα τῆς χήρας διεξαρπάσασαν. διὸ πῶς ἄσεις νῦν τῷ πατρί. Μὴ ἐπιλάθη σκέπων ἡμᾶς, ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀδιαλείπτως ἱκέτευε.

27-го Генваря св. Іоанну Златоусту Кондакъ и 1-й Икосъ есть въ Аѳонскомъ Кондакаріи. Недостающіе слѣдующіе:

р. 566. 567. г. Ὦ τῆς σῆς ἀγαθότητος, συμπαθείας τε καὶ ἀγάπης, ἧς ἔσχηκας πρὸς πάντας, πάτερ παγκόσμιε. ὡς ποιμὴν γὰρ πέλων ἀληθὴς καὶ οὐ μίσθιος, τὴν ψυχήν σου προέθηκας ὑπὲρ τῶν προβάτων σου, καὶ οὐκ ἐξέφυγες, ὅπως ταύτην λυμήνηται λύκος ἁρπάζων καὶ κατεσθίων ὀδοῦσιν ἀπιστίας. ἀλλὰ τῇ σῇ βακτηρίᾳ ἀπεδίωξας τοῦτον, ἔνδον τῆς αὐλῆς σου ἀθροίσας τὴν ποίμνην καὶ τοῦ Χριστοῦ τῷ αἵματι σφραγίσας, ἀνάλωτον αὐτὴν διετήρησας, παμμάκαρ Χρυσόστομε....

д. Δ....... є. Ἤχθης οὖν ὑπερόριος, ὁ τὴν ἅπασαν γῆν φαιδρύνας διδάγμασιν, καὶ ἐν κρυπτῷ ἐγκλειόμενος, ἔλαμπες τῷ κόσμῳ, ὡς ἐπ' ὄρους ἱστάμενος ἀρετῶν, χρυσεπώνυμε. οὐ τάφος κατίσχυσεν ἐναποκλεῖσαι σου τὰ τῶν λόγων ἠχήματα, μᾶλλον δὲ πλέον συνεκαλεῖτο πρὸς πόθον σου τοὺς πάντας, ἀοράτως ἀνακράζων καὶ βοῶν ἀνεκφωνήτως. Ἔνδον μου ὑπάρχει ὁ ἄρρητος πλοῦτος. εἰ βούλεσθε, σπευδάσατε, δυνάσται καὶ πένητες, καὶ τοῦτον ἀρύσασθε, Ἰωάννην Χρυσοστομον.

9-го Декабря на Зачатіе св. Анны.

р. 658—660. а. Πρὸς τό. Ἡ παρθένος. Ἡ πρὶν στεῖρα σήμερον τῆς παρθενίας τὸ κλέος ταῖς ἐνθέαις νεύσεσι περιχαρῶς συλλαμβάνει. χόρευε, ἡ οἰκουμένη ἀκουτισθεῖσα. αὐτὴ γὰρ ἐλπὶς βεβαία τῶν σωζομένων, ἐξ ἧς μέλλει ὁ δεσπότης τεχθῆναι, πάντας φθορᾶς λυτρούμενος.

в. Ὡς φωσφόρος σκηνὴ καὶ παρθενίας καύχημα, ὡς λαμπὰς ἡ φανὴ, καὶ καθαρὸν κειμήλιον, ὡς ἔμψυχος θήκη, ὡς θάλαμος θεῖος, ὡς ἀνώτερα πάσης τῆς κτίσεως ὑπάρχ(ει Μαρία) σεμνὴ προορισθεῖσα, καὶ ἐκλεχθεῖσα, Θεῷ. Σήμερον σεπτῆς διὰ προρρήσεως, φωνῆς ἀγγέλου εὐηγγελιστῆς τὴν θείαν (Ἄννα), σύλληψιν ἁγνῆς καὶ θεομήτορος. ἐξ ἧς μέλλει τεχθῆναι ὁ δεσπότης τῶν ἁπάντων, θανάτου πάντας φθορας λυτρούμενος.

г. Δεομένη Θεῷ, καὶ καρτερῶς σχολάζουσα ἐν νηστείαις, εὐχαῖς, Ἄννα θεομακάριστε, σὺν τῷ ὁμοζύγῳ χαρὰν παρ' ἐλπίδα εὐθὺς ἐδέξω, ἐπιστασίᾳ φρικτῇ ἀγγέλου φωνοῦντος σοί. Ἐπήκουσέν σου Θεὸς δεήσεως, τέξεις σὺ σεπτὸν παιδίον ἄμωμον, πρὸ τῶν σπαργάνων προορισθεῖσαν καὶ ἐκλεχθεῖσαν ὡς σεμνὴν εἰς κατοικίαν ἑαυτοῦ. ἐξ ἧς μέλλει τεχθῆναι ὁ δεσπότης τῶν ἁπάντων, θανάτου πάντας ἡμᾶς λυτρούμενος.

д. Ἡ εὐφρόσυνος νῦν καὶ χαρμονὴ ἐπέλαμψεν, ἑορτῶν ἑορτή. τὴν Θεοτόκου σήμερον ἡ σύλληψις ἤδη ἐν κόσμῳ ἐφάνη. καὶ οὐρανοὶ μὲν νῦν ἐπευφραίνονται. ἡ γῆ δὲ ἀγάλλεται, καὶ πᾶσα φύσις τῆς ἀνθρωπότητος γήθεται τερπνῶς, πανηγυρίζουσα. ὅτι τὸ μέγα τοῦ κόσμου τεῖχος ἀποτεχθῆναι ἐμφανῶς νῦν κατεπείγεται σπουδῇ καὶ δεσμὰ διαλύει τῆς στειρώσεως τῶν πατέρων, θανάτου πάντας φθορᾶς λυτρούμενος.

Въ Кондакаріи, изданномъ Г. Питрою есть стихиры и свѣтильны съ именами и ихъ составителей, но ихъ я не выписывалъ. Нѣкоторыя изъ нихъ напечатаны въ мѣсячныхъ минеяхъ. Что касается до того мнѣнія Г. Питры, что Акаѳистъ Божіей Матери составленъ Патріархомъ Сергіемъ, то я съ нимъ не согласенъ. Я его приписываю св. Роману Сладкопѣвцу. Въ Аѳонскомъ Кондакаріи Кондаки съ икосами на Благовѣщеніе Бцы не названы Акаѳистомъ. Невѣроятно, что бы св. Романъ, сочинивши Кондаки съ икосами на всѣ важные праздники, опустилъ бы составитъ Кондаки съ икосами на Благовѣщеніе. Въ одну ночь сочинить такой сильный Акаѳистъ Патріарху Сергію не возможно. Они готовые кондаки съ икосами св. Романа въ честь Божіей Матери пропѣли всю ночь, и вмѣсто рабъ твой пѣли градъ твой. Въ древнихъ Греческихъ рукописяхъ есть: и рабъ твой, и градъ твой.

Выписки Кондаковъ и Икосовъ Греческимъ святымъ и днямъ праздниковъ изъ рукописей моего собранія, которыхъ въ выше приведенныхъ выпискахъ нѣтъ.

СЕНТЯБРЬ.

Изъ святцевъ слѣдованной Псалтири въ 8-ю долю листа XVII вѣка стр. 270.

1-го ент. Конд. индиⷮ гла. в. Въ вышнихъ живыи хе црю, всѣмъ видимымъ и невидимымъ, творче и зиждителю. иже днie и нощи. времена и лѣта сотворивыи, благослови нинѣ вѣнецъ лѣту. соблюди и сохрани в мирѣ православнаго цра и кнзи, и градъ и люди твоа многомлⷭтиве.

3-го Сентября святому Ѳеоктисту. Ко. гла. д. по. явиⷭ. стр. 272.

В постницѣхъ присовокупися великомꙋ евѳимію. в подвизѣхъ яко аггелъ на земли явися. отницаа прпбне срца вѣрныхъ, бжественымии знамении по всегда. сего ради любовію, ѳеоктисте та утемъ.

Изъ тѣхъ же святцевъ стр. 273. 4-го Сентября св. пророку Моусею. Ко. гла. в.

Ликъ пррческiи с моисеомъ, і аарономъ, веселiемъ днесь веселится. яко конеⷰ пррчествiа ихъ на насъ исполнися. днесь сiаетъ кртъ, имже насъ спаслъ еси. тѣ млтвами бже помилуи насъ.

Изъ Каноника съ святцами XVII в. въ 4-ю долю листа ст. 170 об. л. 171. 5-го Сентября святому пророку Захаріи. Ко. гла. г. двⷶа днⷷ.

Закона млъчанiе стлю въспрiатъ аггловы гласо. аггла въспрiемла хва пришествiа. прока и таиника съ елисавеѳою неплоⷣною и того рожтво обновися блгть и избавленiе, и смиренiе наше всемирное. сего проповѣдаа агнъца и жителя. ѿ неплодове ꙋбо плоⷣ дающа, сна же явльша бжiа.

6-го Сент. на воспоминаніе чуда въ Хонехъ отъ Архистратига Михаила изъ святцевъ XVII в. л. 274 об.

Ко. гла. в. Архистратиже бжiи, и слуго бжественыа славы. аггломъ научиче, и наставниче члкомъ еже есть на ползꙋ намъ проси и велiа млти. яко безплотнымъ архистратигъ. По Гречески есть въ Греческомъ Часословѣ 1549 г. Тамъ же этотъ Кондакъ 8-го Ноября.

